THOS PAGE.
123, NORTH STREET.
BRIGHTON.

Toronto University Library

Presented by

The Revd H. H. Halford-Adcock M.A.

through the Committee formed in
The Old Country
to aid in replacing the loss caused by
The disastrous Fire of February the 14th 1890



L Gr
P718Be.2

PLATONIS

ET QUÆ

VEL PLATONIS ESSE FERUNTUR

VEL PLATONICA SOLENT COMITARI

SCRIPTA GRÆCE OMNIA

AD CODICES MANUSCRIPTOS

RECENSUIT

VARIASQUE INDE LECTIONES

DILIGENTER ENOTAVIT

IMMANUEL BEKKER.

ANNOTATIONIBUS INTEGRIS

STEPHANI, HEINDORFII, HEUSDII, WYTTENBACHII, LINDAVII, BOECKHIIQUE

ADJICIUNTUR MODO NON INTEGRÆ

SERRANI, CORNARII, THOMPSONI, FISCHERI, GOTTLEBERI, ASTII, BUTMANNI, ET STALBAUMI,

NECNON EX COMMENTARIIS ALIORUM

CURIOSE EXCERPTA.

VOL. VII.

LONDINI:

EXCUDEBAT A. J. VALPY, A. M.

SUMPTIBUS RICARDI PRIESTLEY.

MDCCCXXVI.

2

IN HOC VOLUMINE CONTINENTUR

		PAG.
ΠΟΛΙΤΕΙΑ,	Σ . . .	1
	Z . . .	51
	H . . .	99
	Θ . . .	144
	I . . .	180
ΤΙΜΑΙΟΣ	. . . .	231
ΚΡΙΤΙΑΣ	. . . .	375
ΝΟΜΟΙ,	A	403
	B	500



Digitized by the Internet Archive
in 2009 with funding from
University of Toronto

http://www.archive.org/details/platonisetquaeve07plat

ΠΟΛΙΤΕΙΑ,

Ε.

§. 1. Οἱ μὲν δὴ φιλόσοφοι, ἦν δ' ἐγώ, ὦ Γλαύκων, καὶ οἱ μὴ διὰ[a] μακροῦ τινὸς[b] διεξελθόντος[c] λόγου[d] μόγις πως[e] ἀνεφάνησαν οἵ[f] εἰσιν ἑκάτεροι. Ἴσως γάρ, ἔφη, διὰ βραχέος οὐ ῥᾴδιον. Οὐ φαίνεται, εἶπον. ἐμοὶ γοῦν ἔτι δοκεῖ[g] ἂν βελτιόνως[h] φανῆναι, εἰ περὶ τούτου μόνου[i] ἔδει ῥηθῆναι καὶ μὴ πολλὰ τὰ[k] λοιπὰ διελθεῖν μέλλοντι κατόψεσθαι τί διαφέρει βίος δίκαιος[l] ἀδίκου. Τί οὖν, ἔφη, τὸ[m] μετὰ τοῦτο ἡμῖν; Τί δ' ἄλλο, ἦν δ' ἐγώ, ἢ τὸ ἑξῆς; ἐπειδὴ φιλόσοφοι μὲν οἱ[n] τοῦ ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχοντος δυνάμενοι ἐφάπτεσθαι, οἱ δὲ μὴ ἀλλ' ἐν πολλοῖς καὶ πάντως[o] ἴσχουσι πλανώμενοι[p] οὐ[q] φιλόσοφοι, ποτέρους δὴ δεῖ[r] πό-

Steph. II. 484.

Bek. III. i. 274.

[a] διὰ om pr Ξ.—[b] μακροῦ τινὸς νῦ, μικροῦ m.—[c] διεξελθόντες ν, ἐληλυθότος q.—[d] ante λόγου omisi τοῦ cum ΑΘΠΦΒΚqνῦ.—[e] που Φ.—[f] οἳ Α et pr Π: οἷοι *ς.—[g] δοκοῖ Θῦ et corr Ξ.—[h] βελτιόνως Agem, βέλτιον ὡς ΠΒΚ: βέλτιον *ς.—[i] τοῦτο μόνον Φῦ, μόνου τούτου ν.—[k] πολλάττα Κ, πόλλ' ἄττα q.—[l] δίκαιος βίος Φῦ.—[m] τὸ om Φῦ.—[n] εἰ γ.—[o] παντοίως γρ Π.—[p] πλανώμενοι ἴσχουσιν ΘΦῦ.—[q] οἱ Θῦ.

§. 1. τοῦ λόγου] Cod. Reg. articulum τοῦ omittit; tunc διὰ μακροῦ τινὸς (quæ per se sunt, *longo sane post tempore*) cum λόγου conjungendum esset; sed rectius, ni fallor, verba ita distinguimus: διὰ μακροῦ τινὸς, διεξελθόντος τοῦ λόγου (postquam oratio persecuta est s. exposuit), μόγις πῶς ἀνεφάνησαν. Ast. qui sic in Addend. 'Haud dubie recte habet, quod reposuimus, διεξελθόντες: *postquam longa oratione persecuti sumus*, h. e. *exposuimus*. Participium nominativo casu absolute positum est. Vid. ad Legg. iii. 7.'

πάντως ἴσχουσι] Fortasse παντοίως ἴσχουσι scribendum. Ficinus: *semper autem per multa mutabiliaque vagantur*. Ast.

λεως ἡγεμόνας εἶναι; Πῶς οὖν λέγοντες ἂν αὐτό, ἔφη, με-
III. i. 275. τρίως λέγοιμεν; Ὁπότεροι ἄν, ἦν δ' ἐγώ, δυνατοὶ φαίνωνται φυλάξαι νόμους τε[s] καὶ ἐπιτηδεύματα πόλεων, τούτους καθιστάναι φύλακας. Ὀρθῶς,[t] ἔφη. Τόδε,[u] ἦν δ' ἐγώ, ἆρα δῆλον, εἴτε τυφλὸν εἴτε ὀξὺν[v] ὁρῶντα[w] χρὴ φύλακα[x] τηρεῖν ὁτιοῦν. Καὶ πῶς, ἔφη, οὐ δῆλον; Ἦ[y] οὖν δοκοῦσί[z] τι[a] τυφλῶν διαφέρειν[b] οἱ τῷ ὄντι τοῦ ὄντος ἑκάστου ἐστερημένοι τῆς γνώσεως, καὶ μηδὲν ἐναργὲς ἐν τῇ ψυχῇ ἔχοντες παράδειγμα, μηδὲ δυνάμενοι, ὥς περ γραφῆς,[c] εἰς τὸ ἀληθέστατον ἀποβλέποντες κἀκεῖσε ἀεὶ ἀναφέροντές τε καὶ θεώμενοι ὡς οἷόν τε ἀκριβέστατα, οὕτω δὴ καὶ τὰ ἐνθάδε νόμιμα καλῶν τε πέρι καὶ δικαίων καὶ ἀγαθῶν τίθεσθαί τε, ἐὰν δέῃ τίθεσθαι, καὶ τὰ κείμενα φυλάττοντες σώζειν; Οὐ μὰ τὸν Δία,[d] ἦ δ' ὅς, οὐ πολύ τι διαφέρειν.[e] Τούτους οὖν μᾶλλον φύλακας στησόμεθα ἢ τοὺς ἐγνωκότας μὲν ἕκαστον τὸ ὄν, ἐμπειρίᾳ δὲ μηδὲν ἐκείνων ἐλλείποντας μηδ' ἐν ἄλλῳ μηδενὶ μέρει ἀρετῆς ὑστεροῦντας; Ἄτοπον μέντ' ἄν, ἔφη, εἴη ἄλλους αἱρεῖσθαι, εἰ γε τἆλλα
II. 485. μὴ ἐλλείποιντο· τούτῳ γὰρ αὐτῷ[f] σχεδόν τι τῷ μεγίστῳ ἂν προέχοιεν.[g] Οὐκοῦν τοῦτο δὴ λέγωμεν,[h] τίνα τρόπον οἷοί τ' ἔσονται[i] οἱ αὐτοὶ κἀκεῖνα καὶ ταῦτα ἔχειν; Πάνυ μὲν οὖν. Ὁ τοίνυν ἀρχόμενοι τούτου τοῦ λόγου ἐλέγο-
III. i. 276. μεν, τὴν φύσιν αὐτῶν πρῶτον δεῖ[k] καταμαθεῖν. καὶ οἶμαι,

—[r] δὴ δεῖ ΑΘΞΠΦqvmr : δεῖ δὴ *s.—[s] τε om m et pr Ξ.—[t] δῆλον v.—[u] τόδε ΑΘΠΦDKvmr, τόδε γ' rc q, τόδε δ' r, τόδε δὲ v, τὸ δὲ δὴ s.—[v] ὀξὺν corr q.—[w] ὁρᾶν DK q.—[x] χρὴ φύλακα ΑΘΠDKvmr : χρὴ τὸν φύλακα *s.—[y] ἢ mr, εἰ v.—[z] οὖν οὐ δοκοῦσί q.—[a] τι Av et rc Π : om ΘΠΦDKr.—[b] τυφλῶν οὐ διαφέρειν q.—[c] γραφῆς A ΘΞΠDKmr : γραφεῖς *s.—[d] δί mr.—[e] διαφέρειν q : διαφέρει *s.—[f] τοῦτο γὰρ αὐτὸ v.—[g] προσέχοιεν ΘΠDKqr et pr Φ.—[h] λέγομεν Θm.—[i] ἐσόμεθα K.—[k] δεῖν ΑΘ

εἴτε] Particula interrogativa est, v. Zeune ad Viger. de Idiotism. p. 515. Ast.

κακεῖσε ἀεὶ ἀναφέροντες] Objectum desideratur: intellige e sequentibus τὰ ἐνθάδε. Phædon. p. 75. B. εἰ ἐμέλλομεν τὰ ἐκ τῶν αἰσθήσεων ἴσα ἐκεῖσε ἀνοίσειν. p. 76. E. καὶ ἐπὶ ταύτην τὰ ἐκ τῶν αἰσθήσεων πάντα ἀναφέρομεν. Solet vero ἀναφέρειν omisso eo, quod referri dicitur, poni, ut γένος. Theæt. 175. A. ἀναφερόντος ἐς Ἡρακλέα τὸν Ἀμφιτρύωνος. Vid. Schäfer. ad Bos. Ellips. p. 76. Ceterum expressit h. l. Cicero Orat. c. 2. 'nec vero ille artifex, quum faceret Jovis formam aut Minervæ, contemplabatur aliquem, e quo similitudinem duceret, sed ipsius in mente insidebat species, pulchritudinis eximia quædam, quam intuens in eaque defixus ad illius similitudinem artem manumque dirigebat.' Similiter Basilius: ὥσπερ οἱ ζωγράφοι, ὅταν ἀπὸ εἰκόνων εἰκονα γράφωσι, πυκνὰ πρὸς τὸ παράδειγμα ἀποβλέποντες τὸν ἐκεῖθεν χαρακτῆρα πρὸς τὸ ἑαυτῶν σπουδάζουσι μεταθεῖναι φιλοτέχνημα. Ast.

ἐὰν ἐκείνην ἱκανῶς ὁμολογήσωμεν, ὁμολογήσειν καὶ ὅτι οἷοί τε ταῦτα ἔχειν οἱ αὐτοὶ ὅτι τε οὐκ ἄλλους πόλεων ἡγεμόνας δεῖ εἶναι ἢ τούτους. [§. 2.] Πῶς; Τοῦτο μὲν δὴ τῶν φιλοσόφων φύσεων πέρι ὡμολογήσθω[l] ἡμῖν, ὅτι μαθήματός γε ἀεὶ[m] ἐρῶσιν οἵ[n] ἂν αὐτοῖς[o] δηλοῖ ἐκείνης τῆς οὐσίας τῆς ἀεὶ οὔσης καὶ μὴ πλανωμένης ὑπὸ γενέσεως καὶ φθορᾶς. Ὡμολογήσθω.[p] Καὶ[q] μήν, ἦν δ' ἐγώ, καὶ ὅτι πάσης αὐτῆς, καὶ[r] οὔτε σμικροῦ οὔτε μείζονος οὔτε τιμιωτέρου οὔτε ἀτιμοτέρου μέρους[s] ἑκόντες ἀφίενται, ὥς περ ἐν τοῖς πρόσθεν περί τε[t] τῶν φιλοτίμων καὶ[u] ἐρωτικῶν διήλθομεν. Ὀρθῶς, ἔφη, λέγεις. Τόδε τοίνυν μετὰ τοῦτο σκόπει εἰ ἀνάγκη ἔχειν πρὸς τούτῳ ἐν τῇ φύσει οἳ ἂν μέλλωσιν ἔσεσθαι οἵους ἐλέγομεν.[v] Τὸ ποῖον;[w] Τὴν ἀψεύδειαν καὶ τὸ ἑκόντας

δ εἰ
ΞΠΦD.—[l] ὁμολογείσθω ΞΦm, ὡμολογησθω r.—[m] ἂν Φr.—[n] ὃ Am et pr Π: ὅσα δ εἰ *s.—[o] αὐτῆς Φr.—[p] ὡμολογήσθω Π, ὡμολογείσθω m, ὁμολογείσθω ΞΦr.—[q] καὶ om ΘΦr.—[r] καὶ om K.—[s] γένους γρ ν.—[t] τε ΑΘΞΠΦqvmr: γε *s.—[u] καὶ om pr D.—[v] λέγομεν ΦDqvr.—[w] τὸ ποῖον om Φ.—[x] γ' νm.—[y] φίλος r.—[z] τῇ DK.—

δεῖ καταμαθεῖν] Ald. Bas. 1. et 2. δεῖν. Ficinus: *perdiscere inprimis oportet*. Ast.

§. 2. ὅσα] Nec post ὅσα, nec ante vel post genitivos sequentes quicquam desiderari puto. Nam ante ὅσα subaudire τινὸς ἐκείνων (ut intelligamus non aliter quam si dictum esset μαθήματος ἐρῶσι τινὸς ἐκείνων ὅσα) minime novum est: cum illis autem genitivis subaudiit et Fic. accus. φύσιν (neque enim in ullo exemplari legisse puto) quippe qui locum hunc ita reddiderit, *Hoc itaque inter nos primum constet de philosophorum ingeniis, quod semper eam diligunt disciplinam qua illis notior fiat natura illa quæ semper est, neque generatione et corruptione mutatur.* Sed cur accusativum hunc relinquere subaudiendum licuit? non aliam cur hoc sibi licere putaverit caussam esse puto, quam quod præcederet genitivus pluralis φύσεων, licet non de eadem re dictus. Steph.

ὅσα ἂν αὐτοῖς δηλοῖ] μαθήματος ἀεὶ est i. q. παντὸς μαθήματος s. πάντων μαθημάτων; hinc sequitur ὅσα. Verbum δηλοῖ partitionem indicat, quocirca genitivus sequitur ἐκείνης τῆς οὐσίας. Sic Herodot. vii. 6. κατέλεγε τῶν χρησμῶν. Gorg. p. 514. A. πράξοντες τῶν πολιτικῶν πραγμάτων. Vid. Dawes. Misc. Crit. p. 310. Koen. ad Gregor. p. 50. Pierson. ad Mœr. p. 165. Themistius Orat. xxi. p. 250. C. hunc locum ita exhibet: τοῦτο μὲν δὴ ὁμολογείσθω τῆς φιλοσόφου φύσεως πέρι, ὅτι (e Petavii emendatione) μαθήματος δέοι οὗτοι παντὸς, ἀλλ' ὃ ἂν ἐκείνην δηλοῖ τὴν οὐσίαν τὴν ἀεὶ οὖσαν καὶ μὴ πλανωμένην ὑπὸ φθορᾶς καὶ γενέσεως. Unde Petavius not. p. 504. etiam in Platone ἐκείνην τὴν οὐσίαν cet. corrigi et οὗτοι παντὸς, ἀλλ' ὃ ἂν pro ὅσα legi volebat, sine causa. Ast.

πάσης αὐτῆς] Int. ἐπιστήμης s. μαθήσεως, quod eruendum est a prægresso μαθήματος, de quo satis obvio loquendi genere vid. Viger. de Idiotism. p. 43. Ernest. ad Xenoph. Mem. i. 4. 18. et Hindenburg. Animadv. p. 25. Mox Cod. Reg. prætermittit καί, ut construendum sit: ὅτι οὔτε σμικροῦ, οὔτε μείζονος—μέρους πάσης αὐτῆς ἑκόντες ἀφίενται; sed præstat πάσης αὐτῆς καὶ legere et ex prægressis supplere ἐρῶσιν. Ast.

οἵους ἐλέγομεν] Cod. Reg. λέγομεν; sed Ficinus quoque vertit, *quales narravimus*. Ast.

τὴν ἀψεύδειαν] Vid. Themist. Orat. xxi. p. 257. C. Ast.

εἶναι μηδαμῇ προσδέχεσθαι τὸ ψεῦδος, ἀλλὰ μισεῖν, τὴν δ' ἀλήθειαν στέργειν. Εἰκός γε,[x] ἔφη. Οὐ μόνον γε, ὦ φίλε,[y] εἰκός, ἀλλὰ καὶ πᾶσα ἀνάγκη τὸν ἐρωτικῶς του[z] φύσει ἔχοντα πᾶν τὸ ξυγγενές τε καὶ οἰκεῖον τῶν παιδικῶν ἀγαπᾶν. Ὀρθῶς, ἔφη. Ἦ οὖν οἰκειότερον σοφίᾳ τι
III. i. 277. ἀληθείας ἂν[a] εὕροις; Καὶ πῶς; ἦ δ' ὅς. Ἦ οὖν δυνατὸν εἶναι τὴν αὐτὴν φύσιν φιλόσοφόν τε καὶ φιλοψευδῆ; Οὐδαμῶς γε. Τὸν ἄρα τῷ[b] ὄντι φιλομαθῆ πάσης ἀληθείας δεῖ εὐθὺς ἐκ νέου ὅτι μάλιστα ὀρέγεσθαι. Παντελῶς γε. Ἀλλὰ μὴν ὅτῳ γε εἰς ἕν τι αἱ ἐπιθυμίαι σφόδρα ῥέπουσιν, ἴσμεν που ὅτι εἰς τἆλλα τούτῳ ἀσθενέστεραι, ὡς[c] περ ῥεῦμα ἐκεῖσε ἀπωχετευμένον.[d] Τί μήν; Ὧι δὴ[e] πρὸς τὰ μαθήματα καὶ πᾶν τὸ τοιοῦτον ἐρρύηκασι, περὶ τὴν τῆς ψυχῆς, οἶμαι, ἡδονὴν αὐτῆς[f] καθ' αὑτὴν εἶεν ἄν, τὰς δὲ διὰ τοῦ σώματος ἐκλείποιεν,[g] εἰ μὴ πεπλασμένως[h] ἀλλ' ἀληθῶς φιλόσοφός τις εἴη. Μεγάλη ἀνάγκη. Σώφρων μὴν ὅ γε[i] τοιοῦτος καὶ οὐδαμῇ φιλοχρήματος· ὧν γὰρ ἕνεκα χρήματα μετὰ πολλῆς δαπάνης σπουδάζεται, ἄλλῳ[k] τινὶ μᾶλλον ἢ τούτῳ προσήκει σπουδάζειν. Οὕτως. Καὶ
II. 486. μήν που καὶ τόδε δεῖ σκοπεῖν, ὅταν κρίνειν μέλλῃς[l] φύσιν φιλόσοφόν τε καὶ μή. Τὸ ποῖον; Μή σε λάθῃ μετέχουσα[m] ἀνελευθερίας·[n] ἐναντιώτατον γάρ που σμικρολογίᾳ ψυχῇ μελλούσῃ τοῦ ὅλου καὶ παντὸς ἀεὶ ἐπορέξεσθαι[o] θείου

[a] ἂν ante ἀληθείας ponit *v*, om Φτ.—[b] τῶν Ξ.—[c] ὡς corr D.—[d] ἀπωχετευμένον ΑΘΠΦmr, ἀπωχετευμένον D, ἐπωχετευμένον Kq, ἀποχετευόμεναι *v* : ἀποχετευόμενον *s*.—[e] δὴ ΑΘΞΠΦνmr : δὲ **s*.—[f] τὴν *v*.—[g] ἐκλίποιεν Φ.—[h] πεπλασμένος K.—[i] γε μὴν δ K, γε μὴν δ᾽γε *q*.—[k] ἄλλο τι Φτ.—[l] μέλλῃ D.—[m] λάθῃ ψυχὴ μετέ-

ἐρωτικῶς τοῦ (i. e. τινὸς) ἔχοντα] ἐρωτικῶς ἔχειν (Lys. 211. E. Xenoph. Cyrop. iii. 3. 8. Œconom. xii. 15. Hier. i. 21.), ut ἐπιθυμητικῶς ἔχειν (Phædon. 108. A.) cum genitivo construitur. Cf. Spanh. ad Julian. Cæsar. p. 125.—Cod. Reg. ἐρωτικῶς τῇ φύσει vitiose. Ficinus quoque: *qui ex natura ad aliquid amore afficitur.* Ast.

al ἐπιθυμίαι—ῥέπουσιν] Vid. Themist. Orat. xxii. p. 269. D. Ast.

ᾧ δὴ] δὴ pro δὲ e Bas. 2. sensu flagitante, recepimus. Sic et Ficinus: *Quicunque igitur—flagrant.* Ast.

φιλοσόφου] Ita pro φιλόσοφον scripsimus, etiam Ficino suadente, ut qui verterit, *quoties naturam ejus, qui philosophus sit, et ejus, qui non sit, discernere cupis.* Ast. qui sic in Addend. 'Conjiciat fortasse quispiam legendum esse φιλοσόφου τε καὶ μή; sic enim c. 5. fin. τὴν τῶν ἀληθῶς φιλοσόφων φύσιν. C. 6. p. 492. A. Ἦν—τοῦ φιλοσόφου φύσιν. Sed φιλόσοφον rectius esse censeo. Infra quoque legimus ψυχὴν—φιλόσοφον καὶ μή. vi. 8. p. 491. A. φιλοσόφῳ φύσει. c. 9. init. τὰ τῆς φιλοσόφου φύσεως μέρη.'

τε καὶ ἀνθρωπίνου. Ἀληθέστατα, ἔφη. Ἦι[p] οὖν ὑπάρχει διανοίᾳ[q] μεγαλοπρέπεια καὶ θεωρία παντὸς μὲν χρόνου, III. i. 278.
πάσης δὲ οὐσίας, οἷόν τε οἴει[r] τούτῳ μέγα τι δοκεῖν εἶναι τὸν ἀνθρώπινον βίον; Ἀδύνατον, ἦ δ' ὅς. Οὐκοῦν καὶ θάνατον οὐ δεινόν τι ἡγήσεται ὁ τοιοῦτος; Ἥκιστά γε. Δειλῇ δὴ[s] καὶ ἀνελευθέρῳ φύσει φιλοσοφίας ἀληθινῆς, ὡς ἔοικεν,[t] οὐκ ἂν μετείη. Οὔ μοι δοκεῖ. Τί οὖν; ὁ κόσμιος καὶ μὴ φιλοχρήματος μηδ' ἀνελεύθερος μηδ' ἀλαζὼν μηδὲ δειλὸς ἔσθ' ὅπῃ[u] ἂν δυσξύμβολος ἢ ἄδικος γένοιτο; Οὐκ ἔστιν.[v] Καὶ τοῦτο δὴ ψυχὴν σκοπῶν φιλόσοφον καὶ μὴ εὐθὺς νέου ὄντος ἐπισκέψει,[w] εἰ ἄρα δικαία τε καὶ ἥμερος ἢ δυσκοινώνητος[x] καὶ ἀγρία. Πάνυ μὲν οὖν. Οὐ μὴν οὐδὲ τόδε παραλείψεις, ὡς ἐγῷμαι. Τὸ ποῖον; Εὐμαθὴς ἢ δυσμαθής.[y] ἢ προσδοκᾷς ποτέ τινά τι[z] ἱκανῶς ἂν στέρξαι, ὃ πράττων ἂν ἀλγῶν τε πράττοι καὶ μόγις σμικρὸν ἀνύτων;[a] Οὐκ ἂν γένοιτο. Τί δ'; εἰ μηδὲν ὧν μάθοι σώζειν δύναιτο, λήθης ὢν πλέως,[b] ἆρ' ἂν οἷός τ' εἴη ἐπιστήμης μὴ κενὸς εἶναι; Καὶ πῶς; Ἀνόνητα[c] δὴ[d] πονῶν οὐκ οἴει ἀναγκασθήσεται[e] τελευτῶν αὑτόν τε μισεῖν καὶ τὴν τοιαύτην πρᾶξιν; Πῶς δ' οὔ; [§. 3.] Ἐπιλήσμονα ἄρα ψυχὴν ἐν ταῖς ἱκανῶς φιλοσόφοις μή ποτε ἐγκρίνωμεν,[f] ἀλλὰ III. i. 279.
μνημονικὴν αὐτὴν ζητῶμεν δεῖν[g] εἶναι. Παντάπασι μὲν

ὦ ... ας χουσα v.—[n] ἐλευθερίας Φr.—[o] ἐπορέγεσθαι ϛ.—[p] ἦ ΠD, ὦ Φqvr, ἢ m.—[q] διάνοία r, διανοίας Φqv, διάνοια m.—[r] εἴη K.—[s] δὴ Aqm: δὲ *ϛ.—[t] ὡς ἔοικεν ἀληθινῆς Θ Φr.—[u] ὅποι K.—[v] οὐκέτι m.—[w] ἐπισκέψει vm.—[x] δυσκοινώνητος καὶ ΑΠDKqvm: δυσκοινώνητός τε καὶ *ϛ.—[y] ἢ δυσμαθής om q.—[z] τι om ΘΠDKq.—[a] ἀνύττων Ξm ϛ.—[b] ἀνάπλεως v.—[c] ἀνόητα A et pr Π.—[d] δὴ ΑΘΞvmr: δὲ *ϛ.—[e] ἀναγκασθή-

ᾧ—διανοίας μεγαλοπρέπεια] Sic reposuimus pro ᾗ—διανοίᾳ, auctoritate M. Antonini vii. §. 35. qui hunc locum sic expressit: ᾧ οὖν ὑπάρχει διάνοια μεγαλοπρεπὴς—ἆρα οἴει—et Ficini, qui vertit: *cui cogitationis adest magnificentia.*—Unde ᾗ enatum sit, facile est perspectu; nimirum σ oblitterato, διανοία propter sequentem nominativum, in διανοίᾳ et ᾧ in ᾗ mutabatur. Ὧι διανοίας μεγαλοπρέπεια non solum sensum præbet concinniorem, verum etiam sequenti τούτῳ convenientius est. Pro οἷόν τε οἴει Cod. Reg. legit οἷόν τε εἴη. Etiam Ficinus οἴει non expressit vertens, *humana vita magnum quid videri non potest.* Deinde Ald. Bas. 1. et 2. legunt δοκεῖ. Ast.

ὁ κόσμιος] Laudat Themist. Orat. xxi. p. 259. D. Ast.

σώζειν] Proprie usurpatur de *memoria*, vid. Heind. ad Theæt. §. 26. Erfurdt. ad Soph. Trach. p. 271. Baumgarten-Crus. Recit. de Studiis Philologic. in Beckii Actis Seminar. Reg. v. i. p. 38. not. 21. Ast.

ἀνόνητα] Haud dubie scribendum est ἀνήνυτα. Vid. ad Legg. iv. 6. Ast.

οὖν. Ἀλλ' οὐ μὴν[h] τό γε τῆς ἀμούσου τε[i] καὶ ἀσχήμονος φύσεως ἄλλοσέ ποι[k] ἂν φαῖμεν[l] ἔλκειν ἢ εἰς ἀμετρίαν. Τί μήν; Ἀληθειαν δὲ ἀμετρίᾳ ἡγεῖ[m] ξυγγενῆ εἶναι ἢ ἐμμετρίᾳ; Ἐμμετρίᾳ.[n] Ἔμμετρον ἄρα καὶ εὔχαριν ζητῶμεν πρὸς τοῖς ἄλλοις διάνοιαν φύσει, ἣν[o] ἐπὶ τὴν τοῦ ὄντος ἰδέαν ἑκάστου τὸ αὐτοφυὲς εὐάγωγον παρέξει. Πῶς δ' οὔ; Τί οὖν; μή πῃ δοκοῦμέν[p] σοι οὐκ ἀναγκαῖα ἕκαστα διελληλυθέναι καὶ ἑπόμενα ἀλλήλοις τῇ μελλούσῃ τοῦ ὄντος ἱκανῶς τε καὶ τελέως[q] ψυχῇ μεταλήψεσθαι; Ἀναγκαιότατα[r]
II. 487. μὲν οὖν, ἔφη. Ἔστιν οὖν ὅπῃ μέμψει[s] τοιοῦτον ἐπιτήδευμα, ὃ μή ποτ' ἄν τις οἷός τε γένοιτο ἱκανῶς[t] ἐπιτηδεῦσαι, εἰ μὴ φύσει εἴη μνήμων, εὐμαθής, μεγαλοπρεπής, εὔχαρις, φίλος τε καὶ ξυγγενὴς ἀληθείας, δικαιοσύνης, ἀνδρίας, σωφροσύνης; Οὐδ' ἂν ὁ Μῶμος, ἔφη, τό γε τοιοῦτον[u] μέμψαιτο. Ἀλλ', ἦν δ' ἐγώ, τελειωθεῖσι τοῖς τοιούτοις παιδείᾳ τε καὶ ἡλικίᾳ ἆρα[v] οὐ μόνοις ἂν[w] τὴν πόλιν ἐπιτρέποις;

III. i. 280. Καὶ ὁ Ἀδείμαντος, Ὦ Σώκρατες, ἔφη, πρὸς μὲν ταῦτά σοι οὐδεὶς ἂν οἷός τ' εἴη ἀντειπεῖν· ἀλλὰ γὰρ τοιόνδε τι πάσχουσιν οἱ ἀκούοντες ἑκάστοτε ἃ νῦν λέγεις· ἡγοῦνται δι' ἀπειρίαν τοῦ ἐρωτᾶν τε[x] καὶ ἀποκρίνεσθαι ὑπὸ τοῦ λόγου παρ' ἕκαστον τὸ ἐρώτημα σμικρὸν παραγόμενοι,[y] ἀθροισθέντων τῶν[z] σμικρῶν ἐπὶ τελευτῆς τῶν λόγων μέγα τὸ σφάλμα καὶ ἐναντίον τοῖς πρώτοις ἀναφαίνεσθαι,[a] καὶ ὥς[b] περ ὑπὸ τῶν πεττεύειν δεινῶν οἱ μὴ τελευτῶντες ἀποκλείονται[c] καὶ οὐκ ἔχουσιν ὅ τι φέρωσιν,[d] οὕτω καὶ σφεῖς[e] τε-

σεσθαι ΘΦΚr.—[f] κρίνωμεν s.—[g] δεῖ pr Ξ.—[h] μὴν ΘΞΠΦDKqmr : μὴ *s.—[i] τε om pr Ξ.—[k] ποι ΑΘΞΠΦvmr : πῃ *s.—[l] φαῖμεν ΑΘΞΠΦr, θέμεν m, φαμὲν v : φῶμεν *s.—[m] ἡγεῖ v.—[n] Ἐμμετρίᾳ om r.—[o] ἣ q.—[p] δοκῶμεν Φr.—[q] τελείως q.—[r] ἀναγκαιότατον q.—[s] μέμψει v.—[t] ἱκανὸς r.—[u] τοιοῦτο Θr.—[v] ἄρα om q.—[w] ἂν om m et pr Ξ.—[x] τε om Ξm et pr Π.—[y] παραγόμενοι v.—[z] δὲ τῶν v.—[a] ἀποφαίνεσθαι Θr.—[b] ὡς pr Π.—[c] ἀποκλείουσι Φ.—[d] φέρωσιν s: mei φέρουσιν. sed q hæc φέρωσιν...ἔχειν ὅ τι om.—[e] σφᾶς K.—[f] τελευτῶντας ΦKr et corr D.—[g] ἔχουσιν Θ.

§. 3. οὐ μὴ—φῶμεν] De οὐ μὴ (*nullo modo*), v. ad i. 15. Ast.

ἦν—ἑκάστου παρέξει] Interpretes hæc ita expresserunt, ac si ἑκάστου ad ὄντος trahendum sit; at ἑκάστου τὸ αὐτοφυὲς est *propria cujusque natura*. Mox οἱ μὴ, int. πεττεύειν δεινοί. Ast.

ἀποκλείονται] *Intercluduntur*, ad incitas rediguntur. Vid. Wesseling. ad Diodor. Sic. ii. 26. p. 140. Ast.

λευτῶντες[f] ἀποκλείεσθαι καὶ οὐκ ἔχειν[g] ὅ τι λέγωσιν[h] ὑπὸ πεττείας αὖ[i] ταύτης τινὸς ἑτέρας, οὐκ ἐν ψήφοις ἀλλ' ἐν λόγοις, ἐπεὶ τό γε[k] ἀληθὲς οὐδέν τι μᾶλλον ταύτῃ[l] ἔχειν. λέγω δ' εἰς τὸ παρὸν ἀποβλέψας· νῦν γὰρ φαίη ἄν τίς σοι[m] λόγῳ μὲν οὐκ ἔχειν καθ' ἕκαστον τὸ ἐρωτώμενον ἐναντιοῦσθαι, ἔργῳ δὲ ὁρᾷν, ὅσοι ἂν ἐπὶ φιλοσοφίαν ὁρμήσαντες μὴ τοῦ πεπαιδεῦσθαι[n] ἕνεκα ἁψάμενοι νέοι ὄντες ἀπαλλάττωνται, ἀλλὰ μακρότερον ἐνδιατρίψωσι, τοὺς μὲν πλείστους καὶ πάνυ ἀλλοκότους γιγνομένους, ἵνα μὴ παμπονήρους εἴπωμεν, τοὺς δὲ[o] ἐπιεικεστάτους δοκοῦντας ὅμως[p] τοῦτό γε ὑπὸ[q] τοῦ ἐπιτηδεύματος οὗ σὺ ἐπαινεῖς πάσχοντας, ἀχρήστους ταῖς πόλεσι γιγνομένους. Καὶ ἐγὼ ἀκούσας, Οἴει οὖν, εἶπον, τοὺς ταῦτα λέγοντας ψεύδεσθαι; III. i. 281.
Οὐκ οἶδα, ἦ δ' ὅς, ἀλλὰ τὸ σοὶ δοκοῦν ἡδέως ἂν ἀκούοιμι. Ἀκούοις ἂν ὅτι ἔμοιγε φαίνονται τἀληθῆ λέγειν. Πῶς[r] οὖν, ἔφη, εὖ ἔχει λέγειν ὅτι[s] οὐ πρότερον κακῶν παύσονται αἱ πόλεις πρὶν ἂν ἐν αὐταῖς οἱ φιλόσοφοι ἄρξωσιν, οὓς ἀχρήστους ὁμολογοῦμεν αὐταῖς εἶναι; Ἐρωτᾷς, ἦν δ' ἐγώ, ἐρώτημα[t] δεόμενον ἀποκρίσεως δι' εἰκόνος λεγομένης. Σὺ δέ γε,[u] ἔφη, οἶμαι, οὐκ εἴωθας δι' εἰκόνων[v] λέγειν. [§. 4.] Εἶεν, εἶπον· σκώπτεις[w] ἐμβεβληκώς με εἰς λόγον οὕτω δυσαπόδεικτον;[x] ἄκουε δ' οὖν τῆς εἰκόνος, ἵν' ἔτι μᾶλ- II. 488.
λον ἴδῃς ὡς γλίσχρως εἰκάζω. οὕτω γὰρ χαλεπὸν τὸ[y] πά-

—[h] λέγουσιν q, λέγοιεν Φ.—[i] οὖν K.—[k] γ' v.—[l] ταύτην Am.—[m] σοι om v.—[n] πεπαιδεῦσθαι ΑΘΠΦDKvr, παιδεύεσθαι Ξm : προπεπαιδεῦσθαι ϛ.—[o] δ' m.—[p] ὁμῶς Φ, ὅμως δὲ v.—[q] ἐπὶ ΘΠΦDKr.—[r] πῶς...λέγειν om ΘΦr.—[s] καὶ ὅτι rc Θ.—[t] τὸ ἐρώτημα K.—[u] γε om ΘΦr.—[v] εἰκόνος Ξm.—[w] σκώπτη (εις) Θ, σκώπτει Π, σκώπτη Φr.—[x] δυσαπόδεκτον v.—[y] τὸ om Am et pr Ξ.—[z] πλῆθος γρ A.—[a] ἐν οὐδενὶ ΘΦDKqr

ἐπεὶ τό γε ἀληθὲς ἔχειν] Steinbrüchel. ad Eurip. in Mus. Turic. i. 2. p. 292. 'Non enim id dicitur, a neutra parte veritatem esse existimari ab iis, qui conclusionum contortarum in se continuationi jam non habeant, quod reponant, sed persuadere nihilo secius eos sibi, quanquam obmutescentes, a parte philosophi verum neutiquam esse.' Ast.

ὅσοι ἂν ἐπὶ φιλοσοφίαν ὁρμήσαντες] Cf. Gorg. p. 484. C. Ast.

ἀχρήστους γιγνομένους] Pro ὅτι ἄχρηστοι γίγνονται. Sic sæpe participium ponitur participio prægresso pro modo finito cum conjunctione. x. 5. ἀνὴρ—τοιᾶσδε τύχης μετασχὼν, ὑὸν ἀπολέσας. Apollonid. xxx. 1. Antholog. Græc. t. ii. p. 126. ὃς οὐκ ἔτλη κακὸν ἔσχατον, υἱέα κλαύσας; Ast.

τό σοι δοκοῦν] *Tuam sententiam*; vid. Herm. ad Viger. p. 330. Ast.

§. 4. γλίσχρως] Est *putide*, σμικρολόγως, v. interpp. ad Criton. c. 15. Heind. ad Cratyl. p. 104. Ast.

θος[z] τῶν ἐπιεικεστάτων, ὃ πρὸς τὰς πόλεις πεπόνθασιν, ὥστ' οὐδ' ἔστιν ἓν οὐδὲν[a] ἄλλο[b] τοιοῦτον[c] πεπονθός, ἀλλὰ δεῖ ἐκ πολλῶν αὐτὸ ξυναγαγεῖν εἰκάζοντα καὶ ἀπολογούμενον ὑπὲρ[d] αὐτῶν, οἷον οἱ γραφῆς[e] τραγελάφους καὶ τὰ τοιαῦτα μιγνύντες γράφουσι. νόησον γὰρ τοιουτονὶ[f] γενόμενον εἴτε πολλῶν νεῶν πέρι εἴτε μιᾶς ναύκληρον, μεγέθει μὲν καὶ ῥώμῃ ὑπὲρ τοὺς ἐν τῇ νηΐ πάντας,[g] ὑπόκωφον δὲ καὶ ὁρῶντα ὡσαύτως βραχύ τι καὶ γιγνώσκοντα περὶ ναυτικῶν
III. i. 282. ἕτερα τοιαῦτα, τοὺς δὲ ναύτας στασιάζοντας πρὸς ἀλλήλους περὶ τῆς κυβερνήσεως, ἕκαστον οἰόμενον δεῖν κυβερνᾶν μήτε μαθόντα πώποτε τὴν τέχνην μήτε ἔχοντα ἀποδεῖξαι διδάσκαλον ἑαυτοῦ μηδὲ χρόνον ἐν ᾧ ἐμάνθανε, πρὸς δὲ τούτοις φάσκοντας μηδὲ διδακτὸν εἶναι, ἀλλὰ καὶ τὸν λέγοντα ὡς διδακτὸν[h] ἑτοίμους κατατέμνειν, αὐτοὺς δὲ αὐτῷ ἀεὶ τῷ ναυκλήρῳ περικεχύσθαι δεομένους καὶ πάντα ποιοῦντας ὅπως ἂν σφίσι τὸ πηδάλιον ἐπιτρέψῃ,[i] ἐνίοτε δ'[k] ἂν μὴ πείθωσιν ἀλλὰ ἄλλοι μᾶλλον, τοὺς μὲν ἄλλους ἢ ἀποκτινύντας[l] ἢ ἐκβάλλοντας[m] ἐκ τῆς νεώς, τὸν δὲ γενναῖον ναύκληρον μανδραγόρᾳ ἢ μέθῃ ἤ τινι ἄλλῳ συμποδίσαντας τῆς νεὼς ἄρχειν χρωμένους τοῖς ἐνοῦσι, καὶ πίνοντάς τε καὶ εὐωχουμένους πλεῖν[n] ὡς[o] τὸ εἰκὸς τοὺς τοιούτους,[p] πρὸς δὲ τούτοις ἐπαινοῦντας ναυτικὸν μὲν καλοῦντας καὶ κυβερνητικὸν καὶ ἐπιστάμενον τὰ κατὰ ναῦν ὃς[q] ἂν ξυλλαμβάνειν

et corr Π.—[b] ἄλλω ΦKqr et corr Π.—[c] τοιοῦτον ΑΘΞΠvmr, τοιοῦτό τι Φ, τοιούτω K : τοιοῦτο s.—[d] καὶ ὑπὲρ ἀπολογούμενον ὑπὲρ v.—[e] γραφεῖς libri.—[f] τοιοῦτον v, τουτονὶ m.—[g] πάντας ΑΘΠΦDKqvmr : ἅπαντας s.—[h] ὡς δυνατὸν K.—[i] ἐπιτρέψῃ ΑΘΞΠΦKvmr : ἐπιτρέψοι *s.—[k] δ' om v.—[l] ἀποκτεινύντας v.—[m] ἐκβαλόντας Km.—[n] πλεῖον ΘΞΠqr, πλὴν m.—[o] εἰς v.—[p] τοῖς τοιούτοις Φ.—[q] ἄρξουσιν ΑΠvm :

τραγελάφους] Tragelaphus animal est commentitum, ex hirco et cervo compositum (v. Plin. H. N. viii. 33.) Aristoph. Ran. 468. Lucian. Prometh. §. 7. ubi v. Hemsterh. t. i. p. 226. Bip. Salmas. Exercitat. Plin. p. 862. Wesseling. ad Diod. i. 51. 163. Τραγέλαφοι, Chimæræ et similia sunt, ἐν μόνῃ τῇ διανοίᾳ κείμενα ὀνόματα, ut Ammonius dicit περὶ ἑρμηνείας p. 12. Ast.

ἕτερα τοιαῦτα] *Similiter, eodem modo.* Protagor. 326. A. οἱ τ' αὖ κιθαρισταὶ ἕτερα τοιαῦτα σωφροσύνης τε ἐπιμέλονται. Vid. Heind. ad Phædon. §. 5. Ast.

ἐπιτρέψῃ] Sic Bas. 2. et Cod. Reg. libri reliqui ἐπιτρέψοι. Ast.

μανδραγόρᾳ] Vid. Schol. Ruhnk. p. 169. et de mandragoræ vi soporifera cf. Plin. H. N. xv. 2. H. Stephan. Schediasm. vi. 6. et interpp. ad Lucian. Timon. c. 2. Ast.

πλεῖν] *Navigare*, non i. q. πλέον, ut editores Bipontini explicant. Bas. 2. πλειόνως pro πλεῖν, ὡς. Ast.

τοὺς τοιούτους] γρ. τοῖς τοιούτοις. Steph.

δεινὸς ἦ ὅπως ἄρξουσιν[q] ἢ πείθοντες ἢ βιαζόμενοι τὸν ναύκληρον, τὸν δὲ μὴ τοιοῦτον ψέγοντας ὡς ἄχρηστον, τοῦ δὲ ἀληθινοῦ κυβερνήτου πέρι μηδ' ἐπαΐοντας[r] ὅτι ἀνάγκη αὐτῷ τὴν ἐπιμέλειαν ποιεῖσθαι ἐνιαυτοῦ καὶ ὡρῶν καὶ οὐρανοῦ καὶ ἄστρων καὶ πνευμάτων καὶ πάντων τῶν τῇ[s] τέχνῃ προσηκόντων, εἰ μέλλει[t] τῷ ὄντι νεὼς ἀρχικὸς ἔσεσθαι, ὅπως III. i. 283.
δὲ[u] κυβερνήσει[v] ἐάν τέ τινες βούλωνται[w] ἐάν τε μή, μήτε τέχνην τούτου μήτε μελέτην οἰομένους[x] δυνατὸν εἶναι λαβεῖν ἅμα καὶ τὴν κυβερνητικήν. τοιούτων δὴ[y] περὶ τὰς ναῦς γιγνομένων τὸν ὡς[z] ἀληθῶς κυβερνητικὸν οὐχ ἡγεῖ ἂν τῷ ὄντι μετεωροσκόπον τε καὶ ἀδολέσχην καὶ ἄχρηστόν σφισι καλεῖσθαι ὑπὸ τῶν ἐν ταῖς οὕτω κατεσκευασμέναις[a] II. 489.
ναυσὶ πλωτήρων; Καὶ μάλα,[b] ἔφη ὁ Ἀδείμαντος. Οὐ δή, ἦν δ' ἐγώ, οἶμαι δεῖσθαί[c] σε ἐξεταζομένην τὴν εἰκόνα ἰδεῖν, ὅτι ταῖς πόλεσι πρὸς τοὺς ἀληθινοὺς φιλοσόφους τὴν[d] διάθεσιν ἔοικεν, ἀλλὰ μανθάνειν[e] ὃ λέγω. Καὶ μάλ', ἔφη. Πρῶτον μὲν τοίνυν ἐκεῖνον τὸν θαυμάζοντα ὅτι οἱ φιλόσοφοι οὐ τιμῶνται ἐν ταῖς πόλεσι, δίδασκέ τε τὴν εἰκόνα καὶ πειρῶ πείθειν ὅτι πολὺ ἂν θαυμαστότερον ἦν εἰ ἐτιμῶντο. Ἀλλὰ διδάξω, ἔφη. Καὶ ὅτι τοίνυν τἀληθῆ λέγει,[f] ὡς

ἄρξωσιν *ς.—[r] ἐπαΐοντες ΑΘΞΠm.—[s] τῇ om v.—[t] μέλλοι Φ.—[u] τε ΘΞΦr.—[v] κυβερνήσῃ ΦDKqvmr.—[w] βουλεύωνται DK.—[x] οἰόμενοι ΑΘΞΠΦDKqvmr, οἰομένου mg D.—[y] δὴ...γιγνομένων om v.—[z] ὡς om m et pr Ξ. ἡγοῖ' v.—[a] κατασκευασμέναις m.—[b] μάλ' v.—[c] σε δεῖσθαι K.—[d] διὰ τὴν Ξ.—[e] μανθάνεις Φr.—[f] λέγει D,

ὅπως ἄρξουσιν] Vulgo ἄρξωσιν, solœce. Ast.

ὅπως δὲ κυβερνήσει] Int. ἐπιμέλειαν ποιεῖσθαι, *curam habere, ut gubernet* s. regat sic, ut scientia et ars gubernandi postulat, non ut multitudo imperita vult. Δὲ positum est, ac si μὲν præcesserit, ut centies. Ast.

καὶ τὴν κυβερνητικὴν] *Fieri non posse putant, ut ars regendi cum arte gubernandi conjungi queat*, h. e. ad navem gubernandam haud necessariam esse imperandi scientiam credunt. Duplex igitur officium gubernatoris describitur: alterum gubernatoris (scientia astronomica, meteorologica, ceteræque ad navigationem pertinentes), alterum imperatorium: ἐπιμελείαν ποιεῖσθαι τοῦ ἐνιαυτοῦ cet. et ὅπως κυβερνήσει ἐάν τε τινες βούλωνται, ἐάν τε μή; hæc significantur verbis τὴν κυβερνητικὴν et τέχνην τούτου (τοῦ κυβερνᾶν, i. e. imperandi, ut quæ scientia et ars ipsum doceant, a multitudine ipsi subdita fieri curet, eamque cogat omnia ea facere, quæ jusserit; sic theoria cum praxi, ut nos dicimus, copulatur, quod imperita multitudo fieri posse negat).—Pro οἰομένους Cod. Reg. et Bas. 2. legunt οἰόμενοι, quod haud spernendum; namque solet oratio obliqua in rectam transire, quod h. l. eo convenientius est, quod τινὲς—βούλωνται præcedit. Vid. Bast. Epist. Crit. p. 113. Ast.

μετεωροσκ. κ. ἀδολέσχ.] Vid. nostra Phædr. p. 374. Ast.

ὅτι ταῖς πόλεσιν] Construe: ὅτι ἔοικε ταῖς πόλεσιν (κατὰ) τὴν διάθεσιν (αὐτῶν) πρὸς τοὺς ἀληθινοὺς φιλοσόφους. Ast.

λέγεις] For. λέγει, videlicet ἐκεῖνος ὁ

ἄχρηστοι τοῖς πολλοῖς οἱ ἐπιεικέστατοι τῶν ἐν φιλοσοφίᾳ· τῆς μέντοι ἀχρηστίας τοὺς μὴ χρωμένους κέλευε αἰτιᾶσθαι ἀλλὰ μὴ τοὺς ἐπιεικεῖς. οὐ γὰρ ἔχει φύσιν κυβερνήτην ναυτῶν δεῖσθαι ἄρχεσθαι ὑφ' αὑτοῦ[g] οὐδὲ τοὺς σοφοὺς ἐπὶ[h]
III. i. 284. τὰς τῶν πλουσίων[i] θύρας ἰέναι, ἀλλ' ὁ τοῦτο[k] κομψευσάμενος ἐψεύσατο, τὸ δὲ ἀληθὲς πέφυκεν, ἐάν τε πλούσιος ἐάν τε πένης κάμνῃ, ἀναγκαῖον εἶναι[l] ἐπὶ ἰατρῶν θύρας ἰέναι καὶ πάντα τὸν ἄρχεσθαι δεόμενον ἐπὶ τὰς τοῦ ἄρχειν δυναμένου, οὐ τὸν ἄρχοντα δεῖσθαι τῶν ἀρχομένων ἄρχεσθαι, οὗ ἂν τῇ ἀληθείᾳ τι ὄφελος ᾖ. ἀλλὰ τοὺς νῦν πολιτικοὺς ἄρχοντας ἀπεικάζων οἷς ἄρτι ἐλέγομεν ναύταις οὐχ ἁμαρτήσει,[m] καὶ τοὺς ὑπὸ τούτων ἀχρήστους λεγομένους καὶ μετεωρολέσχας τοῖς ὡς[n] ἀληθῶς κυβερνήταις. Ὀρθότατα, ἔφη. Ἐκ τε τοίνυν τούτων καὶ ἐν τούτοις οὐ ῥᾴδιον εὐδοκιμεῖν τὸ βέλτιστον[o] ἐπιτήδευμα ὑπὸ τῶν τἀναντία ἐπιτηδευόντων, πολὺ[p] δὲ μεγίστη καὶ ἰσχυροτάτη διαβολὴ γίγνεται φιλοσοφίᾳ[q] διὰ τοὺς τὰ τοιαῦτα φάσκοντας ἐπιτηδεύειν, οὓς δὴ σὺ φῂς τὸν ἐγκαλοῦντα τῇ φιλοσοφίᾳ λέγειν ὡς παμπόνηροι οἱ πλεῖστοι τῶν ἰόντων ἐπ' αὐτήν, οἱ δὲ ἐπιεικέστατοι ἄχρηστοι, καὶ ἐγὼ συνεχώρησα ἀληθῆ[r] σε[s] λέγειν. ἦ γάρ; Ναί. [§. 5.] Οὐκοῦν τῆς μὲν τῶν ἐπιεικῶν ἀχρηστίας τὴν αἰτίαν διειλήλυθαμεν;[t] Καὶ μάλα. Τῆς δὲ τῶν πολλῶν πονηρίας τὴν ἀνάγκην βούλει τὸ μετὰ τοῦτο
III. i. 285. διέλθωμεν, καὶ ὅτι οὐδὲ τούτου[u] φιλοσοφία αἰτία, ἂν δυνώμεθα, πειραθῶμεν δεῖξαι; Πάνυ μὲν οὖν. Ἀκούωμεν δὴ

σ
λέγειν m, λέγειν Ξ : λέγεις *s.—g ὑφ' αὑτοῦ ΑΘΞΠΦrt, ὑπ' αὐτῶν DK : ὑπ' αὐτοῦ
ο
s.—h εἰς Φr.—i πλησίον Θ.—k τούτου Θ.—l εἶναι v.—m ἁμαρτήσει ΑΠvm, ἁμαρτήσεις ΘΞΦr.—n ὡς om v.—o μέγιστον r.—p πολλὴ Κ.—q φιλοσοφίᾳ ΑΠDKm, φιλοσυφίαν v : φιλοσοφίας *s.—r τἀληθές ΘΠΦ.—s τε ΘΠΦDKr, γε q.—t ἐληλύ
ων
θαμεν m.—u τούτους Θ.—v διῇμεν ΑΞΠDKqvm : διήειμεν *s.—w ἡγεῖ τῷ m.—

θαυμάζων ὅτι etc. Steph.

λέγει] Ita pro λέγεις, sensu jubente scripsimus. Monuit de hoc etiam Stephanus. Subjectum est ἐκεῖνος ὃ θαυμάζων. Similiter Ficinus vertit: *adjicias et hoc præterea, vera loqui eos qui dicunt.* Ast.

ὑπ' αὐτοῦ] Cod. Reg. ὑπ' αὐτῶν, vitiose. Ast.

ἐπὶ τὰς τ. πλ. θύρας ἰέναι] Vid. ad ii. 7. Ast.

§. 5. διέλθωμεν] Ald. Bas. 1. et 2. διέλθομεν. Ast.

καὶ λέγωμεν ἐκεῖθεν ἀναμνησθέντες ὅθεν διῆμεν[v] τὴν φύσιν
οἷον ἀνάγκη φῦναι τὸν καλόν τε κἀγαθὸν ἐσόμενον. ἡγεῖτο[w] II. 490.
δ' αὐτῷ,[x] εἰ νῷ[y] ἔχεις, πρῶτον μὲν ἀληθεια, ἣν διώκειν αὐ-
τὸν πάντως καὶ πάντη ἔδει ἢ ἀλαζόνι ὄντι μηδαμῇ μετεῖ-
ναι φιλοσοφίας ἀληθινῆς. Ἦν γὰρ οὕτω λεγόμενον. Οὐκ-
οὖν ἓν μὲν[z] τοῦτο σφόδρα οὕτω[a] παρὰ δόξαν τοῖς νῦν δο-
κουμένοις περὶ αὐτοῦ;[b] Καὶ μάλα,[c] ἔφη. Ἆρ' οὖν δὴ οὐ
μετρίως ἀπολογησόμεθα[d] ὅτι πρὸς τὸ ὂν πεφυκὼς εἴη ἁμιλ-
λᾶσθαι ὅ γε ὄντως[e] φιλομαθής, καὶ οὐκ ἐπιμένοι[f] ἐπὶ τοῖς
δοξαζομένοις εἶναι πολλοῖς ἑκάστοις, ἀλλ' ἴοι καὶ οὐκ ἀμ-
βλύνοιτο οὐδ' ἀπολήγοι τοῦ ἔρωτος, πρὶν αὐτοῦ ὃ ἔστιν
ἑκάστου τῆς φύσεως ἅψασθαι, ᾧ προσήκει[g] ψυχῆς ἐφάπ-
τεσθαι τοῦ τοιούτου; προσήκει δὲ ξυγγενεῖ· ᾧ πλησιάσας
καὶ μιγεὶς τῷ ὄντι ὄντως,[h] γεννήσας[i] νοῦν καὶ ἀλήθειαν,
γνοίη τε καὶ[k] ἀληθῶς ζώη[l] καὶ τρέφοιτο καὶ οὕτω[m] λήγοι[n]
ὠδῖνος, πρὶν δ' οὔ. Ὡς οἷόν τ', ἔφη, μετριώτατα. Τί[o]
οὖν; τούτῳ τι μετέσται ψεῦδος ἀγαπᾶν ἢ πᾶν τοὐναντίον
μισεῖν; Μισεῖν,[p] ἔφη. Ἡγουμένης δὴ ἀληθείας οὐκ ἄν III. i. 286.
ποτε,[q] οἶμαι, φαῖμεν αὐτῇ χορὸν κακῶν ἀκολουθῆσαι.[r]
Πῶς γάρ; Ἀλλ' ὑγιές τε καὶ δίκαιον[s] ἦθος, ᾧ καὶ σω-
φροσύνην ἕπεσθαι. Ὀρθῶς, ἔφη. Καὶ δὴ τὸν ἄλλον τῆς
φιλοσόφου φύσεως χορὸν τί δεῖ πάλιν ἐξ ἀρχῆς ἀναλαμ-
βάνοντα[t] τάττειν;[u] μέμνησαι γάρ που[v] ὅτι ξυνέβη προσῆ-

[x] αὐτῶν v, αὐτοῦ q.—[y] ἐν νῷ v et rc Φq. conf. ad Euthyphron. p. 351, 17.—[z] μὲν οὖν Κ.—[a] οὕτω σφόδρα ΘΦΓ.—[b] αὐτὸν Γ.—[c] μάλ' v.—[d] ἀπολογηθησόμεθα Κ.—[e] οὕτως ΦDΚΥ.—[f] ἐπιμένει ΞΚν.—[g] προσήκοι mΣ.—[h] ὄντως ὄντι Ξς.—[i] γεννήσασι D.—[k] τε ἂν καὶ q.—[l] ζώη τε v.—[m] οὕτω δὴ v.—[n] λήγει ΘΦΓ.—[o] τι om Σ.—[p] Μισεῖν om v.—[q] ποτ' Γ.—[r] ἀκολουθήσειν q.—[s] δίκαιον ΑΘΠΦDΚqvmr et γρ Ξ: μέτριον Σ.—[t] ἀναλαμβάνοντα Ξs: ceteri ἀναγκάζοντα.—[u] τίκτειν Φr.—[v] που om Θ

εἰ νῷ ἔχεις] For. εἰ ἐν νῷ ἔχεις. Steph.

εἰ νῷ ἔχεις] E Stephani correctione εἰ ἐν νῷ ἔχεις scripsimus; vulgo ἐν desideratur. Ast.

ἢ] *Aut*, i. e. alioqui, pervulgari significatione; vid. interpp. ad Viger. de Idiotism. p. 408. Ast.

ἀπελογησάμεθα] Propter sequentes optativos scripsimus ἀπελογησάμεθα pro ἀπολογησόμεθα, quod etiam prægressa præterita: ὅθεν διήιμεν, ἣν—λεγόμενον et sequentia efflagitant. Ast. qui sic in Addend. 'ἀπελογησάμεθα reposito, particula ἂν post πεφυκὼς non opus est.'

ᾧ—ψυχῆς] I. e. διανοίᾳ, quasi oculo animi, vid. Gataker. ad M. Anton. iii. §. 15. Cf. nostra ad Sympos. c. 35. Ast.

πῶς γάρ;] Ab eadem persona fortasse continuari hæc possent, πῶς γάρ; ἀλλ' ὑγιές τε etc. Steph.

μέτριον] Cod. Reg. δίκαιον ἦθος, ut Ficinus: *sincerum justumque morem*. Sed propter sequens σωφροσύνην rectius est, ni fallor, μέτριον. Ast.

κον τούτοις ἀνδρία, μεγαλοπρέπεια, εὐμάθεια,[w] μνήμη.[x] καὶ σοῦ ἐπιλαβομένου ὅτι πᾶς μὲν ἀναγκασθήσεται ὁμολογεῖν οἷς λέγομεν, ἐάσας δὲ τοὺς λόγους, εἰς αὐτοὺς ἀποβλέψας περὶ ὧν ὁ λόγος, φαίη ὁρᾶν αὐτῶν τοὺς μὲν[y] ἀχρήστους, τοὺς δὲ πολλοὺς κακοὺς πᾶσαν κακίαν, τῆς ἤδη[z] διαβολῆς[a] τὴν αἰτίαν ἐπισκοποῦντες[b] ἐπὶ τοῦτο[c] νῦν γεγόναμεν, τί ποθ' οἱ πολλοὶ κακοί, καὶ τούτου δὴ ἕνεκα πάλιν ἀνειλήφαμεν τὴν τῶν ἀληθῶς[d] φιλοσόφων φύσιν καὶ ἐξ ἀνάγκης ὡρισάμεθα. Ἔστιν, ἔφη, ταῦτα. [§. 6.] Ταύτης δή, ἦν δ' ἐγώ, τῆς φύσεως δεῖ θεάσασθαι τὰς φθοράς,[e] ὡς διόλλυται ἐν πολλοῖς, σμικρὸν δέ τι ἐκφεύγει, οὓς δὴ καὶ οὐ πονηροὺς ἀχρήστους δὲ καλοῦσι· καὶ μετὰ
II. 491. τοῦτο αὖ τὰς μιμουμένας ταύτην καὶ εἰς τὸ ἐπιτήδευμα καθισταμένας αὐτῆς,[f] οἵαι οὖσαι φύσεις ψυχῶν εἰς ἀνάξιον
III. i. 287. καὶ μεῖζον ἑαυτῶν ἀφικνούμεναι ἐπιτήδευμα, πολλαχῇ[g] πλημμελοῦσαι, πανταχῇ καὶ ἐπὶ πάντας δόξαν οἵαν λέγεις φιλοσοφίᾳ προσῆψαν. Τίνας δέ,[h] ἔφη, τὰς διαφθορὰς[i] λέγεις; Ἐγώ σοι, εἶπον, ἂν[k] οἷός τε γένωμαι, πειράσομαι[l] διελθεῖν. τόδε μὲν οὖν, οἶμαι, πᾶς ἡμῖν ὁμολογήσει, τοιαύτην φύσιν καὶ πάντα[m] ἔχουσαν ὅσα προσετάξαμεν[n] νῦν δή, εἰ τελέως[o] μέλλοι φιλόσοφος γενέσθαι, ὀλιγάκις ἐν ἀνθρώποις φύεσθαι καὶ ὀλίγας. ἢ οὐκ οἴει; Σφόδρα γε. Τούτων δὴ τῶν ὀλίγων σκόπει ὡς πολλοὶ ὄλεθροι καὶ μεγάλοι. Τίνες δή; Ὃ μὲν πάντων θαυμαστότατον ἀκοῦσαι,

Φτ.—[w] εὐμαθία *v.*—[x] μνήμη om *v.*—[y] μὲν om Am.—[z] ἤδη om Arm.—[a] μεταβολῆς *v.*—[b] ἀποσκοποῦντες *q.*—[c] τούτων *v.*—[d] τῶν ὡς ἀληθῶς Φq.—[e] θεάσεσθαι τὰς διαφορὰς *v.*—[f] αὐτοῖς Θ.—[g] πολλαχοῦ...πανταχοῦ Κ.—[h] δὴ Φτ.—[i] διαφορὰς Θ.—[k] ἐὰν ΘΦτ.—[l] πειράσωμαι *v.*—[m] πάντ' .—[n] προετάξαμεν Κ.—[o] τελείως *q.*—[p] ἃ

φαίη ἂν] Ita olim reposui. Verum ἂν non opus est, quum φαίη præteritum recte excipiat, etsi ἀναγκασθήσεται præcedit. Vid. ad iv. §. 1. Ast.

τῆς ἤδη διαβολῆς] For. τῆς δὴ διαβολῆς. Vel potius τῆς δὲ τῆς διαβολῆς. Steph.

τῆς ἤδη] ἤδη est *igitur*, ut centies usurpatur. Ast. qui sic in Addend. 'Malim ταύτης δὴ vel δὲ διαβολῆς; δὲ enim jungit et redintegrat orationem interruptam. Vid. ad Legg. iii. 14.'

§. 6. μέλλοι] Cod. Reg. μέλλει; sed rectius habet optativus propter præcedens προσετάξομεν (Cod. Reg. προσετάξαμεν). Ast.

ὀλίγας] Scribendum puto ὀλίγοις, vel ἐν ὀλίγοις. Sic Fic. *raro in paucisque oriri.* Steph.

ὀλίγας] Stephanus scribi volebat ἐν ὀλίγοις, Ficino præeunte, sine causa; etiam in sequentibus de ψυχῇ, non de homine ea prædito sermo est. Sensus est, 'raro in hominibus talem animum nasci, ita ut parvus earum numerus sit.' Sic c. 9. ὀλίγης καὶ ἄλλως γιγνομένη. Ast.

ὃ μὲν—θαυμαστότατον] I. q. τοῦτο

ὅτι ἓν ἕκαστον ὧν ἐπηνέσαμεν τῆς φύσεως ἀπόλλυσι τὴν ἔχουσαν ψυχὴν καὶ ἀποσπᾷ φιλοσοφίας. λέγω δὲ ἀνδρίαν, σωφροσύνην καὶ πάντα ἃ διήλθομεν.[p] Ἄτοπον, ἔφη, ἀκοῦσαι. Ἔτι τοίνυν,[q] ἦν δ' ἐγώ, πρὸς τούτοις τὰ λεγόμενα ἀγαθὰ πάντα φθείρει καὶ ἀποσπᾷ, κάλλος[r] καὶ πλοῦτος καὶ ἰσχὺς σώματος καὶ ξυγγένεια ἐρρωμένη ἐν πόλει καὶ πάντα τὰ τούτων οἰκεῖα· ἔχεις γὰρ τὸν τύπον ὧν[s] λέγω. Ἔχω, ἔφη· καὶ ἠδέως γ' ἂν[t] ἀκριβέστερον ἃ λέγεις πυθοίμην. Λαβοῦ τοίνυν, ἦν δ' ἐγώ, ὅλου αὐτοῦ ὀρθῶς, καί σοι εὐδηλόν[u] τε[v] φανεῖται καὶ οὐκ ἄτοπα[w] δόξει τὰ προειρημένα περὶ αὐτῶν.[x] Πῶς οὖν, ἔφη, κελεύεις; Παντός,[y] ἦν δ' ἐγώ, σπέρματος πέρι ἢ φυτοῦ,[z] εἴτε ἐγγείων[a] III. i. 288. εἴτε τῶν ζώων, ἴσμεν ὅτι τὸ μὴ τυχὸν τροφῆς ἧς προσήκει ἑκάστῳ μηδ' ὥρας μηδὲ τόπου, ὅσῳ ἂν ἐρρωμενέστερον[b] ᾖ, τοσούτῳ πλειόνων ἐνδεῖ τῶν πρεπόντων· ἀγαθῷ γάρ που κακὸν ἐναντιώτερον ἢ τῷ μὴ ἀγαθῷ. Πῶς δ' οὔ; Ἔχει δή, οἶμαι, λόγον τὴν ἀρίστην φύσιν ἐν ἀλλοτριωτέρᾳ οὖ-

νῦν δὴ διήλθομεν Υ.—[q] τοίνυν om ΘΦΥ.—[r] κάλλος om q.—[s] ὃν ΦΥ.—[t] γὰρ υ.—[u] ἔνδηλον ΦΥ.—[v] τε om Θ.—[w] ἄτοπον DK.—[x] αὐτοῦ ΘΠΦDKqυτ.—[y] πάντως Am ἑ et pr Ξ.—[z] φυτοῦ πέρι ἢ σπέρματος q.—[a] ἀγγείων m.—[b] ἐρρωμενέστερος m.—

μὲν—θαυμαστότατον; vid. Matth. Gr. Gr. p. 660. Mox ἓν ἕκαστον ὧν, i. e. ἓν ἕκαστον τῶν τῆς φύσεως, ἃ ἐπηνέσαμεν; et ad sequens ἔχουσαν intellige ταύτην τὴν φύσιν. Ast.

τὸν τύπον ὧν λέγω] I. e. Τὸν τύπον (*genus*) τούτων, ἃ λέγω. Ast.

δόξει] Bas. 2. δοξάσα. Ast.

ἐν ἀλλοτριωτέρᾳ οὖσαν] Heusd. Spec. Crit. p. 29. corrigi volebat ἀλλοτρίῳ τραφεῖσαν; sed comparativus significantior est positivo. Comparativus enim, ut uberius exponamus, quod sæpius jam attigimus, sæpenumero ita ponitur, ut relationem exprimat ex orationis nexu intelligendam. v. c. Xenoph. Œcon. vii. §. 25. ὅτι πρὸς τὸ φυλάττειν οὐ κάκιόν ἐστι φοβερὰν εἶναι τὴν ψυχήν: *quod ad servandum attinet, non tam malum est, si animus est timidus* (int. quam in aliis rebus, in quibus timor pro malo haberi debet). Polit. i. 20. p. 348. E. οὐκέτι ῥᾷον (*nicht mehr so leicht*). Polit. v. 463. D. ἢ μήτε πρὸς θεῶν μήτε πρὸς ἀνθρώπων αὐτῷ ἄμεινον ἔσεσθαι (*non tam bene, quam cogitat*). viii. 554. D. ὅτι οὐκ ἄμεινον. Phædon. 105. A. οὐ χεῖρον. §. 20. Heind. μᾶλλον (*magis*, int. quam oporteret). Isocrat. Areopagit. 5. p. 140. Coray. κάκιον. Sic etiam πρεσβύτερος (*non tam juvenis, quam videtur esse*, igitur jam gravis annis) νεώτερος. Plerumque comparativum censent pro positivo positum esse, ut Stephan. de Dialect. p. 38. Gataker. Op. Crit. p. 132. Kœn. ad Gregor. p. 46. Valcken. ad Herod. p. 126. Sed bene jam Reizius monuit (de Accent. Inclinat. p. 54.), in hoc comparativi usu rem comparatam intelligendam esse.—Pro κάκιον Boeckhius in Plat. Min. p. 103. legi jubebat κακίον', de quo dubito; etenim ἀπαλλάττειν proprie est *discedere, evadere*, i. q. ἀπέρχεσθαι, ἀποβαίνειν; deinde *fieri* (vid. Boissonad. ad Philostrat. Heroic. p. 319.); hinc propter primitivam discedendi s. evadendi significationem cum adverbio conjungitur. Ast.

σαν τροφῆ κάκιον ἀπαλλάττειν τῆς φαύλης. Ἔχει.[c] Οὐκοῦν, ἦν δ' ἐγώ, ὦ Ἀδείμαντε, καὶ τὰς ψυχὰς οὕτω φῶμεν τὰς εὐφυεστάτας κακῆς παιδαγωγίας[d] τυχούσας διαφερόντως κακὰς γίγνεσθαι; ἢ οἴει τὰ μεγάλα ἀδικήματα καὶ τὴν ἄκρατον[e] πονηρίαν ἐκ φαύλης ἀλλ' οὐκ ἐκ νεανικῆς φύσεως τροφῆ[f] διολομένης[g] γίγνεσθαι, ἀσθενῆ δὲ φύσιν μεγάλων οὔτε ἀγαθῶν οὔτε κακῶν αἰτίαν ποτὲ ἔσεσθαι; Οὔκ, ἀλλά, ἦ δ' ὅς, οὕτως. Ἦν τοίνυν ἔθεμεν τοῦ
II. 492. φιλοσόφου φύσιν, ἂν μέν,[h] οἶμαι, μαθήσεως προσηκούσης τύχῃ, εἰς πᾶσαν ἀρετὴν ἀνάγκη[i] αὐξανομένην[j] ἀφικνεῖσθαι, ἐὰν δὲ μὴ ἐν[k] προσηκούσῃ σπαρεῖσά τε[l] καὶ φυτευθεῖσα τρέφηται, εἰς πάντα τἀναντία αὖ, ἐὰν μή τις αὐτῇ βοηθήσας[m] θεῶν τύχῃ. ἢ καὶ σὺ ἡγεῖ, ὥς περ οἱ πολλοί, διαφθειρομένους τινὰς εἶναι ὑπὸ σοφιστῶν νέους, διαφθείροντας
III. i. 289. δέ τινας[n] σοφιστὰς ἰδιωτικούς, ὅ τι καὶ[o] ἄξιον λόγου, ἀλλ' οὐκ αὐτοὺς τοὺς[p] ταῦτα λέγοντας μεγίστους μὲν εἶναι σοφιστάς, παιδεύειν δὲ[q] τελεώτατα καὶ ἀπεργάζεσθαι οἵους βούλονται εἶναι καὶ νέους καὶ πρεσβυτέρους καὶ ἄνδρας καὶ γυναῖκας; Πότε δή;[r] ἦ δ' ὅς. Ὅταν, εἶπον, ξυγκαθεζόμενοι ἀθρόοι πολλοὶ εἰς ἐκκλησίας ἢ[s] εἰς δικαστήρια[t] ἢ θέατρα ἢ στρατόπεδα ἤ τινα ἄλλον κοινὸν πλήθους[u] ξύλλογον ξὺν πολλῷ θορύβῳ τὰ μὲν ψέγωσι τῶν λεγομένων ἢ πραττομένων, τὰ δὲ[v] ἐπαινῶσιν, ὑπερβαλλόντως ἑκάτερα καὶ ἐκβοῶντες καὶ κροτοῦντες, πρὸς δ' αὐτοῖς αἵ τε πέτραι καὶ ὁ τόπος ἐν ᾧ ἂν ὦσιν ἐπηχοῦντες διπλάσιον θόρυβον παρέχωσι τοῦ ψόγου καὶ[w] ἐπαίνου. ἐν δὴ[x] τῷ τοιούτῳ τὸν νέον, τὸ[y] λεγόμενον, τίνα οἴει[z] καρδίαν ἴσχειν;[a]

[c] ἔχειν Φr.—[d] παιδαγωγείας Φ.—[e] ἀκροτάτην γρ Ξ.—[f] τροφῆ om Φr.—[g] διολομένης ΑΠ, διελομένης m : διολλυμένης s.—[h] μὴ Φr.—[i] ἀρετὴν μὲν ἀνάγκη s.—[j] αὐξανομένην ΑΘΠΦDKqvr : αὐξομένην s.—[k] μὴ ἐν ΑΘΠΦDKqvr : ἐν μὴ s.—[l] τε om Π.—[m] θεῶν αὐτῇ βοηθήσας Φr.—[n] διαφθειρομένους μέν τινας q.—[o] καὶ om m et pr Ξ.—[p] τοὺς om m.—[q] τε v.—[r] δέ ΘΦr et corr Ξ.—[s] ἢ om Φ.—[t] δικαστήρια ἢ εἰς ἐκκλησίας Φr.—[u] κοινὸν τοῦ πλήθους q.—[v] δ' m.—[w] ψόγου καὶ ΑΘΠΦDKqmr : ἢ ψόγου τε καὶ *s.—[x] δὲ K, δὲ v. τοῖς τοιούτοις v.—[y] τὸν m.—[z] τίνα ἂν οἴει q.—

καὶ τὰς ψυχὰς] Respexit hunc locum Pausan. vii. 17. Cf. infra c. 9. p. 495. B. Asr.

ἀρετὴν ἀνάγκη] μὲν, quod vulgo ante ἀνάγκη legitur, Cod. Regii auctoritate delevimus. Asr.

ὅτι καὶ ἄξιον λόγου] *Id quod mirabile est*, int. quod putant homines, σοφιστὰς

ἢ ποίαν ἂν αὐτῷ παιδείαν ἰδιωτικὴν ἀνθέξειν, ἣν οὐ κατακλυσθεῖσαν[b] ὑπὸ τοῦ[c] τοιούτου ψόγου ἢ ἐπαίνου οἰχήσεσθαι[d] φερομένην κατὰ ῥοῦν[e] ἢ[f] ἂν οὗτος φέρῃ;[g] καὶ φήσειν τε τὰ αὐτὰ τούτοις καλὰ καὶ αἰσχρὰ εἶναι, καὶ ἐπιτηδεύσειν ἅ περ ἂν οὗτοι, καὶ ἔσεσθαι τοιοῦτον; Πολλή, ἦ δ' ὅς, ὦ Σώκρατες, ἀνάγκη. [§. 7.] Καὶ μήν, ἦν δ' ἐγώ, οὔπω τὴν μεγίστην ἀνάγκην εἰρήκαμεν. Ποίαν; ἔφη. Ἣν ἔργῳ προστιθέασι λόγῳ μὴ πείθοντες οὗτοι οἱ παιδευταί τε καὶ σοφισταί. ἢ οὐκ οἶσθα ὅτι τὸν[h] μὴ πειθόμενον ἀτιμίαις τε καὶ χρήμασι καὶ θανάτοις κολάζουσιν; Καὶ μάλα,[i] ἔφη, σφόδρα. Τίνα[k] οὖν ἄλλον σοφιστὴν οἴει ἢ ποίους ἰδιωτικοὺς λόγους ἐναντία τούτοις τείνοντας[l] κρατήσειν;[m] Οἶμαι μὲν οὐδένα, ἦ δ' ὅς. Οὐ γάρ, ἦν δ' ἐγώ,[n] ἀλλὰ καὶ τὸ ἐπιχειρεῖν πολλὴ ἄνοια. οὔτε γὰρ γίγνεται οὔτε γέγονεν οὐδὲ οὖν μὴ γένηται ἀλλοῖον ἦθος πρὸς ἀρετὴν πα- III. i. 290.

[a] ἔχειν ΘΦr.—[b] κατακλυθεῖσαν ΘΚ.—[c] τοῦ om Φr.—[d] οὐκ οἰχήσεσθαι Φr.—[e] κατὰ ῥοῦν φερομένην Ξ.—[f] οἳ Ξqm.—[g] φέροι Ξ.—[h] τὸ Am.—[i] μάλ' v.—[k] τίν' v.—[l] τείνοντα K, πείθοντας Φr.—[m] κρατῆσαι m.—[n] ἦν δ' ἐγὼ om ΘΠΦDKqr.—[o] ἐξαίρωμεν

ἰδιωτικοὺς, non vero κοινὸν πλήθους ξύλλογον juventutis mores corrumpere. Ast.

τὸ λεγόμενον] Affertur et alia lectio, τὸν λεγόμενον: sed mendosam esse puto. Sic supra τῶν λεγομένων, pro illis ipsis verbis τὸ λεγόμενον, quæ proverbiis præfiguntur, irrepsisse ostendimus. Steph.

τίνα—οἴει καρδίαν ἴσχειν] *Quid illi credis tum animi esse*, ut Terent. Eunuch. v. 6. 14. 'quid illi credis tum animi fuisse?' Sic καρδίαν, ψυχὴν et γνώμην ἔχειν Græci usurpant. Isocrat. Trapez. p. 360. Coray. τίν' οἴεσθέ με γνώμην ἔχειν; Vid. P. Victor. Lect. Var. i. 7. Ast.

αὐτῷ ἀνθέξειν] αὐτῷ dativus commodi est. Ficinus videtur traxisse ad præcedens; vertit enim, *quam privatam disciplinam acclamationibus hisce putas obsistere*. Ast.

οἰχήσεσθαι] Ad quodam vet. affertur particula οὐκ ante οἰχήσεσθαι: verum ut hæc locum habere posset, loco suo pellenda esset fortasse quæ est ante κατακλυσθεῖσαν. nam duas quidem negationes apud Græcos in multis loquendi generibus magis negare non ignoro: verum hæ non diversis eodem tamen pertinentibus verbis jungerentur, sed uni eidemque οἰχήσεσθαι. neque enim οὐ quæ est ante participium κατακλυσθεῖσαν cum ipso jungitur, sed cum οἰχήσεσθαι: quamvis non scribatur οὐκ, sed οὐ. Steph.

καὶ φήσειν] καὶ præcedente negatione negat, vid. Wyttenbach. Bibl. Crit. vol. iii. p. iv. p. 4. Ast. qui sic in Addend. 'Ad καὶ repetendum οὐ e prægressis, et φήσειν ita positum est, ac si non παιδείαν (ἣν οἰχήσεσθαι φερομένην), sed ipse, de quo disseritur, in antecedentibus memoratus sit. Nisi malis ὥστε pro καὶ legendum esse statuere; quum sexcenties καὶ et ὥστε inter se permutata reperiantur.'

§. 7. τούτοις] Ald. Bas. 1. et 2. τούτους. Ast.

οὔτε γὰρ γίγνεται] Sensus, 'Nemo unquam alius factus est (mutatus est s. mutari potuit: nunquam profuit institutio ad virtutem illorum institutioni repugnans eamque studens confringere) vel fit vel fieri ullo modo potest, ita ut ad virtutem instituatur, non ad vanam gloriæ, potentiæ al. cupiditatem, quam multitudo aucupatur: nemo facile mutari servarique potest e perniciosa multitudinis institutione, quæ optimum quemque ad se rapit malosque cogit induere mores.' Ast.

ρὰ τὴν τούτων παιδείαν πεπαιδευμένον, ἀνθρώπειον, ὦ ἑταῖρε· θεῖον μέντοι κατὰ τὴν παροιμίαν ἐξαιρῶμεν[o] λόγου. εὖ γὰρ χρὴ εἰδέναι, ὅ τί περ ἂν σωθῇ τε καὶ γένηται οἷον δεῖ[p]
II. 493. ἐν τοιαύτῃ καταστάσει πολιτειῶν, θεοῦ μοῖραν αὐτὸ[q] σῶσαι λέγων οὐ κακῶς ἐρεῖς. Οὐδ' ἐμοὶ ἄλλως, ἔφη, δοκεῖ. Ἔτι τοίνυν σοι, ἦν δ' ἐγώ, πρὸς τούτοις καὶ τόδε δοξάτω. Τὸ ποῖον; Ἕκαστος[r] τῶν μισθαρνούντων ἰδιωτῶν, οὓς δὴ οὗτοι σοφιστὰς καλοῦσι καὶ ἀντιτέχνους ἡγοῦνται, μὴ ἄλλα παιδεύειν ἢ ταῦτα[s] τὰ τῶν πολλῶν δόγματα,[t] ἃ δοξάζουσιν ὅταν ἀθροισθῶσι, καὶ σοφίαν ταύτην καλεῖν, οἷόν περ ἂν[u] εἰ θρέμματος μεγάλου καὶ ἰσχυροῦ τρεφομένου τὰς ὀργάς τις καὶ ἐπιθυμίας κατεμάνθανεν, ὅπῃ τε προσελθεῖν χρὴ καὶ ὅπῃ ἅψασθαι αὐτοῦ, καὶ ὁπότε χαλεπώτατον[v] ἢ
III. i. 291. πραότατον[w] καὶ ἐκ τίνων γίγνεται, καὶ φωνὰς δὴ ἐφ' οἷς ἕκαστος[x] εἴωθε φθέγγεσθαι, καὶ οἵας[y] αὖ ἄλλου φθεγγο-

ΑΘΠΦπτ, ἐξαίρομεν DKv, ἐξαιροῦμεν q : ἐξαίρω s.—[p] δὴ v.—[q] αὐτὸς v.—[r] ἕκαστον vs.—[s] ταῦτα om Ξπ.—[t] δόγματα om v.—[u] ἂν om Θ.—[v] χαλεπώτατα K.—[w] πραότερον Φ, πραότατα K, πραότερον τ.—[x] ἃς ἐφ' ἑκάστοις q.—[y] οἵας ΑΘΞΠΦν : οἵαις

πεπαιδεύμενον] *Ita ut instituatur* (vi præsentis, vid. Fischer. ad Weller. t. ii. p. 259.), cf. nostra ad Phædr. p. 269. et παρὰ est *contra:* ad virtutem, non ad vanam, quam docet multitudo, gloriæ, potentiæ cet. cupiditatem. Ast.

ἐξαιρῶ] Ita pro ἐξαίρω scripsimus (vid. Heind. ad Theæt. §. 51.) Cod. Reg. et Venet. ἐξαίρομεν. Ficinus vero, qui vertit, *juxta proverbium excipiamus,* videtur legisse ἐξαιρῶμεν. Ast.

λόγου] In præced. edit. male λόγον; unde male interpretantur quidam cum Erasmo, *divinum excipio sermonem.* Steph.

ἕκαστον] In præced. edit. scriptum est ἕκαστος, quum tamen sequatur παιδεύειν et καλεῖν. At Fic. quum deberet ἕκαστον mutare in ἕκαστος, maluit, retinendo ἕκαστος, ex παιδεύειν et καλεῖν facere παιδεύει et καλεῖ. vertit enim, *Quisque eorum qui privatim accepta mercede homines erudiunt, quos quidem sophistas et æmulos artium appellant, nihil aliud docendum putat, quam multorum sententias, in quibus consentiunt, quoties congregantur: atque hanc sapientiam vocat.* Genuina tamen lectio est ἕκαστον cum illis infinitivis, quia pendent hæc a verbo δοξάτω. Steph.

ἐφ' οἷς ἕκαστος] Torsit me hic locus tum propter ἕκαστος, et οἷς, quod ad verborum ἀκολουθίαν seu orationis structuram, tum propter φθέγγεσθαι, quod ad sensum attinet: tandem vero suspicatus sum ἕκαστος quidem in ἕκαστον, et οἷς in αἷς, at φθέγγεσθαι in θέλγεσθαι mutari debere. ut sit hic loci hujus sensus, *Et voces, quas quum effert unumquodque illorum animalium* (quamvis singulari antea usus fuerit) *solet demulceri.* Id est, Quas quum effert, indicant ipsum demulceri. Sic tamen et Fic. vertit quasi legeretur, καὶ φωνὰς δὴ ἃς ἕκαστος ἐφ' ἑκάστοις εἴωθε φθέγγεσθαι. nam ἕκαστος etiam retinet: quamvis non habeamus (ut opinor) quo referre possimus. Verum ita ille, *Voces item quas in singulis quisque solet exprimere.* quum tamen hæc præcesserint, *Veluti siquis vasti cujusdam animalis bruti, robusti admodum, et ab homine enutriti, iras et cupiditates singulas observaverit, quave ratione adire hoc deceat, qua attrectare: item quando vel ferocius est, vel mitius: et ex quibus causis tale fiat.* Quod si extaret in quopiam exemplari hæc lectio, καὶ φωνὰς ἃς ἐφ' ἑκάστοις ἕκαστον εἴωθε φθέγγεσθαι,

μένου ἡμεροῦταί τε καὶ ἀγριαίνει, καταμαθὼν δὲ ταῦτα πάντα[z] ξυνουσίᾳ τε καὶ χρόνου τριβῇ σοφίαν τε καλέσειε καὶ ὡς τέχνην συστησάμενος ἐπὶ διδασκαλίαν τρέποιτο, μηδὲν εἰδὼς τῇ ἀληθείᾳ τούτων τῶν δογμάτων τε καὶ ἐπιθυμιῶν, ὅ τι καλὸν ἢ αἰσχρὸν ἢ ἀγαθὸν ἢ κακὸν ἢ δίκαιον ἢ ἄδικον, ὀνομάζοι[a] δὲ[b] πάντα ταῦτα[c] ἐπὶ ταῖς τοῦ μεγάλου ζώου δόξαις, οἷς μὲν χαίροι[d] ἐκεῖνο ἀγαθὰ[e] καλῶν, οἷς δὲ ἄχθοιτο κακά, ἄλλον δὲ μηδένα ἔχοι λόγον περὶ αὐτῶν, ἀλλὰ τἀναγκαῖα δίκαια καλοῖ[f] καὶ καλά, τὴν δὲ τοῦ ἀναγκαίου καὶ ἀγαθοῦ φύσιν, ὅσον διαφέρει τῷ ὄντι, μήτε ἑωρακὼς εἴη μήτε ἄλλῳ δυνατὸς δεῖξαι. τοιοῦτος δὴ ὢν πρὸς Διὸς οὐκ ἄτοπος ἄν σοι δοκεῖ[g] εἶναι παιδευτής; Ἔμοιγ', ἔφη. Ἦ οὖν τι[h] τούτου δοκεῖ διαφέρειν ὁ τὴν τῶν πολλῶν καὶ παντοδαπῶν ξυνιόντων ὀργὴν καὶ ἡδονὰς κατανενοηκέναι σοφίαν ἡγούμενος, εἴτ' ἐν γραφικῇ εἴτ' ἐν μουσικῇ εἴτε δὴ ἐν πολιτικῇ; ὅτι μὲν γὰρ ἐάν τις τούτοις ὁμιλῇ ἐπιδεικνύμενος ἢ ποίησιν ἤ τινα ἄλλην[i] δημιουργίαν ἢ πόλει διακονίαν, κυρίους αὐτοῦ[k] ποιῶν τοὺς πολλοὺς πέρα τῶν ἀναγκαίων, ἡ Διομηδεία λεγομένη ἀνάγκη[l] ποιεῖν αὐτῷ III. i. 292.

[z] *s.—[a] πάντα om pr Ξ.—[b] ὀνομάζει Ξκr.—[c] τὰ v.—[d] ταῦτα πάντα ΘΞΦΚvmr.—οἷ
[e] χαίρει ΞΚmr.—[f] ἀγαθὸν Θ.—[g] καλοίη Φ, καλεῖ Κ, καλεῖ r.—[h] δοκεῖ ΑΞqrm: δοκῇ *s.—[i] ὅτι ΦDΚr et pr ΘΠ, ὁ τὸ q et corr Θ, ὅστις mg D.—[k] ἄλλην τινὰ Φr.—[l] αὐτοῦ Ξ.—ἢ ἀνάγκη Ξ, ἡ ἀνάγκη Φr, ἢ ἀνάγκη Θ, ἡ ἀνάγκη Π.—

minime rejiciendam censerem. Steph.

ἃς ἐφ' οἷς] Pronomen ἃς, quod salvo sensu abesse nequit, mea sponte adjeci. Sic et Ficinus, *voces item, quas in singulis quisque solet exprimere*. Deinde ἑκάστοτ' scripsimus pro ἕκαστος; subjectum est enim τὸ θρέμμα μέγα καὶ ἰσχυρὸν, quocirca ἕκαστος locum habere nequit. Sic et infra: οἷς μὲν χαίροι ἐκεῖνο. Ast.

ἡμεροῦταί τε καὶ] Hic particulam καὶ in ἢ mutandam esse, aut saltem pro ἢ accipiendam, fateri necesse est. nam ἡμεροῦταί τε καὶ ἀγριαίνει, non aliud est quam quod modo dixit, χαλεπώτατον ἢ πραότατον. Steph.

καλέσειε] In optativum transit oratio, quod haud infrequens est. Ast.

δοκοίη] Vulgo δοκῇ. Optativum postulant prægressa: οἷόν—καλέσειε ut bene jam vidit Matth. Gr. Gr. p. 729. Ast.

ὁ ἡγούμενος] I. e. ὃς ἡγεῖται τὸ κατανενοηκέναι τὴν τῶν πολλῶν—ὀργὴν καὶ ἡδονὰς εἶναι σοφίαν. Infinitivus κατανενοηκέναι etiam absque articulo substantivi partes agit, qua de re jam sæpius monuimus. Ast.

ἤ τινα ἄλλην] In Ald. et Bas. 1. deest ἤ. Bas. 2. vero exhibet ἤ ἄλλην τινά. Ast.

πόλει] Malim πόλεως, ut in uno vet. Steph.

πόλεως] Bas. 2. quod Stephanus rescribi volebat; sed significantius est πόλει, propterea quod διακονεῖν πόλιν est *urbem administrare*, πόλει vero *urbi ministrare* i. e. multitudini servire ac blandiri. Solent vero substantiva casum sibi adsciscere, quem verba comitem habent, unde derivantur, vid. nostra ad Sympos. p. 262. Ast.

ἡ Διομήδεια ἀνάγκη] Vid. Schol.

ταῦτα[m] ἃ ἂν οὗτοι ἐπαινῶσιν· ὡς[n] δὲ[o] καὶ ἀγαθὰ καὶ καλὰ[p] ταῦτα τῇ ἀληθείᾳ, ἥδη πώποτέ του[q] ἤκουσας αὐτῶν λόγον διδόντος οὐ καταγέλαστον; Οἶμαι δέ γ', ἦ δ' ὅς, οὐδ' ἀκούσομαι. [§. 8.] Ταῦτα τοίνυν πάντα[r] ἐννοήσας ἐκεῖνο ἀναμνήσθητι. αὐτὸ τὸ καλόν,[s] ἀλλὰ μὴ τὰ πολλὰ καλά, ἢ αὐτό τι[t] ἕκαστον καὶ[u] μὴ τὰ πολλὰ ἕκαστα ἔσθ' ὅπως
II. 494. πλῆθος ἀνέξεται ἢ ἡγήσεται εἶναι; Ἥκιστά γ', ἔφη. Φιλόσοφον μὲν ἄρα, ἦν δ' ἐγώ, πλῆθος ἀδύνατον εἶναι; Ἀδύνατον. Καὶ τοὺς φιλοσοφοῦντας ἄρα ἀνάγκη[v] ψέγεσθαι[w] ὑπ' αὐτῶν; Ἀνάγκη. Καὶ ὑπὸ τούτων δὴ τῶν ἰδιωτῶν, ὅσοι προσομιλοῦντες ὄχλῳ ἀρέσκειν αὐτῷ ἐπιθυμοῦσιν. Δῆλον. Ἐκ δὴ τούτων τίνα ὁρᾷς σωτηρίαν φιλοσόφῳ φύσει, ὥστ' ἐν τῷ ἐπιτηδεύματι μείναναν πρὸς τέλος ἐλθεῖν; ἐννόει δ' ἐκ τῶν ἔμπροσθεν. ὡμολόγηται γὰρ δὴ ἡμῖν εὐμάθεια καὶ μνήμη καὶ ἀνδρία καὶ μεγαλοπρέπεια ταύτης εἶναι τῆς φύσεως. Ναί. Οὐκοῦν εὐθὺς ἐν πᾶσιν ὁ[x] τοιοῦτος πρῶτος ἔσται[y] ἐν ἅπασιν, ἄλλως τε καὶ ἐὰν τὸ σῶμα φυῇ προσφερὴς[z] τῇ ψυχῇ; Τί δ' οὐ μέλλει; ἔφη.
III. i. 293. Βουλήσονται δή, οἶμαι, αὐτῷ χρῆσθαι, ἐπειδὰν πρεσβύτερος γίγνηται,[a] ἐπὶ τὰ αὑτῶν πράγματα οἵ τε οἰκεῖοι καὶ οἱ πολῖται. Πῶς δ' οὔ; Ὑποκείσονται ἄρα[b] δεόμενοι καὶ τιμῶντες, προκαταλαμβάνοντες καὶ προκολακεύοντες τὴν

[m] ταῦτα ΑΘΠΦDKqvmr: πάντα s.—[n] εἰ Φ, ἐς r.—[o] δὲ καὶ mr.—[p] καλὰ καὶ ἀγαθὰ ΘΦvr.—[q] του om K.—[r] πάντα τοίνυν ταῦτα v.—[s] καλά om pr Ξ.—[t] αὐτόθι s.—[u] καὶ ἀλλὰ v.—[v] ἀνάγκη ἄρα v.—[w] ψεύδεσθαι K.—[x] δ...ἅπασιν om Φr.—[y] ἔσται πρῶτος K.—[z] προσφερὲς Φs, προσμερὲς m.—[a] γίγνηται ΑΘΞΠΦvmr: γένηται *s.—

Ruhnk. p. 170. J. Bapt. Pius Annot. Postum. c. 1. Gruter. Thesaur. Crit. t. i. p. 388. Themist. Orat. xxi. p. 251. C. Zenob. Suid. Λεγομένη est, *quæ dicitur*. Sic Herod. vi. 61. ἐν τῇ Θεράπνῃ καλουμένῃ. Vid. Hoogev. ad Viger. p. 15. ed. Herm. Ast.

§. 8. αὐτό τι ἕκαστον] *Unumquidque per se.* Ald. Bas. 1. et 2. αὐτό τι: vitiose αὐτόθι Steph. Ast.

φιλόσοφον—πλῆθος] Cicero Tuscul. i. 'Est enim philosophia paucis contenta judicibus, multitudinem consulto ipsa fugiens eoque ipsi et suspecta et invisa.' Ast.

εὐθὺς ἐν παισὶν] Sponte sic scripsimus pro ἐν πᾶσιν propter sequens ἐν ἅπασιν et sensus causa; accedit, quod εὐθὺς et sequens πρεσβύτερος manifesto παισὶν postulant. Idem postea vidi De-Geer Diatr. in Plat. Polit. p. 58. proposuisse: 'h. l. videtur pro ἐν πᾶσιν legi debere ἐν παῖσιν (sic).' Ast.

τὸ σῶμα (int. αὐτοῦ) φυῇ] *Natura est*, sensu neutro a φῦμι, ut c. 10. ὅταν μεγάλη ψυχὴ φυῇ. Epist. vii. p. 343. E. κακῶς δὲ ἂν φυῇ προσφερές. At Steph. 'Legitur etiam προσφερὴς τῇ ψυχῇ, quam lectionem alteri præfero.' Sine causa. Ast.

III. i. 310. μαθῶς ὥς περ ἀπονεναρκωμένα,[y] καὶ ὕπνου τε καὶ χάσμης ἐμπίπλανται,[z] ὅταν τι δέῃ τοιοῦτον διαπονεῖν. Ἔστι ταῦτα, ἔφη. Ἡμεῖς[a] δέ γ᾽[b] ἔφαμεν[c] ἀμφοτέρων δεῖν εὖ τε καὶ καλῶς μετέχειν, ἢ μήτε παιδείας τῆς ἀκριβεστάτης δεῖν αὐτῷ μεταδιδόναι μήτε τιμῆς μήτε ἀρχῆς. Ὀρθῶς, ἢ δ᾽ ὅς. Οὐκοῦν σπάνιον αὐτὸ οἴει ἔσεσθαι; Πῶς δ᾽ οὔ; [§. 15.] Βασανιστέον[d] δὴ ἔν τε οἷς[e] τότε ἐλέγομεν πόνοις τε καὶ φόβοις καὶ ἡδοναῖς, καὶ ἔτι δὴ ὃ τότε[f] παρῆμεν[g] νῦν λέγομεν,[h] ὅτι καὶ ἐν μαθήμασι πολλοῖς γυμνάζειν δεῖ, σκοποῦντας εἰ καὶ τὰ μέγιστα μαθήματα δυνατὴ[i] ἔσ-
II. 504. ται ἐνεγκεῖν, εἴτε καὶ ἀποδειλιάσει ὥς περ οἱ ἐν τοῖς ἄλλοις ἀποδειλιῶντες. Πρέπει γέ τοι δή,[k] ἔφη,[l] οὕτω

μένα vs.—[o] φαίνεται DKq.—[p] οἷους DK.—[q] ἡμερότητος καὶ ἡσυχίας Φ, ἡσυχίας καὶ ἡμερότητος Ξγ.—[r] οὐ ΘΦγ.—[s] ὑπ᾽ v, οἷοι ὑπὸ Φγ.—[t] ὅπηι ΑΘΠΦDKqvmr: ὅποι s.—[u] αὐτῶν ἐξοίχεται ΑΘΠΦDKqmr, ταὐτῷ ἐξέρχεται v: ἐξ αὐτῶν οἴχεται s.—[v] οὐ μετάβολα pr Ξ.—[w] χρήσηται ΘΦγ, χρήσεται ΠDK.—[x] τὰ καὶ DKq.—[y] νεναρκωμένα ΘΠDKqr, νενεκρωμένα Φ: ἀπονεναρκωμένα *s.—[z] ἐμπίπλαται q.—[a] ἔστιν ἀληθῆ ἔφη ταῦτα λέγεις ἡμεῖς v.—[b] γ᾽ om Θ.—[c] φαμὲν v.—[d] βασανιστέα Dq.—[e] τους v.—[f] ὅτε Φγ.—[g] παρῆμεν Ξ: παρεῖμεν *s.—[h] λέγωμεν ΞΦγ.—[i] δυνατὴ Ξ.—[k] δὴ s.—[l] οὕτω

moderate, tranquille ac constanter possint vivere; namque ingenii celeritas eos abripit, ut omnem amittant constantiam.' Observavit hoc etiam Heind. ad Theæt. §. 5.—De potestate verbi ἐθέλειν vid. nostra ad Phædr. p. 235. et de sententia conferendus est Theæteti locus p. 144. A. ἀλλ᾽ οἵ τε ὀξεῖς, ὥσπερ οὗτος, καὶ ἀγχίνοι καὶ μνήμονες ὡς τὰ πολλὰ καὶ πρὸς τὰς ὀργὰς ὀξύῤῥοποί εἰσι καὶ ἅττοντες φέρονται, ὥσπερ τὰ ἀνερμάτιστα πλοῖα, καὶ μανικώτεροι ἢ ἀνδρειότεροι φύονται. Ast.

βεβαιότητος] γρ. ἡμερότητος. sed alteram lectionem confirmant et sequentia. Steph.

βεβαιότητος] Bas. 2. exhibet ἡμερότητος; vulgatam scripturam Ficinus quoque expressit vertens: *constanter*. Ast.

ὅποι] Cod. Reg. ὅπῃ, quod idem valet, vid. nostra ad Sympos. p. 196. Ast.

τὰ καὶ—ὄντα] τὰ e Cod. Reg. rescripsimus. Ficinus: *utpote qui in bello intrepidi sunt, ut in his immobiles sunt, ita ad disciplinas tardiores ac hebetes*. Ast.

ἀπονεναρκωμένα] *Obtorpescentia*, a νάρκη (*raja, torpedine*), attingenti torporem afferente. v. Aristot. Hist. Animal. ix. 37. Ælian. de nat. Animal. i. 36. ix. 14. Plin. H. N. xxxii. 1. Rittershus. ad Oppian. Halieut. ii. 56. Fabric. ad Sext. Empir. p. 26. et interpp. ad Plat. Menon. p. 29. ed. Buttm. Ast.

§. 15. δυνατὴ] Quasi φύσις, non ἦθος præcesserit. Ast.

σκοπεῖν. ἀλλὰ ποῖα δὴ λέγεις μαθήματα μέγιστα; Μνημονεύεις μέν που, ἦν δ' ἐγώ, ὅτι[m] τριττὰ εἴδη ψυχῆς διαστησάμενοι ξυνεβιβάζομεν[n] δικαιοσύνης τε πέρι καὶ[o] σωφροσύνης καὶ ἀνδρίας καὶ σοφίας, ὃ ἕκαστον εἴη. Μὴ γὰρ μνημονεύων, ἔφη, τὰ λοιπὰ[p] ἂν εἴην[q] δίκαιος μὴ ἀκούειν. Ἢ καὶ[r] τὸ προρρηθὲν[s] αὐτῶν; Τὸ ποῖον δή; Ἐλέγομέν που ὅτι ὡς μὲν δυνατὸν[t] ἦν κάλλιστα αὐτὰ κατιδεῖν, ἄλλη[u] μακροτέρα εἴη[v] περίοδος, ἣν περιελθόντι καταφανῆ γίγνοιτο, III. i. 311.
τῶν μέντοι ἔμπροσθεν προειρημένων ἑπομένας ἀποδείξεις οἷόν τ'[w] εἴη προσάψαι. καὶ ὑμεῖς ἐξαρκεῖν ἔφατε, καὶ οὕτω δὴ ἐρρήθη τὰ τότε τῆς μὲν ἀκριβείας, ὡς ἐμοὶ ἐφαίνετο, ἐλλιπῆ, εἰ δὲ ὑμῖν ἀρεσκόντως,[x] ὑμεῖς ἂν τοῦτο εἴποιτε.[y] Ἀλλ' ἔμοιγε, ἔφη,[z] μετρίως· ἐφαίνετο μὴν[a] καὶ τοῖς ἄλλοις. Ἀλλ', ὦ φίλε, ἦν δ' ἐγώ, μέτρον τῶν τοιούτων ἀπολεῖπον[b] καὶ ὁτιοῦν τοῦ ὄντος[c] οὐ πάνυ μέτριον[d] γίγνεται· ἀτελὲς γὰρ οὐδὲν οὐδενὸς μέτρον.[e] δοκεῖ δ' ἐνίοτέ τισιν

[k] δὴ om K.—[l] ἔφη om Φτ.—[m] ὅτε *q*.—[n] ξ. ΑΘΞΠΦνπτ.—[o] καὶ περὶ *v*.—[p] λοίπ' τ.—[q] εἴη ΘΠΦντ.—[r] καὶ om *q*, in mg habet D.—[s] *προσρηθὲν* K.—[t] ὅτι ὡς μὲν δυνατὸν ΑΘΠΦDK*q*νπτ : ὅτι δυνατὸν μὲν ς.—[u] ἄλλη Aνπ, ἀλλ' ἡ Π, ἀλλ' ἡ D, ἀλλ' εἰ ΘΦτ : ἀλλὰ *ς.—[v] εἴη ἡ Φτ.—[w] ἀποδ. ὡς οἷόντ' εἶναι *v*.—[x] ὑμῖν ἀρεσκόντως om *v*.—[y] εἴπητε ΞΦ.—[z] ἔφη om Θ.—[a] μὴν ΑΘΠΦDK*q*τ, om m : δὲ *ς.—[b] ἀπολείπων δ ΑΞm, ἀπολειπὼν Π, ἀπολιπὸν Θ, ἀπολιπὸν ΦDK*q*τ.—[c] τοιοῦτος γρ A.—[d] μέτριον γρ A : *μετρίως* *ς.—[e] μέτρου Φτ : *μετρίως* *ς.—[f] δεῖ ΘΠΦDK*v*πτ.—[g] προσδεῖ DK

ξυνεβιβάζομεν] ξυμβιβάζειν Timæus Sophista p. 241. explicat *εἰς συμβίβασιν καὶ ὁμολογίαν ἐλθεῖν περὶ τινὸς*, quem Ruhnken. secutus in notis adjecit nostro loco laudato 'hic enim *συμβιβάζειν* neutraliter positum est, exemplo non facile alibi reperiundo.' Male, si quid video. Συμβιβάζειν activum est verbum, significans *conferre, colligere* et translate *definire, notione constituere* (v. Aristotelis loca a Rudolphio ad Ocell. Lucan. p. 278. laudata); namque *notio* est, ut Vitruvius dicit i. 1. 'collectio ex sensibus perceptis' (v. Phædr. c. 29. et Barth. ad Claudian. p. 108.). Sensus igitur est, Tribus animi partibus distinctis, utpote ex quibus virtutes efflorescant, undeque ratiocinando colligantur, definivimus uniuscujusque naturam.' Περὶ c. genitivo pro simplice accusativo positum est. Mox *δίκαιος ἂν εἴην* pro *δίκαιον ἂν εἴη*, *ἐμὲ μὴ ἀκούειν τὰ λοιπὰ*, Græcismo satis obvio. Ast.

ἦ καὶ] Ald. Bas. 1. 2. *προρηθέν*. Ast.

μέτρον] Sensus est, *Mensura, quam talia deficiunt et omnino veri quidquam, haud recte mensura dici potest.* Ἀπολεῖπον (Cod. Reg. *ἀπολίπον*) c. duplice casu positum est, genitivo *τῶν τοιούτων* (respicitur *ἀκρίβεια*, v. prægressa) et accusativo *ὁτιοῦν τοῦ ὄντος*; atque exempla talis constructionis haud rara sunt, vid. Lobeck. ad Soph. Aj. p. 331. Aliter Ficinus verba construit; ita enim vertit: *sed, o amice, talium mensura quamcunque veritatis partem omiserit, immensurate fit.* Cornarius vero ita transtulit hæc verba, *modus qui a talibus, et quodcunque ab eo, quod est, deficit, non valde moderate fit.* De adverbio cum verbo *γίγνεται* conjuncto vide quæ supra exposuimus. Ast.

οὐδένος μέτρον] Ald. Bas. 1. et 2. *μέτρου*. Ficinus vero: *nil enim deficiens ullius est mensura* (versio a Grynæo mutata exhibet *mensuræ*). Ast.

ἱκανῶς ἤδη ἔχειν καὶ οὐδὲν δεῖν[f] περαιτέρω ζητεῖν. Καὶ μάλ', ἔφη, συχνοὶ πάσχουσιν αὐτὸ διὰ ῥᾳθυμίαν. Τούτου δέ γε, ἦν δ' ἐγώ, τοῦ παθήματος ἥκιστα προσδεῖ[g] φύλακι[h] πόλεώς τε[i] καὶ νόμων. Εἰκός, ἦ δ' ὅς.[k] Τὴν μακροτέραν τοίνυν, ὦ ἑταῖρε, ἔφην,[l] περιιτέον τῷ τοιούτῳ, καὶ οὐχ ἧττον μανθάνοντι πονητέον[m] ἢ γυμναζομένῳ·[n] ἢ ὃ[o] νῦν δὴ ἐλέγομεν, τοῦ μεγίστου τε καὶ μάλιστα[p] προσήκοντος μαθήματος ἐπὶ τέλος οὔποτε ἥξει. Οὐ γὰρ ταῦτα, ἔφη, μέγιστα, ἀλλ' ἔτι[q] τι[r] μεῖζον δικαιοσύνης τε[s] καὶ ὧν διήλθομεν; Καὶ[t] μεῖζον, ἦν[u] δ' ἐγώ, καὶ αὐτῶν τούτων οὐχ ὑπογραφὴν δεῖ ὥς περ νῦν[w] θεάσασθαι, ἀλλὰ τὴν τε-
III. i. 312. λεωτάτην ἀπεργασίαν μὴ παριέναι. ἢ οὐ γελοῖον ἐπὶ μὲν ἄλλοις σμικροῦ[x] ἀξίοις πᾶν ποιεῖν συντεινομένους ὅπως ὅτι ἀκριβέστατα καὶ καθαρώτατα[y] ἕξει, τῶν δὲ μεγίστων μὴ[z] μεγίστας ἀξιοῦν εἶναι καὶ τὰς ἀκριβείας; Καὶ μάλα,[a] ἔφη, ἄξιον τὸ διανόημα. ὃ μέντοι μέγιστον μάθημα καὶ περὶ ὅ τι αὐτὸ λέγεις, οἴει[b] τιν' ἄν σε,[c] ἔφη, ἀφεῖναι μὴ ἐρωτήσαντα τί ἐστιν; Οὐ πάνυ, ἦν δ' ἐγώ, ἀλλὰ καὶ σὺ ἐρώτα. πάντως αὐτὸ οὐκ ὀλιγάκις ἀκήκοας, νῦν[d] δὲ ἢ[e] οὐκ

q : προσδεῖται *s.—[h] φύλακι ΑΠΦDKvmr : φυλακῇ *s.—[i] τε καὶ πόλεως καὶ K.—[k] ἦν δ' ἐγὼ Φr.—[l] ἔφη Φr.—[m] ποιητέον *q*.—[n] ἢ γυμναζομένῳ...τε om A.—[o] εἰς ὃ K.—[p] μάλα D, μόνου *q*.—[q] ἐστι ΞK.—[r] τι om Φvr.—[s] τε om Φr.—[t] ναὶ *q*.—[u] μεῖζον τούτων ἦν K.—[w] νῶ K.—[x] σμικροῦ ΑΠ*q*ν : μικροῦ *s.—[y] καθαρώτατα καὶ ἀκριβέστατα *v*.—[z] οὐ K, om m.—[a] μάλ' *v*.—[b] οἴει om m.—[c] ἄν σε om *v*.—[d] νῦν...

φυλακὴ] Φυλακὴ, nomen abstractum, pro concreto φύλαξ positum est, ut Phædr. c. 17. ubi v. not. p. 265. Similiter θεραπεία de servis, vid. Jacobs. in Athen. p. 41. Quocirca, quod Cod. Reg. exhibet, προσδεῖ φύλακι nihil nisi interpretamentum est. Sensum recte Ficinus expressit ita : *vitium hoc a custode civitatis et legum esse debet alienissimum.* Τῷ τοιούτῳ vero positum est, ac si præcedat φύλαξ, non φυλακή. Ast.

μανθάνοντι] Ald. et Bas. 1. μανθάνουσι. Ast.

ἔτι τι] Cod. Reg. ἔστι τι. Ficinus: *Estne aliud insuper excellentius?* Ast.

ὑπογραφὴν] ὑπογραφὴ est *delineatio*, adumbratio, ut ὑπογράφειν *prima lineamenta ducere* (hinc præscribere : Protag. 326. D. Theæt. 171. E.) cui opponitur τὸ ἀκριβῶς ἀπεργάζεσθαι, ut Polit. viii. 3. p. 548. D. ὡς λόγῳ σχῆμα πολιτείας, ὑπογράψαντα μὴ ἀκριβῶς ἀπεργάσασθαι διὰ τὸ ἐξαρκεῖν μὲν ἰδεῖν καὶ ἐκ τῆς ὑπογραφῆς τὸν δὲ δικαιότατον καὶ τὸν ἀδικώτατον. De Legg. xi. 934. B. τὸν δὲ, καθάπερ ζωγράφον, ὑπογράφειν ἔργα ἐπόμενα τῇ γραφῇ. Ast.

καὶ μάλα—ἄξιον τὸ διανόημα] Post interrogationem illam ἢ οὐ γελοῖον exspectamus καὶ μάλα γελοῖον (vel Attice γέλοιον) vel simpliciter καὶ μάλα, int. γελοῖον τοῦτό ἐστιν, ut et Ficinus vertit : *ridiculum prorsus.* Ἄξιον ex oratione prægressa, ubi ἀξίοις et ἀξιοῦν legimus, huc irrepsisse et quidem ex interpretatione ad vocem ἀξιοῦν margini adlita enatum videtur, quæ fortasse hæc erat : τὸ διανόημα (sensus est) : οὐκ ἄξιον ἡγεῖσθαι τὸ μέγιστον τῆς μεγίστης ἀκριβείας ; Librorum scriptorum hic exspectamus subsidium. Ast.

ἐννοεῖς ἢ αὖ διανοεῖ ἐμοὶ πράγματα παρέχειν ἀντιλαμβα- II. 505.
νόμενος. οἶμαι δὲ τοῦτο μᾶλλον, ἐπεὶ ὅτι γε ἡ τοῦ ἀγαθοῦ
ἰδέα μέγιστον μάθημα πολλάκις ἀκήκοας, ἦ[f] καὶ[g] δίκαια
καὶ[h] τἆλλα προσχρησάμενα χρήσιμα καὶ ὠφέλιμα γίγ-
νεται. καὶ νῦν σχεδὸν οἶσθ' ὅτι μέλλω τοῦτο λέγειν, καὶ
πρὸς τούτῳ[i] ὅτι αὐτὴν οὐχ ἱκανῶς ἴσμεν· εἰ δὲ μὴ ἴσμεν,[k]
ἄνευ δὲ ταύτης εἴ ὅτι μάλιστα τἆλλα[l] ἐπισταίμεθα, οἶσθ'
ὅτι οὐδὲν ἡμῖν ὄφελος, ὥς περ οὐδ' εἰ κεκτήμεθά[m] τι ἄνευ
τοῦ ἀγαθοῦ. ἢ οἴει τι πλέον[n] εἶναι[o] πᾶσαν κτῆσιν ἐκτῆσ-
θαι,[p] μὴ μέντοι ἀγαθήν; ἢ πάντα τἆλλα φρονεῖν ἄνευ τοῦ
ἀγαθοῦ, καλὸν δὲ καὶ ἀγαθὸν μηδὲν φρονεῖν; Μὰ Δί' οὐκ III. i. 313.
ἔγωγε, ἔφη. [§. 16.] Ἀλλὰ μὴν καὶ τόδε γε[q] οἶσθα,
ὅτι τοῖς μὲν πολλοῖς ἡδονὴ δοκεῖ εἶναι τὸ ἀγαθόν, τοῖς δὲ
κομψοτέροις φρόνησις. Πῶς[r] δ' οὔ; Καὶ ὅτι γε, ὦ φίλε,
οἱ τοῦτο ἡγούμενοι οὐκ ἔχουσι δεῖξαι ἥ τις φρόνησις, ἀλλ'
ἀναγκάζονται τελευτῶντες τὴν τοῦ ἀγαθοῦ φάναι. Καὶ
μάλα, ἔφη, γελοίως. Πῶς γὰρ οὐχί, ἦν δ' ἐγώ, εἰ ὀνει-
δίζοντές γε ὅτι οὐκ ἴσμεν τὸ ἀγαθὸν λέγουσι πάλιν ὡς εἰ-
δόσι; φρόνησιν γὰρ αὐτό φασιν εἶναι ἀγαθοῦ ὡς αὖ ξυνιέν-
των ἡμῶν ὅ τι λέγουσιν, ἐπειδὰν τὸ τοῦ ἀγαθοῦ φθέγξων-
ται ὄνομα. Ἀληθέστατα, ἔφη. Τί δέ;[s] οἱ τὴν ἡδονὴν
ἀγαθὸν ὁριζόμενοι μῶν μή τι ἐλάττονος πλάνης ἔμπλεοι[t]
τῶν ἑτέρων;[u] ἢ οὔ[v] καὶ οὗτοι ἀναγκάζονται ὁμολογεῖν
ἡδονὰς εἶναι κακάς; Σφόδρα γε. Ξυμβαίνει[w] δὴ αὐτοῖς,
οἶμαι,[x] ὁμολογεῖν ἀγαθὰ εἶναι καὶ κακὰ ταὐτά. ἦ γάρ;
Τί μήν; Οὐκοῦν ὅτι μὲν μεγάλαι καὶ πολλαὶ ἀμφισβη-

ἀκήκοας om Φτ.—[e] ἢ ante οὐκ om *q*.—[f] ἢ m, ἦ δὴ Φτ.—[g] καὶ om Am.—[h] δίκαια καὶ om Φτ.—[i] τοῦτο m.—[k] εἰ δὲ μὴ ἴσμεν om pr Ξ.—[l] τἆλλα (ut solet) m.—[m] plerique cum *s* κεκτήμεθα.—[n] πλεῖον Θ.—[o] εἰδέναι ΑΘΠΦDKτ.—[p] κεκτῆσθαι K.—[q] γ' rm, om ΘΠΦDKqτ.—[r] Πῶς...φρόνησις om *v*.—[s] δαὶ A, δὴ *q*.—[t] ἔμπλεω Φτ.—[u] ἑταίρων m.—[v] οὐ om Φmτ.—[w] ξ. ΘΞΠΦDKτmτ.—[x] οἶμαι om K.—[y] δαὶ m.—

ἄνευ δὲ ταύτης] δὲ apodosin facit (nostrum *so*, vid. ad Phædr. p. 336.) nisi malis scribere γέ. Ast.

πλέον εἶναι] De πλέον εἶναι, *prodesse*. v. nostra ad Phædr. p. 386. Ast.

καλὸν δὲ] Particula δὲ explicative posita est: *ita ut* (quis) *nihil pulcri et boni sentiat*. Ast.

§. 16. φρόνησιν ἀγαθὸν] Vulgo ἀγαθοῦ, quod sensum non habet. Αὐτὸ ἀγαθὸν est *bonum per se*. Ast.

οἶμαι] In Cod. Reg. deest οἶμαι, nec Ficinus expressit vertens: *eadem igitur et bona esse et mala fateri coguntur; annon?* Ast.

τήσεις περὶ αὐτοῦ, φανερόν; Πῶς γὰρ οὔ; Τί δέ;[y] τόδε οὐ φανερόν, ὡς δίκαια μὲν καὶ καλὰ πολλοὶ ἂν ἕλοιντο τὰ δοκοῦντα, κἂν μὴ ᾖ,[z] ὅμως ταῦτα[a] πράττειν καὶ[b] κεκτῆσθαι καὶ δοκεῖν, ἀγαθὰ δὲ[c] οὐδενὶ[d] ἔτι ἀρκεῖ τὰ δοκοῦντα κτᾶσθαι,[e] ἀλλὰ τὰ ὄντα ζητοῦσι, τὴν δὲ δόξαν
III. i. 314. ἐνταῦθα ἤδη πᾶς ἀτιμάζει; Καὶ μάλα, ἔφη. Ὃ δὴ[f] διώκει μὲν ἅπασα ψυχὴ καὶ τούτου ἕνεκα πάντα[g] πράττει, ἀπομαντευομένη τι εἶναι, ἀποροῦσα δὲ καὶ οὐκ ἔχουσα λαβεῖν ἱκανῶς τί ποτ' ἐστὶν οὐδὲ πίστει χρήσασθαι[h] μονίμῳ, οἵᾳ[i] καὶ περὶ τἆλλα, διὰ τοῦτο δὲ[k] ἀποτυγχάνει καὶ τῶν ἄλλων εἴ τι[l] ὄφελος ἦν, περὶ δὴ[m] τὸ τοιοῦτον[n] καὶ το-
II. 506. σοῦτον οὕτω φῶμεν δεῖν ἐσκοτῶσθαι καὶ ἐκείνους τοὺς βελτίστους ἐν τῇ πόλει, οἷς πάντα ἐγχειριοῦμεν; Ἥκιστά γ', ἔφη. Οἶμαι γοῦν, εἶπον, δίκαιά τε καὶ καλὰ ἀγνοούμενα ὅπῃ ποτὲ ἀγαθά ἐστιν, οὐ πολλοῦ τινὸς ἄξιον φύλακα[o] κεκτῆσθαι ἂν ἑαυτῶν[p] τὸν τοῦτο ἀγνοοῦντα. μαντεύομαι δὲ μηδένα[q] αὐτὰ πρότερον γνώσεσθαι[r] ἱκανῶς.[s] Καλῶς γάρ, ἔφη, μαντεύει. Οὐκοῦν ἡμῖν ἡ πολιτεία παντελῶς[t] κεκοσμήσεται, ἐὰν ὁ τοιοῦτος αὐτὴν ἐπισκοπῇ φύλαξ, ὁ

z ᾖ ΘΦr: εἴη *s.—a ταυτὰ q.—b καὶ om Θ.—c δὲ om m.—d οὐδὲν v.—e χρᾶσθαι D, χρῆσθαι K.—f δὲ Ξ.—g πάντα om pr Ξ.—h χρῆσθαι Ξm.—i οἵαι ΑΘΠΦDKqvm r: οἷα s.—k δὴ q.—l ὅτι m.—m δὲ K.—n τοιοῦτο q.—o φύλακα ΑΘΞΠΦqvmr: φύλακι s.—p ἂν ἑαυτῶν ΑΠΦDKq, ἐὰν ἑαυτῶν Θ, ἂν ἑαυτὸν Ξm, ἂν ἑαυτῷ vr: εἴπερ εἰκὸς γνῶναι αὐτὰ s.—q μηδ' ἂν ἕνα q.—r πρότερον γνώσεσθαι ΑΘΞΠΦqvmr: γνώσεσθαι πρότερον s.—s ἱκανῶς πρὶν ἂν περὶ αὐτοῦ τἀγαθοῦ ὅ ἐστι γνῷ q.—t παντελῶς

κἂν εἶ] Particulam εἰ inseruimus; nam sine εἰ esse deberet ᾖ. Ast.

τούτου ἕνεκα] Pro οὗ ἕνεκα, demonstrativum pro relativo, ut Thæet. 192. A. ὃ μέν τις οἶδεν—αἰσθάνεται δὲ αὐτὸ μή. Euthydem. 301. E. ὧν ἂν ἄρξῃς καὶ ἐξῇ σοι αὐτοῖς χρῆσθαι, ὅ τι ἂν βούλῃ. Vid. Matthiæ Gr. Gr. p. 648.—Mox Bas. 2. χρῆσθαι pro χρήσασθαι. Ast.

διὰ τοῦτο δὲ] δὲ repetitum post orationem interruptam, vid. nostra ad Phædr. p. 312. Ald. legit τὸ το δέ, Bas. 1. τὸ τόδε et Bas. 2. τοῦτο. Bene reposuit Stephanus τοῦτο δέ. Ast.

φύλακι] Invenitur etiam φύλακα: sed malim φύλακι retinere, et ἄξια legere: ut dicat illorum bonorum possessionem non magni pretii fore custodi. At Fic. ita, *haud multi faciendum sane custodem seipsum exhibere posse.* Steph.

φύλακι] Bas. 2. φύλακα, ut Ficinus videtur legisse. Stephanus pro ἄξιον legi voluit ἄξια propter prægressa δίκαιά τε καὶ καλὰ ἀγνοούμενα. Sed sæpenumero nomina et pronomina neutrius generis sequuntur attributa singularia, ut Polit. x. 6. ἅμα δύο φαμὲν αὐτῷ ἀναγκαῖον εἶναι. Phædon. c. 35. ἢ ταῦτα ἀδύνατον. Vid. Fischer. ad Phædon. p. 231. not. 5. Ast.

εἴπερ εἰκὸς] *Siquidem credibile est* s. fieri potest, ut quis justa et pulchra cognoscat, qui bonum non cognoverit, s. qui non cognoverit, quomodo bona sint. Ast. qui sic in Addend. 'Consentaneum est, ut nonnisi is justa et pulcra cognoscat, qui bonum cognoverit s. qui cognoverit, quomodo illa sint bona.'

τούτων ἐπιστήμων; [§. 17.] Ἀνάγκη, ἔφη. ἀλλὰ σὺ δή, ὦ Σώκρατες, πότερον ἐπιστήμην τὸ ἀγαθὸν φῂς εἶναι ἢ ἡδονήν; ἢ ἄλλο τι παρὰ ταῦτα; Οὗτος,[u] ἦν δ' ἐγώ, ἀνὴρ καλῶς[v] ἦσθα[w] καὶ πάλαι καταφανὴς ὅτι σοι οὐκ ἀποχρήσοι[x] τὸ τοῖς ἄλλοις δοκοῦν περὶ αὐτῶν. Οὐδὲ γὰρ δίκαιόν μοι, ἔφη,[y] ὦ Σώκρατες, φαίνεται τὰ τῶν ἄλλων μὲν[z] ἔχειν εἰπεῖν δόγματα, τὰ[a] δ' αὐτοῦ μή, τοσοῦτον χρόνον[b] περὶ ταῦτα πραγματευόμενον. Τί δ';[c] ἦν δ' ἐγώ· δοκεῖ σοι δίκαιον εἶναι περὶ ὧν τις μὴ οἶδε λέγειν ὡς εἰδότα; Οὐδαμῶς γ',[d] ἔφη,[y] ὡς εἰδότα, ὡς μέντοι οἰόμενον ταῦθ' ἃ οἴεται ἐθέλειν λέγειν. Τί δέ; εἶπον· οὐκ ἤσθησαι τὰς ἄνευ ἐπιστήμης δόξας, ὡς πᾶσαι αἰσχραί; ὧν[e] αἱ βέλτισταί τυφλαί; ἢ δοκοῦσί τί σοι τυφλῶν διαφέρειν ὁδὸν ὀρθῶς πορευομένων οἱ ἄνευ νοῦ ἀληθές τι δοξάζοντες; Οὐδέν, ἔφη. Βούλει οὖν[f] αἰσχρὰ θεάσασθαι τυφλά τε καὶ σκολιά, ἐξὸν παρ' ἄλλων ἀκούειν φανά[g] τε[h] καὶ καλά; Μὴ πρὸς Διός, ἦ δ' ὅς, ὦ Σώκρατες,[i] ὁ Γλαύκων, ὡς περ ἐπὶ τέλει ὢν[k] ἀποστῇς.[l] ἀρκέσει γὰρ ἡμῖν κἂν ὡς περ δικαιοσύνης πέρι καὶ σωφροσύνης καὶ τῶν ἄλλων διῆλθες, οὕτω καὶ περὶ τοῦ ἀγαθοῦ διέλθῃς. Καὶ γὰρ ἐμοί, ἦν δ' ἐγώ, ὦ[m] ἑταῖρε, καὶ μάλα ἀρκέσει·[n] ἀλλ' ὅπως μὴ οὐχ οἷός τ' ἔσομαι, προθυμούμενος δὲ ἀσχημονῶν γέλωτα ὀφλήσω. ἀλλ', ὦ μακάριοι, αὐτὸ μὲν τί ποτ' ἐστὶ τἀγαθὸν[o] ἐάσωμεν[p] τὸ νῦν εἶναι· πλέον γάρ μοι φαίνεται ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν ἐφικέσθαι τοῦ γε δοκοῦντος ἐμοὶ τὰ νῦν· ὃς δὲ ἔκγονός τε

III. i. 315.

ΘΠΦDKqτ: τελέως *s.—[u] οὕτως v.—[v] καλῶς ΘΞΠqνm: καλὸς *s.—[w] οἶσθα m.—[x] ἀποχρήσει ΘΞΦτ.—[y] ἔφη om τ.—[z] μὲν om m et pr Ξ.—[a] τὸ ΘΞΦντ.—[b] χρόνον τοσοῦτον v.—[c] δαὶ Am.—[d] γ' om q.—[e] τῶ m.—[f] οὖν ΑΘΞΠΦνmτ: γοῦν *s.—[g] φανερά Ξνm, φάναι K.—[h] τε om v.—[i] ὦ σώκρατες ἦ δ' ὅς K.—[k] ἐπὶ τέλει ὢν] ἐπιτελείων τ, ἐπὶ τελείων ΘΦD, ἐπὶ ἡλείων K.—[l] ἀπιστῇς Ξm.—[m] ἐγὼ ἂν ὦ q.—[n] ἀρκέση q.—[o] τἀγαθὸν Ξm: τὸ ἀγαθὸν *s.—[p] ἐάσομεν v.—[q] ἐῶ q.—[r] λέγε om

§. 17. οὗτος—ἀνὴρ καλός!] Est ironice admirantis, nominativo pro vocativo posito (v. Gregor. p. 47. ibique Kœn. Valckenar. ad Eurip. Phœn. 1332.) Vulgo legitur οὗτος—ἀνὴρ καλὸς ἦσθα καὶ πάλαι. Ast.

ὁδὸν πορευομέναν] ὁδὸν πορεύεσθαι, ut ἰέναι Thucyd. iii. 64. ἕρπειν Soph. Aj. 287. vid. Matthiæ Gr. Gr. p. 577. Ast.

ἐφικέσθαι τοῦ γε δοκοῦντος] Ficinus vertit: *Est enim, ut mihi videtur, præsentem supra contemplationem.* Longe rectius Cornarius: *Majus enim mihi videtur, quam ut in præsenti aggressione exequi possim id, quod nunc mihi videtur.* Ἐφικέσθαι τινὸς est *aliquid assequi*, adæquare, v. Valckenar. ad Chrysostom. Orat. i. vol. ii. p. 180. ed. Lips. Ast.

III. i. 316. τοῦ ἀγαθοῦ φαίνεται καὶ ὁμοιότατος ἐκείνῳ, λέγειν ἐθέλω, εἰ καὶ ὑμῖν φίλον, εἰ δὲ μή, ἐᾷν.[q] Ἀλλ', ἔφη, λέγε·[r] εἰσαῦθις γὰρ τοῦ πατρὸς ἀποτίσεις[s] τὴν διήγησιν. Βουλοί-
II. 507. μην ἄν, εἶπον, ἐμέ τε δύνασθαι αὐτὴν ἀποδοῦναι καὶ ὑμᾶς κομίσασθαι, ἀλλὰ μὴ ὥς περ νῦν τοὺς τόκους μόνον. τοῦτον[t] δὲ[u] δὴ οὖν[v] τὸν τόκον τε καὶ ἔκγονον αὐτοῦ τοῦ ἀγαθοῦ κομίσασθε. εὐλαβεῖσθε[w] μέντοι μή πη[x] ἐξαπατήσω ὑμᾶς ἄκων, κίβδηλον ἀποδιδοὺς τὸν λόγον τοῦ τόκου. Εὐλαβησόμεθα, ἔφη, κατὰ δύναμιν· ἀλλὰ μόνον λέγε. Διομολογησάμενός γ',[y] ἔφην ἐγώ, καὶ ἀναμνήσας ὑμᾶς[z] τά τε[a] ἐν τοῖς ἔμπροσθεν ῥηθέντα καὶ ἄλλοτε ἤδη πολλάκις εἰρημένα. Τὰ ποῖα; ἦ δ' ὅς. Πολλὰ καλά, ἦν δ' ἐγώ, καὶ πολλὰ ἀγαθὰ καὶ[b] ἕκαστα οὕτως εἶναι φαμέν τε καὶ διορίζομεν τῷ λόγῳ. Φαμὲν γάρ. Καὶ αὐτὸ δὴ[c] καλὸν καὶ αὐτὸ ἀγαθόν, καὶ οὕτω περὶ πάντων ἃ τότε ὡς πολλὰ ἐτίθεμεν, πάλιν αὖ κατ' ἰδέαν μίαν ἑκάστου ὡς μιᾶς οὔσης τιθέντες, ὃ ἔστιν ἕκαστον προσαγορεύομεν.[d] Ἔστι ταῦτα.[e] Καὶ τὰ μὲν δὴ ὁρᾶσθαι[f] φαμεν,[g] νοεῖσθαι δ' οὔ, τὰς δ' αὖ ἰδέας νοεῖσθαι μέν, ὁρᾶσθαι δ' οὔ. Παντάπασι μὲν οὖν. Τῷ οὖν ὁρῶμεν ἡμῶν αὐτῶν τὰ ὁρώμενα; Τῇ ὄψει, ἔφη. Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ ἀκοῇ τὰ ἀκου-
III. i. 317. όμενα καὶ ταῖς ἄλλαις αἰσθήσεσι πάντα τὰ αἰσθητά; Τί

pr Ξ.—[q] ἀποτίσειν m.—[t] τοῦτο ΘΞΠDK.—[u] δὲ om K.—[v] οὖν om *v*.—[w] κομίσασθαι εὐλαβεῖσθαι m.—[x] πη om m.—[y] γ' ΑΘΠFvt, om DK: δ' *s*.—[z] ἡμᾶς ΘFr.—[a] τ' vmr.—[b] καὶ ante ἕκαστα om K.—[c] δὲ *q*.—[d] προσαγορευόμενον DK.—[e] ἔστι

ὑμῖν φίλον] Sic Ald. et Steph. In Bas. 1. et 2. vitiose ἡμῖν. Mox formam Atticam ἐσαῦθις (v. Schweigh. ad Appian. Præfat. p. 110. vol. iii.) pro communi εἰσαῦθις Platoni restitui, sæpius in ejus scriptis oblitteratam, ut in Gorg. init. εἰσαῦθις vulgo scribitur, quum Schol. Cod. Ciz. (p. 13.) ἐσαῦθις exhibeat. Ast.

τοὺς τόκους] Elegans est lusus; τόκος enim proprie est i. q. ἔκγονος præcedens, tunc etiam usura (v. Aristot. Polit. i. 10. Pollux iii. 85): hinc ipsius boni expositio pater, i. e. sors dicitur, ejus vero, quod ex ipso bono provenit, quasi partus boni, expositio usura; hinc et ἀποδοῦναι, ἀποτίσεις. Similiter hac imagine usus est Politic. p. 267. A. καλῶς καὶ καθαπερεὶ χρέως ἀποδέδωκάς μοι τὸν λόγον, προσθεὶς τὴν ἐκτροπὴν οἷον τόκον καὶ ἀναπληρώσας αὐτόν. Ast.

τοῦτον δὲ δὴ] Ald. Bas. 1. 2. τοῦτο. Ast.

διομολογησάμενος] *Si convenerimus.* Participium orationem continuans pro modo finito crebro sic ponitur, ut supra jam monuimus. Cod. Reg. omittit καὶ ante ἕκαστα, male. Ast.

ὡς μιᾶς οὔσης] Int. ἰδέας αὐτοῦ; de participio prædicati genus sequente v. ad i. 9. Ast.

τὰ μὲν δὴ ὁρᾶσθαι] Ante hæc verba Ficinus Ἀληθῆ legit; vertit enim: Gla. *Vera hæc sunt.* Socr. *Et hæc quidem videri.* Quod Platoni restituere haud dubitavimus. Ast.

μήν; Ἆρ' οὖν, ἦν δ' ἐγώ, ἐννενόηκας τὸν[h] τῶν αἰσθήσεων δημιουργόν, ὅσῳ πολυτελεστάτην τὴν[i] τοῦ ὁρᾶν τε[k] καὶ[l] ὁρᾶσθαι δύναμιν ἐδημιούργησεν; Οὐ πάνυ, ἔφη. Ἀλλ' ὧδε σκόπει. ἔστιν ὅ τι προσδεῖ ἀκοῆ καὶ φωνῇ γένους ἄλλου εἰς τὸ τὴν μὲν ἀκούειν, τὴν δ' ἀκούεσθαι; ὃ ἐὰν μὴ παραγένηται τρίτον, ἡ μὲν οὐκ ἀκούσεται, ἡ δὲ οὐκ ἀκουσθήσεται; Οὐδενός, ἔφη. Οἶμαι δέ γε, ἦν δ' ἐγώ, οὐδ' ἄλλαις[m] πολλαῖς, ἵνα μὴ εἴπω ὅτι οὐδεμιᾷ, τοιούτου προσδεῖ οὐδενός. ἢ σύ τινα ἔχεις εἰπεῖν; Οὐκ ἔγωγε, ἦ δ' ὅς. Τὴν δὲ τῆς ὄψεως καὶ τοῦ ὁρατοῦ οὐκ[n] ἐννοεῖς ὅτι προσδεῖται; Πῶς; Ἐνούσης που ἐν ὄμμασιν ὄψεως καὶ ἐπιχειροῦντος τοῦ[o] ἔχοντος[p] χρῆσθαι αὐτῇ,[q] παρούσης δὲ χρόας ἐν αὐτοῖς, ἐὰν μὴ παραγένηται γένος τρίτον[r] ἰδίᾳ ἐπ' αὐτὸ τοῦτο πεφυκός, οἶσθα[s] ὅτι ἥ τε ὄψις οὐδὲν ὄψεται τά τε χρώματα ἔσται ἀόρατα. Τίνος δὴ λέγεις, ἔφη,[t] τούτου; [c]Ὃ δὴ σὺ[u] καλεῖς, ἦν δ' ἐγώ, φῶς. Ἀληθῆ, ἔφη, λέγεις. Οὐ σμικρᾷ[v] ἄρα ἰδέᾳ[w] ἡ[x] τοῦ ὁρᾶν αἴσθησις καὶ ἡ[y] τοῦ ὁρᾶσθαι[z] δύναμις τῶν ἄλλων ξυζεύξεων[a] τιμιωτέρῳ ζυγῷ ἐζύγησαν, εἴ II. 508. περ μὴ ἄτιμον τὸ φῶς. Ἀλλὰ μήν, ἔφη, πολλοῦ γε δεῖ III. i. 318. ἄτιμον εἶναι. [§. 18.] Τίνα οὖν ἔχεις αἰτιάσασθαι τῶν ἐν οὐρανῷ θεῶν τούτου κύριον, οὗ ἡμῖν τὸ φῶς[b] ὄψιν τε ποιεῖ ὁρᾶν ὅτι κάλλιστα καὶ τὰ ὁρώμενα[c] ὁρᾶσθαι; Ὃν περ καὶ σύ, ἔφη, καὶ οἱ ἄλλοι· τὸν ἥλιον γὰρ δῆλον ὅτι ἐρωτᾷς.

ταῦτα add AΞνm.—[f] διορᾶσθαι r.—[g] φαμεν...δρᾶσθαι om q.—[h] τὸ ΘΠ.—[i] τὴν om Ξm.—[k] τε om Φr.—[l] καὶ τοῦ ΘΦr.—[m] ἄλλως r.—[n] οὐκ...αὐτῇ om Θ.—[o] τοῦ om K.—[p] ἔχον Π.—[q] αὐτήν m, αὐτοῖς q.—[r] γένος τι τρίτον q.—[s] οἶσθ' νm.—[t] ἔφη om Θr.—[u] σὺ...53, 14. ὁρώμενα] hæc quibus inerant, folia duo excisa sunt Π.—[v] σμικρᾶι AKr, σμικρῷ q : σμικρὰ *s.—[w] ἰδέαι A, ἰδίᾳ q : ἰδέα *s.—[x] ἡ om DKvr, ἥτε q.—[y] ἡ om ΘΠDK.—[z] ὁρᾶν Φr.—[a] ξ. ΑΘDK.—[b] ὃς ἡμῖν τὸ φῶς παρέχων q.—[c] ὁρώ-

οὐ σμικρὰ ἄρα ἰδέα] οὐ σμικρᾷ ἄρα ἰδέᾳ, legit et Fic. sed vereor ne utrique scripturæ magnus subsit error, et a Platone scriptum fuerit, οὐ σμικρῷ ἄρα ἥδε ἡ τοῦ ὁρᾶν αἰσθ. etc. ut intell. οὐ σμικρῷ τιμιωτέρῳ. Steph.

οὐ σμικρὰ ἄρα ἰδέα] Stephanus corrigebat οὐ σμικρῷ ἄρα ἥδε ἡ τοῦ ὁρᾶν cet. Sed nulla indiget emendatione locus. Σμικρὰ—ἰδέα est dualis et apposito ad v. ἡ τοῦ ὁρᾶν αἴσθησις et ἡ τοῦ ὁρᾶσθαι δύναμις : visus et apparendi facultas, utpote vires haud viles, vinculo junctæ sibi sunt præstantiore omnibus aliis. Ἰδέα est et intelligibile et reale, quatenus animo concipitur; h. l. significat activam et passivam visus potentiam s. vim, cujus vinculum est lumen. Ast.

§. 18. οὗ] Ficinus : *cujus lumen efficit, ut.* Ni fallor, legendum est τοῦ ἡμῖν τὸ φῶς—ποιεῖν, propter præcedens τούτου; ejus rei, quod lux visum nostrum reddit videntem, eaque, quæ apparent, apparentia. Mox Ἆρ' οὖν e Bas. 2. reposuimus; libri reliqui Ἆρ' οὖν. Ast.

Ἆρ' οὖν ὧδε πέφυκεν ὄψις πρὸς τοῦτον τὸν θεόν; Πῶς; Οὐκ ἔστιν ἥλιος ἡ ὄψις οὔτε αὐτὴ οὔτε ἐν ᾧ ἐγγίγνεται, ὃ δὴ καλοῦμεν ὄμμα.[d] Οὐ γὰρ οὖν. Ἀλλ' ἡλιοειδέστατόν γε οἶμαι τῶν περὶ τὰς αἰσθήσεις ὀργάνων. Πολύ γε. Οὐκοῦν καὶ τὴν δύναμιν ἣν ἔχει, ἐκ τούτου ταμιευομένην[e] ὡς περ ἐπίῤῥυτον κέκτηται; Πάνυ μὲν οὖν. Ἆρ'[f] οὖν οὐ καὶ ὁ ἥλιος ὄψις μὲν οὐκ ἔστιν, αἴτιος δ' ὢν αὐτῆς ὁρᾶται ὑπ' αὐτῆς ταύτης; Οὕτως, ἦ δ' ὅς. Τοῦτον τοίνυν, ἦν δ' ἐγώ, φάναι[g] με λέγειν τὸν τοῦ ἀγαθοῦ ἔκγονον, ὃν[h] τἀγαθὸν ἐγέννησεν ἀνάλογον ἑαυτῷ,[i] ὅ τί περ[k] αὐτὸ[l] ἐν τῷ νοητῷ τόπῳ πρός τε νοῦν καὶ τὰ νοούμενα, τοῦτο τοῦτον[m] ἐν τῷ ὁρατῷ πρός τε ὄψιν καὶ τὰ ὁρώμενα. Πῶς; ἔφη· ἔτι διέλθέ μοι. Ὀφθαλμοί, ἦν δ' ἐγώ, οἶσθ' ὅτι ὅταν μηκέτι ἐπ' ἐκείνᾳ[n] τις αὐτοὺς τρέπῃ ὧν ἂν τὰς χρόας τὸ ἡμερινὸν φῶς ἐπέχῃ,[o] ἀλλὰ ὧν[p] νυκτερινὰ φέγγη, ἀμβλυώττουσί
II. i. 319. τε[q] καὶ ἐγγὺς φαίνονται[r] τυφλῶν, ὥς περ οὐκ ἐνούσης να-

μενα om pr Ξ.—[d] ὄνμομα v.—[e] ταμιευομένη DKq.—[f] οὖν post ἆρ' om v.—[g] φάθι q. —[h] ὃν m.—[i] ἑαυτῷ ἀνάλογον ΘΦτ, ἀνάλογον ἑαυτοῦ q.—[k] περ γὰρ Φτ.—[l] αὐτῷ m. —[m] τοῦτον om v.—[n] ἐπέκεινά m, ἐπ' ἐκείνοις q.—[o] ἐπέχοι Ξ.—[p] ὡς ΘΦDKqτ.—

ταμιευομένην] Sic benè Steph. correxit. *ταμιευομένη* in Ald. Bas. 1. et 2. Ast.

ἆρ' οὖν οὐ—] Laud. Euseb. Præp. Evang. xi. 21. p. 542. C. Ast.

φάναι] Est *φάναι* (sunt et aliquanto post p. 509. B.) pro *φᾶθι*: nisi potius ita legendum est utrobique. Steph.

φάναι με λέγειν] I. q. *φαθί* (*existima*. Hesych. *Φημί—ὑπολαμβάνω*) infinitivo imperativi partes agente, quam antiquioris sermonis simplicitatem Atticis inprimis placuisse veteres Grammatici tradunt. Exempla innumera extant, ut cap. sq. *καὶ τοῖς γιγνωσκομένοις τοίνυν μὴ μόνον τὸ γιγνώσκεσθαι φάναι ὑπὸ τοῦ ἀγαθοῦ παρεῖναι*, cet. Vid. Kœn. ad Gregor. Corinth. p. 189. Hemsterh. ad Aristoph. Plut. 196. Schæf. ad L. Bos. p. 591. Matthiæ Gr. Gr. p. 784. Heind. ad Lys. p. 21. Quocirca miror, Böckhium ad Simonis Socratici dialog. præf. p. x. Græv io (ad Lucian. Solœc. §. 4.) assentiri, infinitivum pro imperativo positum apud prosæ orationis auctores barbarum esse censenti; et ratio, qua infinitivum sic positum in Platonis libris explicat, nec in hunc et sequentis capitis locum, nec in multos alios quadrat; opinatur enim, ex anacoluthia quadam fieri, ut infinitivus imperandi vim videatur habere, præsertim post futurum aut optativum futuri partes agentem, et post *ἐὰν δὲ* cum conjunctivo; h. l. vero neque anacoluthia apparet, neque futurum, optativus vel *ἐὰν δὲ* præcedit. Ast.

ἀνὰ λόγον] Vulgo *ἀνάλογον*. Vid. Heind. ad Phædon. §. 136. Ante *ὅ τί περ* omissa est particula explicativa, *ut, scilicet*, v. ad vi. 11. Stephanus inseri jubebat *καί*. Deinde Julian. Orat. iv. p. 133. A. qui hunc locum laudat, *ἑαυτὸ* pro *αὐτὸ* et *πρός γε νοῦν* (Ald. Bas. 1. et 2. *νῦν*) pro *πρός τε νοῦν* exhibet. Ceterum cf. Plutarch. t. ii. p. 781. F. Gregor. Nazianz. Orat. xxxiv. p. 559. B. et xl. p. 639. A. B. loco egregio. Procl. Theolog. Plat. p. 378. Macrob. Somn. Scip. i. 2. Petav. ad Julian. l. l. p. 85. Ast.

φῶς et *φεγγη*] Sibi opponuntur; illud enim de solis, *φέγγος* vero de lunæ siderumque luce usurpari solet, vid. Coraius ad Heliodor. p. 289. etsi *φῶς* etiam de luna ponitur, ut vii. 2. Verba *ἀμβλυώττουσι* sqq. laudat Proc. in Tim. p. 6. Ast.

θαρᾶς ὄψεως; Καὶ μάλα,[s] ἔφη.[t] Ὅταν δέ γ', οἶμαι, ὧν[u] ὁ ἥλιος καταλάμπει,[v] σαφῶς ὁρῶσι, καὶ τοῖς αὐτοῖς τούτοις ὄμμασιν ὄψις[w] ἐνοῦσα φαίνεται. Τί μήν; Οὕτω τοίνυν καὶ τὸ τῆς ψυχῆς ὧδε νόει· ὅταν μὲν οὗ[x] καταλάμπει[y] ἀλήθειά τε καὶ τὸ ὄν, εἰς τοῦτο ἀπερείσηται, ἐνόησέ τε καὶ ἔγνω αὐτὸ καὶ νοῦν ἔχειν[z] φαίνεται· ὅταν δὲ[a] εἰς τὸ τῷ σκότῳ κεκραμένον, τὸ γιγνόμενόν τε καὶ ἀπολλύμενον, δοξάζει τε καὶ ἀμβλυώττει ἄνω καὶ κάτω τὰς δόξας μεταβάλλον,[b] καὶ ἔοικεν αὖ νοῦν οὐκ ἔχοντι. Ἔοικε γάρ. Τοῦτό τοίνυν τὸ τὴν ἀλήθειαν παρέχον τοῖς γιγνωσκομένοις[c] καὶ τῷ γιγνώσκοντι τὴν δύναμιν ἀποδιδὸν τὴν τοῦ ἀγαθοῦ ἰδέαν φάθι[d] εἶναι, αἰτίαν δ' ἐπιστήμης οὖσαν καὶ ἀληθείας ὡς γιγνωσκομένης[e] μὲν διανοοῦ,[f] οὕτω δὲ καλῶν ἀμφοτέρων ὄντων, γνώσεώς τε καὶ ἀληθείας, ἄλλο καὶ κάλλιον ἔτι τούτων ἡγούμενος αὐτὸ ὀρθῶς ἡγήσει· ἐπιστήμην[g] δὲ καὶ ἀλήθειαν, ὥς περ ἐκεῖ φῶς τε καὶ ὄψιν ἡλιοειδῆ μὲν[h] νομίζειν II. 509.
ὀρθόν, ἥλιον δὲ[i] ἡγεῖσθαι οὐκ ὀρθῶς ἴσχει, οὕτω καὶ[k] ἐνταῦθα ἀγαθοειδῆ μὲν νομίζειν ταῦτ' ἀμφότερα ὀρθόν, ἀγαθὸν δὲ

q γε Ξ.—r φαίνεται m.—s μάλ' v.—t ἔφης m.—u οὗ q.—v καταλάμπη ΑΘΞΦ.—w ὄψις add Φγ.—x αὐτὴν v, οὐ m.—y καταλάμπη Φm.—z ἔχον q.—a δ' v.—b μεταβαλὸν Θ, μεταβαλὸν ΦDKr.—c γιγνομένοις m.—d φάθι Φq, φαθὶ pr Θ et rc A.—e γιγνωσκομένων q.—f διανοοῦ A et rc Θ, διὰ νόου ΦDKr et pr Θ: διὰ νοῦ *s.—g ἡγήσει καὶ ἐπιστήμην v.—h μὲν om m.—i δ' vm.—k καὶ οὕτω Θr.—l εἰ...λέγεις

καθαρᾶς] Ald. Bas. 1. et 2. καθαρῶν. Ast.

καταλάμπει, σαφῶς] Ald. καταλάμπεισα φῶς. Ad verba ὅταν δέ γ' repete ex prægressis: ὀφθαλμοὺς ἐπ' ἐκεῖνα τρέπῃ, et ad ἐνοῦσα intellige ὄψις. Ast.

ὅταν μὲν, οὗ καταλάμπει ἀλήθεια] Vid. Phil. Jud. de congregat. quær. crud. Gr. p. 430. ed. Francof. Ast.

τῷ σκότῳ κεκραμένον] Ficin. *Quod tenebris est mixtum.* Mihi olim placebat: κεκρυμμένον. Faehse.

τοῦτο τοίνυν] Laud. Euseb. Præp. Ev. xi. 21. p. 542. C. Ast.

αἰτίαν—διὰ νοῦ] Glossematis mihi videntur hæc verba manifesta esse; namque, si sensum respicis, nihil nisi prægressa repetunt; τὸ παρέχον τὴν ἀλήθειαν et τὴν δύναμιν τοῦ γιγνώσκειν s. τὴν γνῶσιν per se patet αἰτίαν εἶναι γνώσεως s. ἐπιστήμης et ἀληθείας; quæ sequuntur vero: ὡς γιγνωσκομένης διὰ νοῦ, miris modis languent. Etiam sententiam exhibent admodum vulgarem, ne dicam ineptam; nam quonam alio quid cognosci potest nisi mente? Accedit mala horum verborum cohærentia; δὲ illud æque orationem impedit, ut nescias, quid eo facias, ac μὲν post γιγνωσκομένης. Expulsis vero illis oratio perspicua erit nilque desiderabis: τοῦτο τοίνυν τὸ τὴν ἀλήθειαν παρέχον τοῖς γιγνωσκομένοις καὶ τῷ γιγνώσκοντι τὴν δύναμιν (cognoscendi facultatem) ἀποδιδὸν τὴν τοῦ ἀγαθοῦ ἰδέαν φαθὶ εἶναι. οὕτω δὲ καλῶν ἀμφοτέρων ὄντων γνώσεώς τε καὶ ἀληθείας, ἄλλο καὶ κάλλιον ἔτι τούτων ἡγούμενος αὐτὸ ὀρθῶς ἡγήσει. In verbis οὕτω δὲ—ὄντων particula δὲ cum participio est *quamvis*. Steph. 'Aut μὲν expungendum esse aut potius aliquid deesse' censebat; quem De-Geer. (Diatrib. in Plat. Polit. princip. p. 82.) secutus est. Ast.

ἀγαθοειδῆ] Mutuam sumserunt hanc

ἡγεῖσθαι ὁπότερον αὐτῶν οὐκ ὀρθόν, ἀλλ᾽ ἔτι μειζόνως τιμη-
III. i. 320. τέον τὴν τοῦ ἀγαθοῦ ἕξιν. Ἀμήχανον κάλλος, ἔφη, λέγεις, εἰ[l] ἐπιστήμην μὲν καὶ ἀλήθειαν παρέχει, αὐτὸ δ᾽ ὑπὲρ ταῦτα κάλλει[m] ἐστίν· οὐ γάρ δή που σύ γε ἡδονὴν αὐτὸ λέγεις. Εὐφήμει, ἦν δ᾽ ἐγώ· ἀλλ᾽ ὧδε μᾶλλον τὴν εἰκόνα αὐτοῦ ἔτι ἐπισκόπει. Πῶς; Τὸν ἥλιον τοῖς ὁρωμένοις οὐ μόνον, οἶμαι, τὴν τοῦ ὁρᾶσθαι δύναμιν παρέχειν φήσεις, ἀλλὰ καὶ τὴν γένεσιν καὶ αὔξην[n] καὶ τροφήν, οὐ[o] γένεσιν αὐτὸν[p] ὄντα. Πῶς γάρ;[q] Καὶ τοῖς γιγνωσκομένοις τοίνυν μὴ μόνον τὸ γιγνώσκεσθαι φάναι ὑπὸ τοῦ ἀγαθοῦ παρεῖναι, ἀλλὰ καὶ τὸ εἶναί τε καὶ τὴν οὐσίαν ὑπ᾽ ἐκείνου αὐτοῖς προσεῖναι, οὐκ οὐσίας ὄντος τοῦ ἀγαθοῦ, ἀλλ᾽ ἔτι ἐπέκεινα τῆς οὐσίας πρεσβείᾳ καὶ δυνάμει ὑπερέχοντος. [§. 19.] Καὶ ὁ Γλαύκων μάλα γελοίως, Ἀπολλον, ἔφη, δαιμονίας ὑπερβολῆς! Σὺ γάρ, ἦν δ᾽ ἐγώ, αἴτιος, ἀναγκάζων τὰ ἐμοὶ δοκοῦντα περὶ[r] αὐτοῦ λέγειν. Καὶ μηδαμῶς γ᾽, ἔφη, παύσῃ, εἰ μή τι, ἀλλὰ[s] τὴν περὶ τὸν ἥλιον ὁμοιότητα αὖ[t] διεξιών, εἴ[u] πῃ[w] ἀπολείπεις.[x] Ἀλλὰ μήν,

η
om ΘΦγ.—[m] κάλλει m.—[n] αὔξησιν Κυ.—[o] καὶ υ: οὐ...ὄντα om Φ.—[p] αὐτὰ Κ.—[q] γὰρ οὔ Φ.—[r] τὰ περὶ m.—[s] ἄλλα A, ἄλλο υ.—[t] αὐτοῦ υ.—[u] ἤ D, ἢ Kq.—[w] ποι

vocem a Platone Julian. Orat. iv. p. 133. C. Plotin. Ennead. iii. 8. vi. 7. v. Creuzer. in Stud. t. i. p. 101. Ast.

αὔξην] Cod. Reg. αὔξησιν, sed αὔξη (Theæt. 173. A. Liban. Epist. xlii. p. 21. Wolf. Cf. Auctar. Emendat. in Hesych. t. ii. ad t. i. p. 618.) ut ἄνθη pro ἄνθησις (v. nostra ad Sympos. p. 275.) βλάστη. Atticæ sunt formæ; vid. Thom. Mag. ibique interpp. p. 127. et Pierson. ad Mœr. p. 4. Ast.

ἔτι ἐπεκεῖνα] In Euseb. l. l. deest ἔτι et τῆς ante οὐσίας. Ast.

§. 19. δαιμονίας ὑπερβολῆς] Genitivus, admirationis index, v. Gregor. Corinth. p. 58. ubi v. Kœn. et Fischer. ad Weller. t. iii. p. i. p. 348. Ast.

μηδαμῶς] Ut μὴ, μηδὲ, cum indicativo futuri vim fere habet imperandi, ut in exemplis ab Hermanno ad Viger. p. 776. laudatis. Vid. Valcken. ad Phœn. p. 34. Hemsterh. ad Aristoph. Plut. p. 203. Dorv. ad Charit. p. 544. Heind. ad Cratyl. p. 36. Ast.

εἰ μή τι, ἀλλὰ] Non video quid post εἰ μή τι subaudiri possit: ideoque legendum censuerim (donec aliquid melius ex aliquo vet. exemplari emergat) παύσῃ, εἰ μή τι ἄλλο, τὴν περὶ τὸν ἥλιον etc. aut certe ita, παύσῃ ἐμοὶ ἔτι ἄλλην τὴν περὶ τὸν ἥλιον etc. Quinetiam pro εἴπη ἀπολείπεις legi fortasse posset εἶτι ἀπολείπεις: sed illa lectio defendi posse videtur. Steph.

εἰ μή τι, ἀλλὰ] Ni verba εἰ μή τι e sequentibus εἴ πῃ ἀπολείπεις enata sunt (εἰ πή τι ἀπολείπεις, vel, ut legi malim, ἀπέλιπες; Ficinus: *si quid est prætermissum*), ita ut ἀλλὰ per se sit *certe, saltem*, intellecto εἰ μή τι ἄλλο (v. Hermann. ad Viger. p. 777.), ita ea intelligo, ut ἄλλο, quod frequenter omittitur (v. Lamb. Bos. p. 27. ed Schæf.) suppleatur. Ficinus vertit: *sed absolve præcipue solis comparationem, si quid est prætermissum.* Plenius Cornarius: *Et nequaquam inquit, desines, o Socrates, si non aliud quid, saltem similitudinem ad solem rursus exequi, si quid forte relinquis.* Ast.

εἶπον, συγχά γε[y] ἀπολείπω. Μηδὲ σμικρὸν τοίνυν, ἔφη, παραλίπῃς.[z] Οἶμαι μέν, ἦν δ' ἐγώ, καὶ πολύ· ὅμως δέ,[a] ὅσα γε[b] ἐν τῷ παρόντι δυνατόν, ἐκὼν οὐκ ἀπολείψω. Μὴ γάρ, ἔφη. Νόησον τοίνυν, ἦν δ' ἐγώ, ὥς περ[c] λέγομεν, δύο[d] αὐτὼ εἶναι, καὶ βασιλεύειν τὸ[e] μὲν νοητοῦ γένους τε καὶ III. i. 321.
τόπου,[f] τὸ δ' αὖ ὁρατοῦ, ἵνα μὴ οὐρανοῦ[g] εἰπὼν δόξω σοι σοφίζεσθαι περὶ τὸ ὄνομα. ἀλλ' οὖν ἔχεις ταῦτα διττὰ εἴδη, ὁρατόν, νοητόν; Ἔχω. Ὡς περ τοίνυν γραμμὴν δίχα τετμημένην λαβὼν ἄνισα[h] τμήματα, πάλιν τέμνε ἑκάτερον τὸ[i] τμῆμα[k] ἀνὰ τὸν αὐτὸν λόγον, τό τε τοῦ ὁρωμένου γένους[l] καὶ τὸ τοῦ νοουμένου, καί σοι ἔσται σαφηνείᾳ καὶ ἀσαφείᾳ[m] πρὸς ἄλληλα ἐν μὲν τῷ ὁρωμένῳ τὸ μὲν ἕτερον τμῆμα εἰκόνες. λέγω δὲ τὰς εἰκόνας πρῶτον μὲν τὰς σκιάς, II. 510.
ἔπειτα τὰ ἐν[n] τοῖς ὕδασι φαντάσματα καὶ ἐν[o] τοῖς ὅσα πυκνά τε καὶ λεῖα καὶ φανὰ ξυνέστηκε, καὶ πᾶν τὸ τοιοῦτον, εἰ κατανοεῖς. Ἀλλὰ κατανοῶ. Τὸ[p] τοίνυν ἕτερον τίθει ᾧ τοῦτο[q] ὅμοιόν ἐστι, τά τε περὶ ἡμᾶς ζῷα καὶ πᾶν τὸ φυτευτὸν καὶ τὸ[r] σκευαστὸν ὅλον γένος. Τίθημι, ἔφη. Ἦ καὶ ἐθέλοις[s] ἂν αὐτὸ φάναι, ἦν δ' ἐγώ, διῃρῆσθαι ἀληθείᾳ τε καὶ μή, ὡς τὸ δοξαστὸν πρὸς τὸ γνωστόν, οὕτω τὸ ὁμοιωθὲν πρὸς τὸ ᾧ ὡμοιώθη; Ἔγωγ', ἔφη, καὶ μάλα. Σκόπει δὴ[t]
αὖ καὶ τὴν τοῦ νοητοῦ τομὴν ᾗ τμητέον. Πῇ; Ἧι τὸ μὲν III. i. 322.
αὐτοῦ τοῖς τότε τμηθεῖσιν[u] ὡς εἰκόσι χρωμένη ψυχὴ ζητεῖν[v] ἀναγκάζεται ἐξ ὑποθέσεων,[w] οὐκ[x] ἐπ' ἀρχὴν πορευομένη

Ξ.—[x] ἀπολείποις Θ, ἀπολείπῃς Κ, ἀπολίπῃς Φῦ.—[y] τε Κ.—[z] παραλείπῃς ν.—[a] δ' γ.—[b] γ' rm.—[c] ὥσπερ λέγομεν om m.—[d] δύω Α.—[e] τὸ ante μὲν om ν.—[f] τρόπου Φῦ.—[g] οὐρανὸν Α.—[h] εἰς ἴσα ν.—[i] τὸ om AKm.—[k] τμῆμα om m.—[l] γένος q.—[m] σαφηνείαι καὶ ἀσαφείαι Am : σαφήνεια καὶ ἀσάφεια *ς.—[n] ἐν...φαντ. καὶ om ν.—[o] καὶ ἐν ΑΘΦDKqvmr : καὶ ἅπερ ἐν *ς.—[p] τὸ ΑΘΞΦDKqvmr : καὶ ς.—[q] τοῦτο, θεῖο ΘΦῦ.—[r] τὸ om ΘΦDKqῦ.—[s] θέλεις ν.—[t] δὲ Kq.—[u] μιμηθεῖσιν Α.—[v] ζητεῖν

ἂν ἴσα] Vulgo ἄνισα, unde vel αὖ ἴσα vel ἂν ἴσα rescribendum esse putaverunt viri docti ; verba vero dividendi cum solo accusativo construuntur, vid. Fischer. ad Weller. t. iii. p. i. p. 444. Schæf. ad Bos. p. 683. Ἂν haud dubie ex interpretatione fluxit, indeque ἄνισα enatum est. Ficinus vertit : *proinde ac si acceperis lineam in duas æquales sectam portiones.* Ast.

σαφήνεια καὶ] γρ. σαφήνεια, οὐκ. Steph.

σαφήνεια] Bas. 2. exhibet *σαφήνεια οὐκ ἀσάφεια*, vitiose. Ficinus : *in duo rursus secundum claritatem et obscuritatem utrumque distingue.* Ita cogitatione finge confirmationem :

νοητὸν	*ὁρατὸν*
νόησις διάνοια	*πίστις εἰκασία*

Ast.

σκόπει δὴ] Bas. 1. et 2. δέ. Ast.

ᾗ τὸ μὲν] Cf. Procl. in Polit. p. 432. v. 10. Ast.

ἀλλ' ἐπὶ τελευτήν, τὸ δ' αὖ ἕτερον τὸ ἐπ' ἀρχὴν ἀνυπόθετον ἐξ ὑποθέσεως[y] ἰοῦσα[z] καὶ ἄνευ τῶν[a] περὶ[b] ἐκεῖνο εἰκόνων αὐτοῖς[c] εἴδεσι δι' αὐτῶν τὴν μέθοδον ποιουμένη.[d] Ταῦτ', ἔφη, ἃ λέγεις, οὐχ ἱκανῶς ἔμαθον. Ἀλλ' αὖθις, ἦν δ' ἐγώ· ῥᾷον γὰρ τούτων προειρημένων μαθήσει. οἶμαι γάρ σε εἰδέναι ὅτι οἱ περὶ τὰς γεωμετρίας τε καὶ λογισμοὺς καὶ τὰ τοιαῦτα πραγματευόμενοι, ὑποθέμενοι τό τε περιττὸν καὶ τὸ ἄρτιον καὶ τὰ σχήματα καὶ γωνιῶν τριττὰ εἴδη καὶ ἄλλα τούτων ἀδελφὰ καθ' ἑκάστην μέθοδον, ταῦτα μὲν ὡς εἰδότες, ποιησάμενοι ὑποθέσεις αὐτά, οὐδένα λόγον οὔτε[e] αὐτοῖς οὔτε ἄλλοις ἔτι ἀξιοῦσι[f] περὶ αὐτῶν διδόναι ὡς παντὶ φανερῶν,[g] ἐκ τούτων δ' ἀρχόμενοι τὰ λοιπὰ ἤδη[h] διεξιόντες τελευτῶσιν ὁμολογουμένως ἐπὶ τοῦτο οὗ ἂν ἐπὶ σκέψιν ὁρμήσωσιν. Πάνυ μὲν οὖν, ἔφη, τοῦτό γε οἶδα. Οὐκοῦν καὶ ὅτι τοῖς[i] ὁρωμένοις[k] εἴδεσι προσχρῶνται καὶ τοὺς λόγους περὶ αὐτῶν ποιοῦνται, οὐ περὶ τούτων διανοούμενοι ἀλλ' ἐκείνων πέρι οἷς ταῦτα ἔοικε, τοῦ τετραγώνου αὐτοῦ ἕνεκα τοὺς λόγους ποιούμενοι καὶ διαμέτρου αὐτῆς, ἀλλ' οὐ ταύτης ἣν γράφουσι, καὶ τἆλλα οὕτως, αὐτὰ μὲν[l] ταῦτα[m] ἃ πλάττουσί τε καὶ γράφουσιν, ὧν καὶ σκιαὶ καὶ[n]

xii. i. 323.

om ΘΞΦΫ.—[w] ὑποθέσεως ΘΞ.—[x] οὐκ...ὑποθέσεως om Φ.—[y] ὑποθέσεων ΘΞΫ, ὑποθέσεως ν. οῖς—[z] ἰοῦσι m.—[a] ὧν ΑΘΞΦΫ.—[b] περ ΘΞΦΫ.—[c] αὐτῆς Κ.—[d] ποιουμένην ΘΦΫ.—[e] οὔτε...οὔτε] οὐδὲ...οὐδὲ ν.—[f] ἀξιοῦμεν ΘΦΫ.—[g] φανερόν νmΫ.—[h] εἴδη Κ.—[i] τοῖς om ν.—[k] εἰρημένοις νm et mg D.—[l] μὲν οὖν ΘΦΫ.—[m] ταῦτα om ν.—[n] καὶ

τὸ ἐπ' ἀρχὴν] Pro τὸ ante ν. ἐπ' ἀρχὴν Hermannus Præfat. ad Dracon. Straton. p. xxviii. legi jussit λόγῳ, laudans p. 511. B. οὗ αὐτὸς ὁ λόγος cet. Sed malim τὸ deleri, ut intelligatur ad τὸ δ' αὖ ἕτερον e prægressis ζητεῖν ἀναγκάζεται s. ζητεῖ, sc. ψυχὴ, ἐπ' ἀρχὴν—ἰοῦσα, quod antecedentibus οὐκ ἐπ' ἀρχὴν πορευομένη oppositum est, sicut illis: τοῖς τότε τμηθεῖσιν ὡς εἰκόσι χρωμένη respondent hæc: ἄνευ τῶν—εἰκόνων αὐτοῖς εἴδεσι (ideis s. notionibus, quæ dicuntur, abstractis) τὴν μέθοδον ποιουμένη. Alienum ab hoc loco mihi videtur esse λόγῳ. Ast.

ἀλλ' αὖθις] Ni fallor, εὐθὺς legendum est, quocum αὖθις frequentissime permutatum reperitur: *statim* s. *protinus* intelliges. Ficinus vertit: *at enim facilius per hæc intelliges.* Ast.

φανερῶν] Ald. Bas. 1. et 2. φανερόν. Ast.

τἆλλα οὕτως, αὐτὰ μὲν ταῦτα] Anacoluthon pro καὶ τἆλλα οὕτως, αὐτοῖς μὲν τούτοις, ἃ πλάττουσι—ὡς εἰκόσιν αὖ χρώμενοι, ζητοῦντες δέ cet. Verba αὐτὰ μὲν ταῦτα—εἰσὶ explicationis causa interposita sunt, ita ut cum reliquis non cohærere videantur. Similiter Euthydem. p. 281. D. ἐν κεφαλαίῳ δ' ἔφην—κινδυνεύει ξύμπαντα, ἃ τὸ πρῶτον ἔφαμεν ἀγαθὰ εἶναι, οὐ περὶ τούτου ὁ λόγος αὐτοῖς εἶναι, ὅπως αὐτά γε καθ' αὑτὰ πέφυκεν ἀγαθὰ εἶναι, ἀλλ', ὡς ἔοικεν, ὧδ' ἔχει. Ubi diligentissimus Heind. p. 332. nostrum quoque locum attigit. Ast.

ἐν ὕδασιν εἰκόνες εἰσί, τούτοις μὲν ὡς εἰκόσιν αὖ[o] χρώμενοι, ζητοῦντές τε[p] αὐτὰ ἐκεῖνα ἰδεῖν ἃ οὐκ ἂν ἄλλως ἴδοι τις ἢ II. 511.
τῇ διανοίᾳ. Ἀληθῆ, ἔφη, λέγεις. [§. 20.] Τοῦτο τοίνυν νοητοῦ[q] μὲν τὸ εἶδος ἔλεγον, ὑποθέσεσι δ' ἀναγκαζομένην ψυχὴν χρῆσθαι περὶ τὴν ζήτησιν αὐτοῦ, οὐκ ἐπ'[r] ἀρχὴν ἰοῦσαν, ὡς οὐ δυναμένην τῶν ὑποθέσεων ἀνωτέρω ἐκβαίνειν, εἰκόσι δὲ χρωμένην αὐτοῖς τοῖς ὑπὸ[s] τῶν κάτω ἀπεικασθεῖσι καὶ ἐκείνοις πρὸς ἐκεῖνα, ὡς ἐναργέσι, δεδοξασμένοις τε καὶ[t] τετιμημένοις.[u] Μανθάνω, ἔφη, ὅτι τὸ ὑπὸ ταῖς γεωμετρίαις τε[v] καὶ ταῖς ταύταις[w] ἀδελφαῖς τέχναις λέγεις. Τὸ τοίνυν ἕτερον μάνθανε τμῆμα τοῦ νοητοῦ λέγοντά[x] με τοῦτο, οὗ αὐτὸς[y] ὁ λόγος ἅπτεται τῇ[z] τοῦ διαλέγεσθαι δυνάμει, τὰς ὑποθέσεις ποιούμενος οὐκ ἀρχὰς ἀλλὰ τῷ ὄντι ὑποθέσεις, οἷον ἐπιβάσεις τε καὶ ὁρμάς, ἵνα μέχρι τοῦ ἀνυποθέτου ἐπὶ τὴν τοῦ παντὸς ἀρχὴν ἰών, ἁψάμενος αὐτῆς, πάλιν αὖ[a] ἐχόμενος τῶν ἐκείνης[b] ἐχομένων, οὕτως ἐπὶ τελευτὴν III. i. 324.
καταβαίνῃ[c] αἰσθητῷ παντάπασιν οὐδενὶ προσχρώμενος ἀλλ' εἴδεσιν αὐτοῖς δι' αὐτῶν εἰς αὐτά, καὶ τελευτᾷ εἰς εἴδη. Μανθάνω, ἔφη, ἱκανῶς μὲν οὔ,[d] δοκεῖς γάρ μοι συχνὸν ἔργον λέγειν, ὅτι μέντοι βούλει διορίζειν[e] σαφέστερον εἶναι τὸ

ante ἐν om m.—[o] αὖ om Ξv.—[p] δὲ v, om Ξ.—[q] νοητὸν AΞvm.—[r] οὐκ ἂν ἐπ' m.—[s] ἐπὶ rc q.—[t] τε καὶ τετ. om v.—[u] τετιμημένοις Φmr et corr (ut videtur) A : τετιμημένοις [s.—[v] τε om Ξ.—[w] ταύτης AΦDKqvmr, ταύταις Ξ.—[x] ἄλλως λέγοντα v.—[y] ὁ αὐτὸς Φ.—[z] τῇ om K.—[a] αὖ om v.—[b] ἐκείνοις m.—[c] καταβαίνοι ΞΦr.—

ζητοῦντές τε] Quum præcedat *τούτοις μὲν χρώμενοι*, non dubito quin sequi debeat *ζητοῦντες δέ*. Steph.

§. 20. *νοητοῦ μὲν*] Ni fallor, legendum est *νοητοῦ ἓν μέν*. In sequentibus δὲ est explicativum, et participium, utpote post verbum dicendi, loco infinitivi positum. Verba *καὶ ἐκείνοις* haud dubie interpolatori debemus, qui post *αὐτοῖς τοῖς—ἀπεικασθεῖσι* alterum desiderasset illi respondens. Sensum sic expressit Cornarius: *sed imaginibus ipsis, quæ ab inferioribus assimilatæ sunt* (cogita v. c. trianguli imaginem in rebus sensibilibus apparentem) *utitur atque hic ipsis ad illa* (ad inferiora, *τὰ κάτω*) *velut evidentibus opinioneque conceptis ac divisis.* Ὡς cum participio causam indicat: utpote quæ cum illis (rebus sensibilibus) comparatæ pro perspicuis habeantur et ab illis distinguantur. Τέμνειν est *distinguere*, ut de Legg. xii. p. 944. B. *τεμεῖν δὴ χρεὼν κατὰ δύναμιν τὸ μεῖζον καὶ τὸ δυσχερέστατον κακὸν ἀπὸ τοῦ ἐναντίου*. Ast.

μέχρι τοῦ ἀνυποθέτου] Hanc philosophiæ partem *ἐποπτικὴν* vocarunt seriores; vid. Plutarch. de Isid. et Osir. p. 382. D. t. ii. Ast.

ὅτι μέντοι βούλει διορίζειν—ἀρχαί] Int. *τοῦτο μανθάνω*: *quod ad id attinet, quod ponere vis, clariorem esse cognitionem philosopham, quam perceptionem ex artibus sic dictis proficiscentem, hoc equidem assequor.* Ast.

καὶ διανοίᾳ μέν] Verba sunt Glauconis rationem, qua Socratis sententiam intellexerit, uberius exponentis. *ἀλλ' οὖν* est *tamen, vero.* Ast.

ὑπὸ τῆς τοῦ διαλέγεσθαι ἐπιστήμης τοῦ ὄντος τε καὶ νοητοῦ θεωρούμενον ἢ τὸ[f] ὑπὸ τῶν τεχνῶν[g] καλουμένων,[h] αἷς[i] αἱ[k] ὑποθέσεις ἀρχαὶ καὶ διανοίᾳ μὲν ἀναγκάζονται ἀλλὰ μὴ αἰσθήσεσιν[l] αὐτὰ θεᾶσθαι οἱ θεώμενοι, διὰ δὲ τὸ μὴ ἐπ' ἀρχὴν ἀνελθόντας[m] σκοπεῖν ἀλλ' ἐξ ὑποθέσεων νοῦν οὐκ ἴσχειν περὶ αὐτὰ δοκοῦσί σοι, καί τοι νοητῶν ὄντων μετὰ[n] ἀρχῆς. διάνοιαν δὲ καλεῖν μοι δοκεῖς[o] τὴν τῶν γεωμετρικῶν τε καὶ τὴν[p] τῶν τοιούτων ἕξιν ἀλλ' οὐ νοῦν,[q] ὡς μεταξύ τι[r] δόξης τε καὶ νοῦ τὴν διάνοιαν οὖσαν.[s] Ἱκανώτατα, ἦν δ' ἐγώ, ἀπεδέξω.[t] καί μοι ἐπὶ τοῖς τέτταρσι τμήμασι τέτταρα ταῦτα παθήματα ἐν τῇ ψυχῇ γιγνόμενα λαβέ, νόησιν μὲν ἐπὶ τῷ ἀνωτάτω, διάνοιαν δὲ[u] ἐπὶ τῷ δευτέρῳ, τῷ[v] τρίτῳ δὲ πίστιν ἀπόδος καὶ τῷ τελευταίῳ εἰκασίαν,
III. i. 325. καὶ τάξον αὐτὰ ἀνὰ λόγον, ὡς περ ἐφ' οἷς ἔστιν ἀληθείας μετέχειν, οὕτω ταῦτα σαφηνείας ἡγησάμενος μετέχειν. Μανθάνω, ἔφη, καὶ ξυγχωρῶ καὶ τάττω ὡς λέγεις.

[d] οὖν ΦKmr et pr D.—[e] λέγειν Φr.—[f] τῷ m.—[g] τεχνῶν τι Ξ.—[h] καλουμένω m.—[i] οἷς Ξ.—[k] αἱ om Ξ.—[l] αἰσθήσει v, αἴσθησιν m.—[m] ἀνελθόντες ΑΘΞΦir, ἀνελθὸν q.—[n] μετ' v.—[o] δοκεῖς μοι καλεῖν K, καλή μοι δοκεῖς m.—[p] τὴν om ΘΦKr.—[q] οὐ νοῦν ADv, οὐ νῦν m : οὖν *s.—[r] που Φ.—[s] ἰοῦσαν K, qui in mg κάλλιον οὖσαν.—[t] ἀπεδείξω ΦKr.—[u] δ' v.—[v] τῷ post δευτέρῳ om DKq.

ὥσπερ, ἐφ' οἷς ἐστὶν] I. e. ὥσπερ ταῦτα, ἐφ' οἷς ἐστὶν, μετέχειν ἀληθείας. Ast.

ΠΟΛΙΤΕΙΑ,

Z.

§. 1. Μετὰ ταῦτα δή, εἶπον, ἀπείκασον τοιούτῳ[a] πάθει τὴν ἡμετέραν φύσιν παιδείας τε πέρι καὶ ἀπαιδευσίας· ἰδὲ[b] γὰρ ἀνθρώπους οἷον ἐν καταγείῳ οἰκήσει σπηλαιώδει, ἀναπεπταμένην[c] πρὸς τὸ φῶς τὴν εἴσοδον ἐχούσῃ μακρὰν παρ' ἅπαν τὸ σπήλαιον, ἐν ταύτῃ ἐκ παίδων ὄντας ἐν δεσμοῖς καὶ τὰ σκέλη καὶ τοὺς αὐχένας, ὥστε μένειν τε αὐτοὺς εἰς τε[d] τὸ πρόσθεν μόνον[e] ὁρᾶν, κύκλῳ δὲ τὰς κεφαλὰς ὑπὸ τοῦ δεσμοῦ ἀδυνάτους περιάγειν, φῶς δὲ αὐτοῖς πυρὸς ἄνωθεν καὶ πόρρωθεν καόμενον ὄπισθεν αὐτῶν, μεταξὺ δὲ τοῦ πυρὸς καὶ τῶν δεσμωτῶν ἐπάνω ὁδόν, παρ' ἣν[f] ἰδὲ[g] τειχίον παρῳ-

Steph. II. 514.

Bek. III. i. 326.

[a] τοιῷδε q.—[b] ἰδὲ A.—[c] ἀναπεπταμένη m.—[d] καὶ εἰς DKq et corr Θ, εἰς r et pr Θ.—[e] μόνον om r.—[f] ᾗ ἣν qr.—[g] ἰδεῖν ΘDKqr.—[h] παδείγματα Φ.—[i] δεικνύασιν A

§. 1. εἶπον] Cod. Monac. No. 490. cujus lectiones diligentissime excerptas viro doctissimo mihique amicissimo J. G. Krabingero debeo, exhibet εἶπον ἐγώ. Ast.

ἰδὲ (vulgo ἴδε) γὰρ ἀνθρώπους] Laudat Porphyr. de Antro Nymphar. p. 255. Ast.

καταγ. οἰκήσει] Lucian. Nigrin. §. 4. t. i. p. 17. Alcin. c. 27. Procl. in Plat. p. 7. Hierocl. in Aur. Carm. p. 320. Plotin. Ennead. iv. 8. p. 469. B. καὶ τὸ σπήλαιον αὐτῷ (Πλάτωνι), ὥσπερ Ἐμπεδοκλεῖ τὸ ἄντρον. Cf. idem p. 471. A. Sturz. ad Empedocl. p. 455. ἄντρον ὑπόστεγον, v. 9. p. 513. v. Æneas Gazæus in Theophrast. p. 10. Et notum est antrum Mithræ apud Persas (v. Eubul. apud Porphyr. de antro nymphar. c. 6. Clemens Alexandr. Strom. v. 5. p. 662. quod pro mundi rerumque terrestrium imagine habetur (hinc c. 3. τὴν δι' ὄψεως φαινομένην ἕδραν). Cf. Creuzer. Symbol. et Mythol. t. ii. p. 208. Ceterum Porphyrius l. l. legit καταγείῳ ἄντρῳ καὶ οἰκήσει (Ald. et Bas. 1. οἰκείσει, vitiose). Ast.

ἀναπεπταμένην] *Patentem, apertam*, ut apud Xenoph. Œcon. ix. 4. ubi v. Schneid. Lucian. bis accusat. t. ii. p. 214. Schmied. Ast.

μένειν τε] In Bas. 2. deest τέ. Ast.

κοδομημένον, ὥς περ τοῖς θαυματοποιοῖς πρὸ τῶν ἀνθρώπων
III. i. 327. πρόκειται τὰ παραφράγματα[h] ὑπὲρ ὧν τὰ θαύματα δεικνύασιν.[i] Ὁρῶ,[j] ἔφη. Ὅρα τοίνυν παρὰ τοῦτο τὸ τειχίον φέροντας ἀνθρώπους[k] σκεύη τε παντοδαπὰ ὑπερέχοντα τοῦ
II. 515. τειχίου[l] καὶ ἀνδριάντας καὶ ἄλλα ζῶα[m] λίθινά τε καὶ ξύλινα καὶ παντοῖα εἰργασμένα, οἷον εἰκός, τοὺς μὲν φθεγγομένους, τοὺς δὲ σιγῶντας τῶν παραφερόντων. Ἄτοπον, ἔφη,[n] λέγεις εἰκόνα καὶ δεσμώτας ἀτόπους. Ὁμοίους[o] ἡμῖν,[p] ἦν δ' ἐγώ· τοὺς γὰρ τοιούτους πρῶτον μὲν[q] ἑαυτῶν τε καὶ ἀλλήλων οἴει ἄν τι ἑωρακέναι ἄλλο πλὴν τὰς σκιὰς τὰς ὑπὸ τοῦ πυρὸς εἰς τὸ καταντικρὺ αὐτῶν τοῦ σπηλαίου προσπιπτούσας; Πῶς γάρ, ἔφη, εἰ ἀκινήτους γε τὰς κεφαλὰς ἔχειν[r] ἠναγκασμένον εἶεν διὰ βίου; Τί[s] δὲ τῶν παραφερομένων; οὐ ταὐτὸν τοῦτο; Τί μήν; Εἰ οὖν διαλέγεσθαι οἷοί τ' εἶεν πρὸς ἀλλήλους, οὐ ταῦτα[t] ἡγεῖ[u] ἂν τὰ παρόντα αὐτοὺς νομίζειν ὀνομάζειν ἃ περ ὁρῷεν;[v] Ἀνάγκη. Τί δ'; εἰ καὶ ἠχὼ τὸ δεσμωτήριον ἐκ τοῦ καταντικρὺ[w] ἔχοι, ὁπότε τις τῶν παριόντων φθέγξαιτο, οἴει ἂν ἄλλο τι αὐτοὺς ἡγεῖσθαι[x] τὸ φθεγγόμενον ἢ τὴν παριοῦσαν[y] σκιάν; Μὰ Δί' οὐκ ἔγωγ', ἔφη. Παντάπασι δή, ἦν δ' ἐγώ, οἱ τοιοῦτοι οὐκ ἂν ἄλλο τι[z] νομίζοιεν τὸ ἀληθὲς[a]

Φ, δεικνύουσιν Ξmr: δεικνῦσιν *s.—[j] ὀρθῶς Θr.—[k] ἀνθρώπους q.—[l] τοιχίου q.—[m] ζῶια, ut solet, A.—[n] ἔφη om Θr.—[o] δμοὺς D.—[p] δμοίους ἡμῖν post ἦν δ' ἐγώ ponit Φ.—[q] μὲν om ΘDKqr.—[r] ἔχειν om v.—[s] τὸ q.—[t] ταὐτὰ Am.—[u] ἡγεῖ v.—[v] ἅπερ ὁρῷεν καὶ ὀνομάζειν v.—[w] κατάντικρυς v.—[x] ἡγῆσθαι r.—[y] παροῦσαν Φmr.

παραφράγματα] Sunt *tabulata* sive plutei, qui candelabris fabrefactis objecti erant; apud Athen. v. p. 130. A. Ast.

δεικνῦσιν] Cod. Monac. δεικνύασιν, quod recentioris est Atticismi (vid. Mœr. Attic. p. 127. 171.) Bas. 2. δεικνύουσιν, quod ab Attica dialecto abhorret. Ast.

ἄτοπον κ. τ. λ.] Laudat Porphyr. l. l. Ast.

τῶν παραφερομένων] Genitivus absolutus, rationem, respectum significans, v. supra. Ad ταυτὸν τοῦτο repete οἴει αὐτοὺς ἑωρακέναι: nempe non res ipsas, sed solam earum umbram. Ast.

νομίζειν] Est *solere*, ut Xenoph. Œcon. xvii. 9. τῷ μὲν οἴνῳ—νομίζω τῷ ἰσχυροτέρῳ πλεῖον ἐπιχεῖν ὕδωρ. §. 11. νομίζειν τοῖς ἀσθενεστέροις πᾶσι μεῖον προστάττειν πράγματα. Est enim νομίζειν non solum *moribus instituere* ac *sancire*, sed etiam *more uti*, h. e. solere; hinc νομιζόμενον dicitur, quod in more positum, h. e. solitum est. Fuerunt, qui ad v. νομίζειν, hoc sensu usurpatum, supplendum esse opinarentur δεῖν, ut, ubi pro *uti* adhibeatur, verbum χρῆσθαι (v. L. Bos Ellips. p. 662. ed. Schæf.) Pro παρόντα scripsimus παριόντα, ut in sequentibus legitur τὴν παριοῦσαν σκιὰν, ἕκαστον τῶν παριόντων. c. 2. τὰ παριόντα. Id enim quod nominare dicuntur homines in carcerem inclusi, nec res aliqua nec præsens quid (παρὸν) est, sed prætervolans rerum umbra. Ast.

παριοῦσαν] Cod. Monac. παροῦσαν, vitiose. Ast.

ἢ τὰς τῶν σκευαστῶν σκιάς. Πολλὴ ἀνάγκη,[b] ἔφη. Σκόπει δή,[c] ἦν δ' ἐγώ, αὐτῶν λύσιν τε[d] καὶ ἴασιν τῶν τε III. i. 328.
δεσμῶν καὶ τῆς ἀφροσύνης, οἵα τις ἂν εἴη, εἰ[e] φύσει τοιάδε[f] ξυμβαίνοι[g] αὐτοῖς· ὁπότε τις λυθείη καὶ ἀναγκάζοιτο ἐξαίφνης ἀνίστασθαί τε καὶ περιάγειν τὸν αὐχένα καὶ βαδίζειν καὶ πρὸς τὸ φῶς ἀναβλέπειν, πάντα δὲ ταῦτα ποιῶν ἀλγοῖ τε καὶ διὰ τὰς μαρμαρυγὰς ἀδυνατοῖ καθορᾶν ἐκεῖνα ὧν τότε τὰς σκιὰς ἑώρα, τί ἂν οἴει αὐτὸν εἰπεῖν, εἴ τις αὐτῷ λέγοι ὅτι τότε μὲν ἑώρα φλυαρίας, νῦν δὲ μᾶλλόν τι[h] ἐγγυτέρω τοῦ ὄντος καὶ[i] πρὸς μᾶλλον ὄντα τετραμμένος[k] ὀρθότερα[l] βλέπει,[m] καὶ δὴ καὶ[n] ἕκαστον τῶν παριόντων[o] δεικνὺς αὐτῷ ἀναγκάζοι[p] ἐρωτῶν ἀποκρίνεσθαι[q] ὅ τι ἔστιν; οὐκ οἴει αὐτὸν ἀπορεῖν τε ἂν καὶ ἡγεῖσθαι τὰ τότε ὁρώμενα ἀληθέστερα ἢ τὰ νῦν δεικνύμενα; Πολύ[r] γ', ἔφη. Οὐκοῦν κἂν εἰ πρὸς αὐτὸ τὸ φῶς ἀναγκάζοι αὐτὸν βλέπειν, ἀλγεῖν τε ἂν τὰ ὄμματα καὶ φεύγειν ἀποστρεφόμενον πρὸς ἐκεῖνα ἃ δύναται[s] καθορᾶν, καὶ νομίζειν ταῦτα τῷ ὄντι σαφέστερα τῶν δεικνυμένων; Οὕτως, ἔφη. [§. 2.] Εἰ δ', ἦν δ' ἐγώ, ἐντεῦθεν ἕλκοι τις αὐτὸν βίᾳ διὰ τραχείας τῆς ἀναβάσεως καὶ ἀνάντους καὶ μὴ ἀνείη[t] πρὶν ἐξελκύσειεν εἰς τὸ τοῦ ἡλίου φῶς, ἆρα[u] οὐχὶ[v] ὀδυνᾶσθαί

—[a] τι om r.—[a] τἀληθὲς v.—[b] πολλὴ ἂν ἀνάγκη m.—[c] δὲ v.—[d] τε om AΦm.—[e] εἰ om ΘDKr, ante αὐτοῖς ponit q.—[f] τοιᾷδε q.—[g] ξυμβαίνοι AΦDm, ξυμβαίνει K: ξυμβαίνει *s.—[h] τι om DKqr et pr AΘ.—[i] καὶ om r.—[k] τεθραμμένος r.—[l] ὀρθότερον ΦDKqm, ὀρθώτερον v.—[m] βλέπει q: βλέποι *s.—[n] καὶ om m.—[o] παρόντων v.—[p] ἀναγκάζει q.—[q] ἀποκρίνασθαι K.—[r] πάνυ Φ.—[s] δύνανται Φm et pr Ξ.—[t] ἀνείη

εἰ φύσει] Cod. Reg. εἴη φύσει, τοιάδε ξυμβαίνει; ut var. lect. appositum est ξυμβαίνοι, quod et in Cod. Reg. reperitur, unde recepimus. Ald. Bas. 1. 2. ξυμβαίνει.—φύσει est *revera*, ut c. 7. p. 523. A. κινδυνεύει τῶν πρὸς τὴν νόησιν ἀγόντων φύσει εἶναι, ὃ ζητοῦμεν. x. 2. Phileb. 52. A. Cf. Fabric. ad Sext. Empir. Pyrrh. hypotyp. i. 12. p. 9. et nostra ad Phædr. p. 314. Igitur εἰ φύσει, *si revera*, est, *si ponimus, talem* (liberationem) *ipsis contingere*. Ast.

ὀρθότερα] Cod. Reg. et Mon. ὀρθώτερον. Pluralis magis Atticus est. Mox pro αὐτὸν Ald. Bas. 1. et 2. αὐτὸ, vitiose. Ast.

ἀλγεῖν] Nisi recorderis, lector, præcessisse verba οὐκ οἴει, quæ cum his infinitivis sint repetenda, hærere hic possis. Steph.

δύναται] Cod. Monac. Ald. Bas. 1. et 2. δύνανται, quod, intellecto ὄμματα, locum habere possit; vid. ad i. 24. Ast.

§. 2. ἀνίῃ] Scribendum est ἀνῇ, quod est ab ἀνίημι: at vero ἀνίῃ ab ἄνειμι, longe diversam significationem, et huic loco minime aptam habet. Steph.

ἀνείη] Ald. et Cod. Monac. ἀνίη, unde, quod linguæ leges efflagitabant, optativum ἀνείη reposuimus. Bas. 1. et 2. ἀνῇ. Stephan. corrigi jubebat ἀνῇ; male, quum optativus desideretur. Ast.

τε[w] ἂν[x] καὶ ἀγανακτεῖν ἑλκόμενον, καὶ ἐπειδὴ πρὸς τὸ φῶς
II. 516. ἦλθοι, αὐγῆς ἂν[y] ἔχοντα τὰ ὄμματα μεστὰ ὁρᾶν οὐδ' ἂν
III. i. 329. ἓν[z] δύνασθαι τῶν νῦν λεγομένων ἀληθῶν; Οὐ γὰρ ἄν, ἔφη, ἐξαίφνης γε. Συνηθείας δή,[a] οἶμαι, δέοιτ' ἄν, εἰ μέλλοι τἄνω[b] ὄψεσθαι, καὶ πρῶτον μὲν τὰς σκιὰς[c] ἂν ῥᾷστα καθορᾷ,[d] καὶ[e] μετὰ τοῦτο ἐν τοῖς ὕδασι τά τε τῶν ἀνθρώπων καὶ τὰ τῶν ἄλλων εἴδωλα, ὕστερον δὲ αὐτά· ἐκ δὲ τούτων τὰ ἐν τῷ[f] οὐρανῷ καὶ αὐτὸν τὸν[g] οὐρανὸν νύκτωρ ἂν[h] ῥᾷον θεάσαιτο, προσβλέπων τὸ τῶν ἄστρων[i] τε καὶ[j] σελήνης φῶς, ἢ μεθ' ἡμέραν τὸν ἥλιον[k] τε καὶ τὸ τοῦ ἡλίου. Πῶς δ' οὔ; Τελευταῖον δή,[l] οἶμαι, τὸν ἥλιον, οὐκ ἐν ὕδασιν οὐδ' ἐν ἀλλοτρίᾳ ἕδρᾳ[m] φαντάσματα αὐτοῦ, ἀλλ' αὐτὸν καθ' αὑτὸν ἐν τῇ αὐτοῦ[n] χώρᾳ δύναιτ' ἂν[o] κατιδεῖν καὶ θεάσασθαι οἷός ἐστιν. Ἀναγκαῖον, ἔφη. Καὶ μετὰ ταῦτ' ἂν[p] ἤδη συλλογίζοιτο περὶ αὐτοῦ[q] ὅτι οὗτος ὁ[r] τάς τε ὥρας παρέχων καὶ ἐνιαυτοὺς καὶ πάντα ἐπιτροπεύων τὰ ἐν τῷ ὁρωμένῳ τόπῳ,[s] καὶ ἐκείνων ὧν σφεῖς ἑώρων τρόπον τινὰ πάντων αἴτιος. Δῆλον, ἔφη, ὅτι ἐπὶ ταῦτα ἂν μετ' ἐκεῖνα ἔλθοι. Τί οὖν; ἀναμιμνησκόμενον αὐτὸν τῆς πρώτης οἰκήσεως καὶ τῆς ἐκεῖ σοφίας καὶ τῶν τότε ξυνδεσμωτῶν οὐκ
III. i. 330. ἂν οἴει ἑαυτὸν[t] μὲν εὐδαιμονίζειν τῆς μεταβολῆς, τοὺς δ' ἐλεεῖν; Καὶ μάλα. Τιμαὶ δὲ καὶ ἔπαινοι εἴ[u] τινες αὐτοῖς ἦσαν τότε παρ' ἀλλήλων καὶ γέρα τῷ ὀξύτατα[v] κα-

pr A, ἀνίοι Φq : ἀνίῃ s.—[u] ἆρ' v.—[v] οὐκ Φ.—[w] τε om r.—[x] ἂν om Φm et pr Ξ.—[y] ἂν post αὐγῆς om v.—[z] οὐδ' ἂν ἓν ΑΘΠΦΔΚηr, οὐδ' ἂν ἐν r : οὐδὲν ἂν [a]s.—[a] δὴ ΑΘΞΠΦqvmr : δὲ s.—[b] τἄνω Θ : τὰ ἄνω *s.—[c] σκολιὰς Φm.—[d] καθορᾶι ΑΘΠDr, καθορῶν Φm, καθορᾷ Κ.—[e] καὶ add ΑΘΠΦΔΚqvmr —[f] τῷ om ΦΚ.—[g] αὐτὸν τὸν ΑΠΦΔΚqvmr : αὐτὸν ἂν τὸν s.—[h] ἂν om ΘΞr.—[i] ἀστέρων v.—[j] καὶ τῆς Κ.—[k] ἡλίου τὸ φῶς πῶς v.—[l] δὲ q.—[m] ἕδρᾳ om m : in Φ lacuna.—[n] αὐτῆ Κ.—[o] ἂν καὶ Θ.—[p] ἂν om v.—[q] αὐτὸς ΑΦm.—[r] οὗτος ὁ ΑΘΠΦΔΚqvmr : οὗτός ἐστιν ὁ *s.—[s] τύπω r.—[t] αὐτὸν r, αὐτὸν vm.—[u] οἱ Θr.—[v] ὀξυτάτω r et pr Θ, ὀξυτάτως rc Θ.

οὐδ' ἂν ἓν] E Cod. Regio et Monac. reposui pro οὐδὲν ἄν ; v. Fischero laudata ad Phædon. p. 421. et Coray. ad Isocrat. p. 10. Ast.

ξυνηθείας δή] Sic Cod. Monac. Vulgo δέ. Ficinus : *Consuetudine igitur primum opus.* Ast.

τοῦτο] Cod. Monac. ταῦτα, ut etiam Ficinus vertit, *post hæc in aquis hominum ceterorumque imagines.* Ast.

ἐν οὐρανῷ] Articulum otiosum omisimus Cod. Regii et Monac. auctoritate, et ἂν post καὶ αὐτὸν cum cod. Monac. expunximus. In sequentibus Cod. Reg. exhibet τῆς σελήνης, quod propter prægressum τῶν ἄστρων recepimus. Ast.

εὐδαιμονίζειν] Cum genitivo conjungitur, ut adjectiva εὐδαίμων, μακάριος, qui relationem, respectum significant, ita ut intelligi possit, *quod attinet ad, propter*, vel simile quid : vid. Matthiæ Gr. Gr. p. 433. Ast.

θορῶντι τὰ παριόντα,[w] καὶ μνημονεύοντι μάλιστα ὅσα τε πρότερα αὐτῶν καὶ ὕστερα εἰώθει καὶ[x] ἅμα πορεύεσθαι, καὶ ἐκ τούτων δὴ δυνατώτατα[y] ἀπομαντευομένῳ τὸ μέλλον ἥξειν, δοκεῖς[z] ἂν[a] αὐτὸν[b] ἐπιθυμητικῶς αὐτῶν[c] ἔχειν καὶ ζηλοῦν τοὺς παρ' ἐκείνοις τιμωμένους τε καὶ ἐνδυναστεύοντας, ἢ τὸ[d] τοῦ Ὁμήρου ἂν πεπονθέναι καὶ σφόδρα βούλεσθαι[e] ἐπάρουρον[f] ἐόντα θητευέμεν ἄλλῳ ἀνδρὶ παρ' ἀκλήρῳ[g] καὶ ὁτιοῦν ἂν πεπονθέναι μᾶλλον ἢ ἐκεῖνά[h] τε δοξάζειν καὶ ἐκείνως ζῆν; Οὕτως, ἔφη, ἔγωγε οἶμαι πᾶν μᾶλλον πεπονθέναι ἂν δέξασθαι[i] ἢ ζῆν ἐκείνως. Καὶ τόδε[k] δὴ ἐννόησον, ἦν δ' ἐγώ. εἰ πάλιν ὁ τοιοῦτος[l] καταβὰς εἰς τὸν αὐτὸν θάκον[m] καθίζοιτο,[n] ἆρ' οὐ σκότους ἀνάπλεως σχοίη τοὺς ὀφθαλμοὺς ἐξαίφνης ἥκων ἐκ τοῦ ἡλίου; Καὶ[o] μάλα γ',[p] ἔφη. Τὰς δὲ δὴ σκιὰς ἐκείνας πάλιν εἰ δέοι αὐτὸν γνωματεύοντα[q] διαμιλλᾶσθαι τοῖς ἀεὶ δεσμώταις ἐκείνοις, ἐν ᾧ ἀμβλυώττοι[r] πρὶν καταστῆναι τὰ ὄμματα,[s] οὗτος δ' ἂν II. 517.
ὁ χρόνος μὴ πάνυ ὀλίγος εἴη τῆς συνηθείας, ἆρ' οὐ γέλωτ' ἂν παράσχοι καὶ λέγοιτο[t] ἂν περὶ αὐτοῦ ὡς ἀναβὰς ἄνω III. i. 331.
διεφθαρμένος ἥκει[u] τὰ ὄμματά, καὶ ὅτι οὐκ ἄξιον οὐδὲ πειρᾶσθαι ἄνω ἰέναι; καὶ τὸν ἐπιχειροῦντα λύειν τε καὶ ἀνάγειν, εἴ πως[v] ἐν ταῖς χερσὶ δύναιντο[w] λαβεῖν καὶ ἀποκτεί-

—[w] παρόντα Kqr.—[x] καὶ ante ἅμα om Φνm.—[y] ἀδυνατώτατα ν.—[z] δοκοῖς Θ.—[a] ἂν om Θr.—[b] αὐτῶν Ξ.—[c] αὐτὸν Ξ.—[d] ἢ τὸ om m.—[e] βουλεύεσθαι ΘΠr.—[f] ἐπ' ἄρουραν Φm.—[g] παρακλήρῳ r.—[h] ἐκεῖνά ΘΞΦηνmr: κεῖνά *s.—[i] ἂν μᾶλλον δέξασθαι m.—[k] τότε Φmr.—[l] ὅτι οὗτος ΑΦm et pr Ξ.—[m] θάκον ΑΘΠ, θᾶκον DK, τᾶκον υ: θῶκον *s.—[n] καθέζοιτο q.—[o] Καὶ om ν.—[p] γ' om Θr.—[q] γνωμονεύοντα Timæus lex.—[r] ἀμβλυώττοι q: ἀμβλυώττει *s.—[s] τὸ ὄμμα Φm.—[t] λέγοιτ' r.—[u] ἥκει ΑΘΞΠΦΚmr, ἥκρει υ: ἥκοι *s.—[v] ὅπως r.—[w] δύναιτο m.—[x] ἀποκτείνειν

τὰ παριόντα] Cod. Reg. παρόντα, male. Ast.

καὶ ἅμα] καὶ abest a Cod. Monac. sed abesse nequit. Ficinus vertit: *quæ pariter progredi soleant.* Ast.

θητεύομεν] Nobilis locus Homeri Odyss. x. 428. Vid. Polit. iii. 1. Ast.

ἐκεῖνα] Pro poetico illo, quod vulgo legitur, κεῖνα e cod. Monac. reposui, præcipue propter sequens ἐκείνως. Ast.

θάκον] E cod. Reg. rescripsimus pro θῶκον, quod vulgo legitur; illud enim Atticum est, θῶκος vero poeticum (v. Thom. Mag. ibique Triller.) Sic et in Politic. 288. A. θάκος legimus, apud Xen. Sympos. iv. 31. Hier. vii. 7. Ast.

σχοίη] Est forma optativi in verbis barytonis usitata, ut Phædon. p. 72. B. Xenoph. Cyrop. vii. 1. 36. Cf. Matthiæ Gr. Gr. p. 243. Ast.

καταστῆναι] καθιστάναι est sæpenumero *in ordinem redigere*, i. e. restituere, et aor. ii. ut constat, vim medii vel passivi habet, ut Xenoph. Cyrop. ii. 1. 27. εἰ ταραχθείεν, θᾶττον καταστῆναι. Ast.

ἐν ταῖς χερσὶ] Solemnis hic est præpositionis ἐν usus, quo redundat fere, v. Hemsterh. ad Lucian. t. ii. p. 523. Brunck. ad Soph. Œd. R. 1112. et Tyrwhitt. ad Aristot. Poet. p. 120. Ast.

νειν,[x] ἀποκτιννύναι[y] ἄν;[z] Σφόδρα[a] γ',[b] ἔφη. [§. 3.] Ταύτην τοίνυν, ἦν δ' ἐγώ, τὴν εἰκόνα, ὦ φίλε Γλαύκων, προσαπτέον ἅπασαν[c] τοῖς ἔμπροσθεν λεγομένοις, τὴν μὲν δι' ὄψεως φαινομένην ἕδραν τῇ τοῦ δεσμωτηρίου οἰκήσει ἀφομοιοῦντα, τὸ δὲ τοῦ πυρὸς ἐν αὐτῇ φῶς τῇ τοῦ ἡλίου δυνάμει· τὴν δὲ ἄνω ἀνάβασιν καὶ θέαν τῶν ἄνω τὴν εἰς τὸν νοητὸν τόπον τῆς ψυχῆς[d] ἄνοδον τιθεὶς οὐχ ἁμαρτήσει[e] τῆς γ' ἐμῆς ἐλπίδος, ἐπειδὴ[f] ταύτης ἐπιθυμεῖς ἀκούειν· θεὸς δέ που οἶδεν εἰ ἀληθὴς οὖσα τυγχάνει.[g] τὰ δ' οὖν ἐμοὶ φαινόμενα οὕτω φαίνεται, ἐν τῷ γνωστῷ τελευταία ἡ τοῦ ἀγαθοῦ ἰδέα καὶ μόγις ὁρᾶσθαι, ὀφθεῖσα δὲ συλλογιστέα εἶναι ὡς ἄρα πᾶσι πάντων αὕτη[h] ὀρθῶν τε καὶ καλῶν αἰτία, ἔν τε ὁρατῷ φῶς καὶ τὸν τούτου κύριον τεκοῦσα ἔν τε νοητῷ[i] αὐτὴ[k] κυρία ἀλήθειαν καὶ νοῦν παρασχομένη, καὶ ὅτι δεῖ ταύτην ἰδεῖν τὸν μέλλοντα ἐμφρόνως πράξειν ἢ ἰδίᾳ ἢ δημοσίᾳ.

III. i. 332. Ξυνοίομαι,[l] ἔφη, καὶ ἐγώ, ὅν[m] γε δὴ τρόπον δύναμαι. Ἴθι τοίνυν, ἦν[n] δ' ἐγώ, καὶ τόδε[o] ξυνοίηθητι καὶ μὴ θαυμάσῃς, ὅτι οἱ[p] ἐνταῦθα ἐλθόντες οὐκ ἐθέλουσι τὰ τῶν ἀνθρώπων πράττειν, ἀλλ' ἄνω ἀεὶ ἐπείγονται αὐτῶν αἱ ψυχαὶ διατρίβειν· εἰκὸς γάρ που οὕτως, εἴ περ αὖ[q] κατὰ τὴν προειρημένην εἰκόνα τοῦτ'[r] ἔχει. Εἰκὸς μέντοι, ἔφη. Τί δέ; τόδε οἴει τι θαυμαστόν, εἰ ἀπὸ θείων, ἦν δ' ἐγώ, θεωριῶν

ΑΘΠDKqvr, ἀποκτενεῖν Φm, ἀποκτιννύειν Ξ : ἀποκτιννύναι *s.—[y] ἀποκτεινῦναι v. —[z] αὖ Φm.—[a] : σφόδρα ΞΦD.—[b] γ' om Kq.—[c] ἅπασι v.—[d] τῆς ψυχῆς om m et pr Ξ.—[e] ἁμαρτήσει ΑΠDvm, ἁμαρτήσῃ Φq, ἁμαρτήσει K : ἁμαρτήσεις *s.—[f] ἐπεὶ K.—[g] τυγχάνοι Φ.—[h] αὐτὴ Dqvr.—[i] τε νοητῷ ΑΘΠΦDKqvmr : τε τῷ νοητῷ s.—[k] αὐτὴ ΘDKqv, αὐτῇ Π : αὖτη *s.—[l] συνοίομαι s.—[m] ἔπομαι ὅσον κατ' ἐμόν q.—[n] Ἴθι τοίνυν ἦν ΑΠΦDKqm, Ἴθι ἦν Θr : Ἴθι δὴ τοίνυν ἦν *s.—[o] καὶ τόδε ἦν δ' ἐγὼ v. —[p] εἰ Θ, om vm.—[q] αὖ om r.—[r] τοῦτ' ΑΦvm.—[s] τἀνθρ. v.—[t] γελοίως Ξm.—

ἀποκτιννύναι] Cod. Reg. καὶ ἀποκτείνειν; ἀποκτιννῦναι. Similiter Cod. Monac. ἀποκτενεῖν, ἀποκτινύναι. Libri editi hunc locum sic exhibent: λαβεῖν, καὶ ἀποκτιννύναι. Ἀποκτιννύναι ἂν σφόδρα γ', ἔφη, quod sensum non habet. Offendit καὶ et infinitivus nihil habet, quo referatur. Scribendum esse censemus: ἀποκτιννύναι, ἀποκτείνειαν (vel ἀποκτείναιεν) ἄν. Σφόδρα γ', ἔφη. Ἀποκτείνειαν ἂν cohæret cum ἆρ' οὐ γέλωτ' ἂν παράσχοι καὶ λέγοιτο ἂν περὶ αὐτοῦ καὶ τὸν ἐπιχειροῦντα—εἴπως—δύναιντο λαβεῖν καὶ ἀποκτιννύναι, ἀποκτείνειαν ἄν; Ex hoc ἀποκτείνειαν enatum est ἀποκτείνειν illud in Cod. Reg. Ast.

§. 3. ταύτην κ. τ. λ.] Hæc usque ad δυνάμει laudat Porphyr. de antr. Nymphar. p. 255. ed. Cantab. ubi ὄχεως et ἀφομοιοῦντας scriptum est. Ast.

ἀφομοιοῦντα] Accusativus participii post verbale προσαπτέον more positus, vid. supra. Ast.

μόγις ὁρᾶσθαι] Int. φαίνεταί μοι. Ast.

ἔν τε τῷ νοητῷ] Cf. Procl. in Tim. lib. ii. p. 70. Ast.

ἐπὶ τὰ ἀνθρώπειά[s] τις ἐλθὼν κακὰ ἀσχημονεῖ τε καὶ φαίνεται σφόδρα γελοῖος[t] ἔτι ἀμβλυώττων[u] καὶ πρὶν ἱκανῶς συνήθης γενέσθαι τῷ παρόντι σκότῳ ἀναγκαζόμενος ἐν δικαστηρίοις ἢ ἄλλοθί που ἀγωνίζεσθαι περὶ τῶν τοῦ δικαίου σκιῶν ἢ ἀγαλμάτων ὧν αἱ σκιαί, καὶ διαμιλλᾶσθαι περὶ τούτου ὅπῃ ποτὲ ὑπολαμβάνεται ταῦτα ὑπὸ τῶν[v] αὐτὴν[w] δικαιοσύνην μὴ πώποτε[x] ἰδόντων;[y] Οὐδ'[z] ὁπωστιοῦν θαυμαστόν, ἔφη.[a] Ἀλλ' εἰ νοῦν γε[b] ἔχοι[c] τις, ἦν δ' ἐγώ,[d] II. 518.
μεμνῆτ'[e] ἂν ὅτι διτταὶ καὶ ἀπὸ[f] διττῶν γίγνονται[g] ἐπιταράξεις ὄμμασιν, ἔκ τε[h] φωτὸς εἰς σκότος μεθισταμένων[i] καὶ ἐκ σκότους[k] εἰς φῶς. ταὐτὰ δὲ ταῦτα[l] νομίσας[m] γίγνεσθαι καὶ περὶ ψυχήν, ὁπότε ἴδοι θορυβουμένην τινὰ καὶ ἀδυνατοῦσάν τι καθορᾶν, οὐκ ἂν ἀλογίστως γελῴη,[n] ἀλλ' ἐπισκοποῖ[o] ἂν πότερον ἐκ φανοτέρου[p] βίου ἥκουσα ὑπὸ ἀηθείας[q] ἐσκότωται ἢ ἐξ ἀμαθίας πλείονος εἰς φανότερον[r] ἰοῦσα[s] ὑπὸ λαμπροτέρου μαρμαρυγῆς ἐμπέπλησται, καὶ οὕτω III. i. 333.
δὴ τὴν μὲν εὐδαιμονίσειεν[t] ἂν[u] τοῦ πάθους τε[v] καὶ βίου, τὴν δὲ[w] ἐλεήσειεν, καὶ εἰ γελᾶν ἐπ' αὐτῇ βούλοιτο, ἧττον ἂν καταγέλαστος ὁ γέλως αὐτῷ εἴη ἢ ὁ ἐπὶ τῇ ἄνωθεν ἐκ φωτὸς ἥκούσῃ. Καὶ μάλα,[x] ἔφη, μετρίως λέγεις. [§. 4.] Δεῖ δή, εἶπον, ἡμᾶς τοιόνδε νομίσαι περὶ αὐτῶν, εἰ ταῦτα[y] ἀληθῆ, τὴν παιδείαν, οὐχ οἵαν τινὲς ἐπαγγελλόμενοί φασιν

[u] ἐναμβλ. v.—[v] τὴν q.—[w] αὐτὴν ἐκείνην r.—[x] μήποτε r, μηπώποτ' v.—[y] εἰδότων v.—[z] μηδ' DKq.—[a] ἔφη θαυμαστόν v, οὐ θαυμαστὸν ἔφη q.—[b] γε om ΘKr.—[c] ἔφη οἷ χ D, ἔχει Kvq.—[d] ἐγὼ οὐ r.—[e] μέμνητ' Θ, μέμνητ' ΠDKmr, μεμνοῖτ' Ξ et corr Φ, μέμνημαι (omisso ἂν) v.—[f] ὑπὸ v.—[g] γίγνονται ΑΞΠΦDKqvm: γίγνοιντ' ἂν *s.—[h] γε s.—[i] μεθισταμένω Ξ.—[k] σκότου s.—[l] ταυτὰ δὲ ταῦτα ΑΞΦKqvr, ταῦτα δὲ ταῦτα ΘΠm: ταῦτα δὲ ταυτὰ s.—[m] νομίσας γίγνεσθαι ΑΘΠΦvm et pr Ξ: νομίσας τις γίγνεσθαι *s.—[n] γελῶι ΑΦm et pr Π.—[o] ἐπισκοποίη ΘΞr.—[p] φανοτέρου ΑΘD Krr et pr Π, φανερωτέρου ΞΦm.—[q] ἀηθείας ΑΞΦvm et corr Π, ἀληθείας Θr et pr Π, ἀμαθίας corr D cum *s.—[r] φανότερον ΑΘΠΦDKmr, φανερώτερον Ξv.—[s] ἰοῦσαν m.—[t] εὐδαιμονήσειεν Ξm.—[u] ἂν om Θr.—[v] τε om ΞK.—[w] δ' v.—[x] μάλ' v.—

αὐτὴν τὴν δικαιοσύνην] Articulum τὴν interposui, linguae legibus jubentibus. Ast.

διτταὶ] Ald. Bas. 1. et 2. διττὰ et Ald. Bas. 1. ἔκ γε. Participium μεθισταμένων, etsi ὄμμασιν præcesserit, absolute positum est, ut ix. p. 586. E. ὡς οἷόν τε αὐτοῖς—ἅτε ἀληθείᾳ ἑπομένων. Vid. Viger. idiotism. p. 346. ed. Herm. Matthiæ Gr. Gr. p. 818. Ast.

νομίσας] Vulgo τις additum reperitur, quod Cod. Monac. recte omittit. Ast.

ἀηθείας] Sic Cod. Monac. et Bas. 2. pro ἀμαθίας, quod locum hic habere nequit. Sic cap. 2. οὗτος δ' ὁ χρόνος μὴ πάνυ ὀλίγος εἴη τῆς ξυνηθείας, et in cap. nostro: πρὶν ἱκανῶς ξυνήθης γενέσθαι τῷ παρόντι σκότῳ. Ast.

εἶναι, τοιαύτην καὶ εἶναι· φασὶ δέ που οὐκ ἐνοῦσης ἐν τῇ ψυχῇ ἐπιστήμης σφεῖς ἐντιθέναι,[z] οἷον τυφλοῖς ὀφθαλμοῖς ὄψιν ἐντιθέντες. Φασὶ γὰρ οὖν, ἔφη. Ὁ δέ γε νῦν λόγος, ἦν δ' ἐγώ, σημαίνει ταύτην τὴν ἐνοῦσαν ἑκάστου δύναμιν ἐν τῇ ψυχῇ καὶ τὸ ὄργανον ᾧ[a] καταμανθάνει ἕκαστος, οἷον εἰ ὄμμα μὴ[b] δυνατὸν ἦν[c] ἄλλως ἢ ξὺν ὅλῳ[d] τῷ σώματι στρέφειν πρὸς τὸ φανὸν ἐκ τοῦ σκοτώδους, οὕτω ξὺν ὅλῃ τῇ ψυχῇ ἐκ τοῦ γιγνομένου περιακτέον εἶναι, ἕως ἂν εἰς τὸ ὂν καὶ τοῦ ὄντος τὸ φανότατον[e] δυνατὴ γένηται ἀνασχέσθαι θεωμένη· τοῦτο δ'[f] εἶναί φαμεν τἀγαθόν. ἦ γάρ; Ναί. Τούτου[g] τοίνυν, ἦν δ' ἐγώ, αὐτοῦ[h] τέχνη ἂν εἴη, τῆς περιαγωγῆς, τίνα τρόπον ὡς ῥᾷστά τε καὶ ἀνυσιμώτατα μεταστραφήσεται, οὐ τοῦ[i] ἐμποιῆσαι αὐτῷ[k] τὸ ὁρᾶν, ἀλλ' ὡς
III. i. 334. ἔχοντι μὲν αὐτό,[l] οὐκ ὀρθῶς δὲ τετραμμένῳ οὐδὲ βλέποντι οἷ ἔδει τοῦτο διαμηχανήσασθαι.[m] Ἔοικε γάρ, ἔφη. Αἱ μὲν τοίνυν ἄλλαι ἀρεταὶ καλούμεναι ψυχῆς κινδυνεύουσιν ἐγγύς τι εἶναι τῶν τοῦ σώματος· τῷ ὄντι γὰρ οὐκ ἐνοῦσαι πρότερον ὕστερον[n] ἐμποιεῖσθαι[o] ἔθεσί τε[p] καὶ ἀσκήσεσιν· ἡ δὲ τοῦ φρονῆσαι παντὸς μᾶλλον[q] θειοτέρου τινὸς τυγχάνει, ὡς ἔοικεν, οὖσα, ὃ τὴν μὲν δύναμιν οὐδέποτε ἀπόλλυσιν, ὑπὸ δὲ τῆς περιαγωγῆς χρήσιμόν τε[r] καὶ ὠφέλιμον καὶ
II. 519. ἄχρηστον αὖ καὶ βλαβερὸν γίγνεται. ἢ οὔπω ἐννενόηκας,[s]

[y] ταῦτ' m.—[z] ἐντιθέντας q.—[a] ὃ Φm.—[b] οἷονεὶ ὄμμα εἶναι μὴ r.—[c] ἦν om r.—[d] ἄλλῳ ἢ ξυνόλῳ v.—[e] φανώτατον s.—[f] δ' om Φm.—[g] τούτου ΘΞΠΦDKrm: τοῦτο s.—[h] αὐτοῦ om m.—[i] αὐτοῦ m.—[k] αὐτὸ ΞΦm.—[l] αὐτὸν D, αὐτῷ m.—[m] δεῖ μηχανήσασθαι corr A, δὴ μηχανήσασθαι Φm.—[n] ὕστερον om q.—[o] ἐμπεσεῖσθαι Φ.—[p] τε om Kqv.—[q] μᾶλλον ante παντὸς ponit Θ, om r.—[r] τε om ΑΠD.—[s] ἐνενόησας r.—

§. 4. ἐπαγγελλόμενοι] Ald. Bas. 1. ἀπαγγελλόμενοι. Ast.

τούτου] Sic Cod. Reg. vulgo τοῦτο. Construe: (ἡ παιδεία) εἴη ἂν τέχνη τῆς περιαγωγῆς, (i. q. τοῦ περιάγειν, quod præcedit) τούτου αὐτοῦ (τοῦ ὀργάνου τῆς ψυχῆς, ᾧ καταμανθάνει ἕκαστος) — οὐ τέχνη τοῦ ἐμποιῆσαι αὐτῷ τὸ ὁρᾶν—ἀλλὰ (τοῦ) μηχανήσασθαι τοῦτο (ὥστε βλέπειν, οἷ ἔδει). Ald. exhibet: Τίνα τρόπον, ὡς cet. Bas. 1. et 2. Τίνα τρόπον; Ὡς cet. Ficinus vero vertit: *ad hoc igitur ipsum eruditio competens erit facultas quædam animi dirigendi, ut ipsius oculus convertatur.* Pro τοῦτο διαμηχανήσασθαι e Cod. Monac. reposui τοῦτο δὴ μηχανήσασθαι. Ast.

τίνα τρόπον] In Ald. editione hæc verba, τίνα τρόπον ὡς ῥᾷστά τε etc. alii personæ tribuuntur: in Basiliensi autem, hæc quidem verba, τίνα τρόπον, uni, illa autem, Ὡς ῥᾷστά τε etc. alteri assignantur: aucto certe errore (cujus occasionem editio illa præbuit) quum ab una eademque persona hæc omnia dicantur, τοῦτο τοίνυν, ἦν δ' ἐγὼ, αὐτοῦ τέχνη ἂν εἴη τῆς περιαγωγῆς, τίνα τρόπον ὡς ῥᾷστά τε etc. Steph.

θειοτέρου τινὸς] Int. ἀρετῆ. Ast.

τῶν λεγομένων πονηρῶν μὲν σοφῶν δὲ ὡς δριμὺ μὲν[t] βλέπει τὸ ψυχάριον καὶ ὀξέως διορᾷ ταῦτα[u] ἐφ' ἃ τέτραπται, ὡς[v] οὐ φαύλην ἔχον τὴν ὄψιν, κακίᾳ δ' ἠναγκασμένον ὑπηρετεῖν, ὥστε[w] ὅσῳ ἂν ὀξύτερον βλέπῃ, τοσούτῳ πλείω κακὰ[x] ἐργαζόμενον;[y] Πάνυ[z] μὲν οὖν, ἔφη. Τοῦτο μέντοι, ἦν δ' ἐγώ, τὸ τῆς τοιαύτης φύσεως εἰ ἐκ παιδὸς εὐθὺς κοπτόμενον περιεκόπη τὰ[a] τῆς γενέσεως ξυγγενῆ,[b] ὥς περ μολυβδίδας,[c] αἱ δὴ ἐδωδαῖς τε καὶ τοιούτων[d] ἡδοναῖς τε[e] καὶ λιχνείαις προσφυεῖς γιγνόμεναι περὶ τὰ[f] κάτω στρέφουσι τὴν τῆς ψυχῆς ὄψιν· ὧν εἰ[g] ἀπαλλαγὲν περιεστρέφετο[h] εἰς τἀληθῆ καὶ ἐκεῖνα[i] ἂν τὸ αὐτὸ τοῦτο τῶν αὐτῶν ἀνθρώπων ὀξύ- III. i. 335.
τατα ἑώρα, ὥς περ καὶ[k] ἐφ' ἃ νῦν τέτραπται. Εἰκός γ', ἔφη. Τί δέ;[l] τόδε οὐκ εἰκός, ἦν δ' ἐγώ, καὶ ἀνάγκη ἐκ τῶν προειρημένων, μήτε τοὺς ἀπαιδεύτους καὶ ἀληθείας ἀπείρους ἱκανῶς ἄν ποτε πόλιν ἐπιτροπεῦσαι[m] μήτε τοὺς ἐν παιδείᾳ ἐωμένους διατρίβειν διὰ τέλους, τοὺς μὲν ὅτι σκοπὸν ἐν τῷ βίῳ οὐκ ἔχουσιν ἕνα, οὗ στοχαζομένους δεῖ ἅπαντα πράττειν ἃ ἂν πράττωσιν ἰδίᾳ τε καὶ δημοσίᾳ, τοὺς δὲ ὅτι ἑκόντες εἶναι οὐ πράξουσιν ἡγούμενοι ἐν μακάρων νήσοις ζῶντες[n] ἔτι ἀπῳκίσθαι;[o] Ἀληθῆ, ἔφη.[p] Ἡμέτερον[q] δὴ ἔργον, ἦν δ' ἐγώ, τῶν οἰκιστῶν τάς τε βελτίστας φύσεις ἀναγκάσαι ἀφικέσθαι[r] πρὸς τὸ μάθημα ὃ ἐν τῷ πρόσθεν[s] ἔφαμεν εἶναι μέγιστον, ἰδεῖν τε τὸ[t] ἀγαθὸν καὶ

[t] μὲν om K.—[u] ταῦτα ΑΘΞΦDKqvmπ: πάντα s.—[v] ἅτε q.—[w] ὥστε om v.—[x] κακὰ ἄλλως v.—[y] ἐργάσεται Ξv.—[z] πᾶν r.—[a] τὰς DKq et corr Π.—[b] ξυγγενεῖς ΠΦDKqm, ξυγγενῆς v.—[c] μολιβδίδας Θq.—[d] καὶ τοιούτων ΑΘΠΦDKqmπ: καὶ τῶν τοιούτων *s.—[e] τε om Θ.—[f] τὸ Θvr et corr Ξ, om ΑΠΦm et pr Ξ.—[g] εἰ om r.—[h] περιεστρέφοιτο (ut videtur) D, περιστρέφοιτο q.—[i] καὶ ἡ ἐκεῖνα v.—[k] καὶ om v.—[l] δαί A.—[m] ἐπιτροπεύειν v.—[n] ζῶντές τε Ξ.—[o] ἀποκεῖσθαι v.—[p] λέγεις r.—[q] ἡμέτερον K.—[r] ἐφικέσθαι DKq.—[s] πρόσθεν ΑΘΠΦDKvr: ἔμπροσθεν *s.—[t] τὸ

μολυβδίδας] Imitatus hoc est Clemens Alexandr. Strom. iv. 4. p. 480. Sylb. t. i. p. 570. Pott. Ast.

ὧν εἰ—περιεστρέφετο] Repetita est protasis: εἰ τοῦτο τὸ τῆς τ. φύσεως περιέκοπη τὰ τῆς γενέσεως ξυγγενῆ. Ast.

ἐκεῖνα] Sunt ἀληθῆ, opposita τοῖς, ἐφ' ἃ νῦν τέτραπται. Ast.

τὸ αὐτὸ τοῦτο] Scil. τὸ ὀξὺ τῆς ψυχῆς, eorundem hominum, qui nunc pravi facti sunt, qui vero, si recte instituti essent, vera et justa æque dispicerent, ac mala et injusta nunc perspiciunt. Ast.

ἐν μακάρων νήσοις] Vid. de beatorum insulis Gataker. ad M. Antonin. x. §. 8. p. 295. et Heynii Opuscul. Academ. t. i. p. 395. Ast.

ἡμέτερον δὴ ἔργον] Laudat Clem. Alex. Strom. v. p. 911. D. tom. ii. p. 729. ed. Potter. Ast.

ἀναβῆναι ἐκείνην τὴν ἀνάβασιν, καὶ ἐπειδὰν ἀναβάντες ἱκανῶς ἴδωσι, μὴ ἐπιτρέπειν αὐτοῖς ὃ νῦν ἐπιτρέπεται. Τὸ ποῖον δή; Τὸ αὐτοῦ, ἦν δ' ἐγώ, καταμένειν καὶ μὴ ἐθέλειν πάλιν καταβαίνειν παρ' ἐκείνους τοὺς δεσμώτας μηδὲ μετέχειν τῶν παρ' ἐκείνοις πόνων τε καὶ τιμῶν, εἴτε φαυλότεραι εἴτε σπουδαιότεραι. Ἔπειτ', ἔφη, ἀδικήσομεν[u] αὐτούς,
III. i. 336. καὶ ποιήσομεν[v] χεῖρον ζῆν δυνατὸν[w] αὐτοῖς ὄν[x] ἄμεινον; [§. 5.] Ἐπελάθου, ἦν δ' ἐγώ, πάλιν, ὦ φίλε, ὅτι νομοθέτῃ[y] οὐ τούτου[z] μέλει ὅπως ἔν τι γένος ἐν πόλει διαφερόντως[a] εὖ πράξει,[b] ἀλλ' ἐν ὅλῃ τῇ πόλει τοῦτο μηχανᾶται ἐγγενέσθαι ξυναρμόττων[c] τοὺς πολίτας πειθοῖ τε καὶ ἀνάγκῃ, ποιῶν μεταδιδόναι ἀλλήλοις τῆς ὠφελείας ἣν ἂν ἕκαστοι
II. 520. τὸ κοινὸν δυνατοὶ ὦσιν ὠφελεῖν, καὶ[d] αὐτὸς ἐμποιῶν[e] τοιούτους ἄνδρας ἐν τῇ πόλει οὐχ ἵνα ἀφιῇ τρέπεσθαι ὅπῃ[f] ἕκαστος βούλεται,[g] ἀλλ' ἵνα καταχρῆται αὐτὸς αὐτοῖς ἐπὶ τὸν ξύνδεσμον τῆς πόλεως. Ἀληθῆ, ἔφη· ἐπελαθόμην γάρ. Σκέψαι τοίνυν, εἶπον, ὦ Γλαύκων, ὅτι οὐδ' ἀδικήσομεν τοὺς παρ' ἡμῖν φιλοσόφους,[h] ἀλλὰ δίκαια πρὸς αὐτοὺς ἐροῦμεν προσαναγκάζοντες τῶν ἄλλων ἐπιμελεῖσθαί τε καὶ φυλάττειν. ἐροῦμεν γὰρ[i] ὅτι οἱ μὲν ἐν ταῖς ἄλλαις πόλεσι τοιοῦτοι γιγνόμενοι εἰκότως οὐ μετέχουσι τῶν ἐν αὐταῖς πόνων·

---

om m.—[u] ἀδικήσωμεν v.—[v] ποιήσωμεν v.—[w] δυνατὸν...μέλει] δυνατὸν pr Π, δυνατὸν τούτου μέλει ΘDK, ἀλλ' οὐ τούτου ἦν δ' ἐγὼ r et corr D, σὺ ἦν δ' ἐγὼ ἔοικας ἐπιλελῆσθαι ὃ πολλάκις ἐν τοῖς ἔμπροσθεν ἔφαμεν, ὅτι ἀνδρὶ νομοθέτῃ οὐ δυνατὸν τοῦτο μέλειν q.—[x] ὂν add Av et rc Π et (post ἄμεινον positum) Φm.—[y] νόμοι ΑΞ ΠΦνm.—[z] τοῦτο ΑΘΠΦDνm.—[a] διαφερόντως ἐν πόλει Φ.—[b] πράξῃ K.—[c] ξυναρμόττων ΘΠDKr.—[d] καὶ om v.—[e] ἐκποιῶν Ξ.—[f] ὅποι Θ.—[g] βούληται s.—[h] scribe φιλοσόφους γιγνομένους cum ΑΘΞΠΦKqνmr et corr D: γιγνομένους φιλοσόφους *s.

δύνατον] Cod. Monac. legit δύνατος αὐτοῖς ἄμεινον ὄν. Herman. ad Viger. p. 741. (quem male sequitur Erfurdt. ad Soph. Antig. 44.) ὂν inseri volebat; sed ὂν sæpissime omittitur (v. nostra ad Phædr. p. 373. et Polit. i. 4.); quocirca ὂν in Cod. Monac. pro glossemate habeo. Ast.

§. 5. πράξει] Ald. Bas. 1. et 2. πράξῃ, male; bene correxit Steph. πράξει, quod Cod. Reg. et Mon. confirmant. Ast.

ἦν—ὠφελεῖν] ὠφελεῖν duplicem habet accusativum, alterum subjecti: τὸ κοινὸν, alterum objecti: ἦν ὠφέλειαν, ut apud Xenoph. Cyrop. ii. 2. 20. τὸν πλεῖστα καὶ πονοῦντα καὶ ὠφελοῦντα τὸ κοινόν. Vid. Lexic. Xenoph. vol. iv. p. 626. Ast.

βούλεται] Sic Cod. Monac. pro βούληται, quod ἂν efflagitaret, quod quidem, etsi statuant plures, etiam in prosa omitti (vid. quæ collegit Matthiæ Gr. Gr. p. 752. n. 2.) apud scriptores certe primæ notæ abesse non posse existimo, vid. nostra ad Sympos. p. 259. Ast.

ἐροῦμεν δὲ] Cod. Mon. et Bas. 2. γὰρ pro δὲ habent. Ast.

αὐτόματοι γὰρ ἐμφύονται ἀκούσης τῆς ἐν ἑκάστῃ πολιτείας, δίκην δ' ἔχει τό γε[k] αὐτοφυὲς μηδενὶ τροφὴν ὀφεῖλον[l] μηδ' ἐκτίνειν τῷ προθυμεῖσθαι τὰ[m] τροφεῖα· ὑμᾶς δ' ἡμεῖς ὑμῖν[n] τε αὐτοῖς τῇ τε ἄλλῃ πόλει ὥς περ ἐν σμήνεσιν ἡγεμόνας τε καὶ βασιλέας ἐγεννήσαμεν, ἄμεινόν τε καὶ τελεώτερον ἐκείνων πεπαιδευμένους καὶ μᾶλλον δυνατοὺς ἀμφο- III. i. 337.
τέρων μετέχειν. καταβατέον οὖν ἐν μέρει ἑκάστῳ[o] εἰς τὴν τῶν ἄλλων ξυνοίκησιν[p] καὶ ξυνεθιστέον[q] τὰ σκοτεινὰ θεάσασθαι· ξυνεθιζόμενοι γὰρ μυρίῳ[r] βέλτιον ὄψεσθε[s] τῶν ἐκεῖ καὶ γνώσεσθε[t] ἕκαστα τὰ εἴδωλα ἅττα ἐστὶ καὶ ὧν, διὰ τὸ τἀληθῆ ἑωρακέναι καλῶν τε καὶ δικαίων καὶ ἀγαθῶν πέρι. καὶ οὕτως ὕπαρ[u] ἡμῖν καὶ ὑμῖν ἡ πόλις οἰκήσεται, ἀλλ' οὐκ ὄναρ, ὡς νῦν αἱ πολλαὶ ὑπὸ σκιαμαχούντων τε πρὸς ἀλλήλους καὶ στασιαζόντων περὶ τοῦ[v] ἄρχειν οἰκοῦνται, ὡς μεγάλου τινὸς ἀγαθοῦ ὄντος. τὸ δέ που ἀληθὲς ὧδ' ἔχει· ἐν πόλει ᾗ[w] ἥκιστα πρόθυμοι ἄρχειν οἱ μέλ-

—[i] δὲ Υr.—[k] τε r.—[l] ὀφείλειν Φm.—[m] τὰ om Θ.—[n] ἡμῖν Ξ.—[o] ἑκάστῳ ΑΘΠΦDK qmr: ἕκαστον s.—[p] οἴκησιν v.—[q] ξυνεθ. Ξv.—[r] μυρίων v. βελτίονι Θr: quod addebatur τε, omisi cum ΑΘΠΦDqmr.—[s] ὄψεσθαι m, ἄψεσθαι v.—[t] γνώσεσθαι v.—[u] παρ' v.—[v] τὸ DKq.—[w] ᾗ om r.—[x] ἴσχουσαν v.—[y] ἡμῖν om Θ.—[z] ἐν om v.—

τῷ προθυμεῖσθαι] Qui aliis in locis statim deprehensus a me fuit error, cur hic non deprehensus sit in causa fuit verbum προθυμεῖσθαι; fingebam enim mihi nescio quem hujus loci sensum jungendo τῷ cum προθυμεῖσθαι: sed tandem animadverti τῷ, ut aliis plerisque locis, ita et hic scriptum fuisse pro τῳ absque accentu, utpote significans itidem τινί; quod τῳ ad ἐκτίνειν pertinebit: ut dicat Plato, *æquum est autem ut quod per se natum est, quum nulli nutritionem debeat, nulli mercedem nutritionis velit solvere.* Sic autem et alibi προθυμεῖσθαι dicit ubi ἐθέλειν locum haberet. Steph.

ἐκτίνειν τῷ] τῷ est i. q. τινὶ (τῷ enim post βαρύτονον accentum inclinare nequit); ut bene Stephanus monuit, ita interpretans hunc locum, *æquum est autem, ut, quod per se natum est, quum nulli nutritionem debeat; nulli mercedem nutritionis velit solvere.* Προθυμεῖσθαι est enim *studere, cupere, velle,* ut sexcenties occurrit. Ast.

ἐν σμήνεσιν ἡγεμόνας] Eadem imagine usus est Xenoph. Cyrop. v. 1. 23. βασιλεὺς μὲν γὰρ ἔμοιγε δοκεῖς σὺ φύσει πεφυκέναι οὐδὲν ἧττον, ἢ ὅ ἐν τῷ σμήνει φυόμενος τῶν μελιττῶν ἡγεμών. Themist. Orat. ii. p. 36. A. φύεται δὲ αὐτόματος καὶ ἐκτρέφεται, ὥσπερ ἐν σμήνει, αὐτοφυὴς ἐκ γενετῆς καὶ αὐτοδίδακτος βασιλεύς, ᾧ συμπεριβομβεῖ καὶ συμπέτεται ἑκούσιον τὸ σμῆνος καὶ σὺν χαρμονῇ. Ast.

ἕκαστον] Cod. Reg. et Venet. ἑκάστῳ; sed recte ἕκαστον. Sic de Legg. viii. 833. D. ταύτας — καταβατέον. i. 643. A. τὸν λόγον—ἰτέον. Cf. vii. 808. D. Polit. iii. 11. ibique citata. Ast.

βέλτιον] Particulam τε, quam libri editi appositam habent, Codd. Regii et Monac. auctoritate expunximus. Ast.

περὶ τοῦ ἄρχειν] Ald. Bas. 1. 2. et Cod. Reg. περὶ τὸ ἄρχειν; sed rectius est, quod Stephanus edidit, περὶ τοῦ ἄρχειν; περὶ est enim, genitivo junctum, *propter.* Sic Xenoph. Cyrop. ii. 1. 22. περὶ ὁπόσων ἂν γένωνται ἀνθρώποις φιλονεικίαι. Ast.

τὸ δέ που κ. τ. λ.] Laudat Stob. Serm. xli. p. 259. usque ad v. ἐναντίως. Ast.

λοντες ἄρξειν, ταύτην ἄριστα καὶ ἀστασιαστότατα ἀνάγκη οἰκεῖσθαι, τὴν δ' ἐναντίους ἄρχοντας σχοῦσαν[x] ἐναντίως. Πάνυ μὲν οὖν, ἔφη. Ἀπειθήσουσιν οὖν ἡμῖν,[y] οἶει, οἱ τρόφιμοι ταῦτ' ἀκούοντες, καὶ οὐκ ἐθελήσουσι ξυμπονεῖν ἐν[z] τῇ[a] πόλει ἕκαστοι ἐν μέρει, τὸν δὲ πολὺν χρόνον μετ' ἀλλήλων οἰκεῖν ἐν τῷ καθαρῷ; Ἀδύνατον, ἔφη· δίκαια γὰρ δὴ[b] δικαίοις ἐπιτάξομεν. παντὸς μὴν μᾶλλον ὡς ἐπ' ἀναγκαῖον αὐτῶν ἕκαστος εἶσι[c] τὸ ἄρχειν, τοὐναντίον τῶν νῦν ἐν[d]
III. i. 338. ἑκάστῃ πόλει ἀρχόντων. Οὕτω γὰρ ἔχει, ἦν δ' ἐγώ, ὦ ἑταῖρε. εἰ μὲν βίον ἐξευρήσεις ἀμείνω τοῦ ἄρχειν τοῖς
II. 521. μέλλουσιν ἄρξειν, ἔστι σοι δυνατὴ γενέσθαι πόλις εὖ οἰκουμένη· ἐν μόνῃ γὰρ αὐτῇ ἄρξουσιν οἱ τῷ ὄντι πλούσιοι, οὐ[e] χρυσίου ἀλλ' οὗ[f] δεῖ τὸν εὐδαίμονα πλουτεῖν, ζωῆς ἀγαθῆς[g] τε καὶ ἔμφρονος· εἰ δὲ πτωχοὶ καὶ πεινῶντες ἀγαθῶν ἰδίων ἐπὶ τὰ δημόσια ἴασιν, ἐντεῦθεν οἰόμενοι τἀγαθὸν δεῖν ἁρπάζειν, οὐκ ἔστι· περιμάχητον γὰρ τὸ ἄρχειν γιγ-

[a] τῇ om K.—[b] om m.—[c] ἕκαστος εἰσίῃ Θ, ἕκαστος εἰσήει r, ἕκαστος εἴη mg D, ἑκάστω εἶ D, ἑκάστω εἰς Kq.—[d] ἐν om m.—[e] οὐ om ΠKr et or ΘD.—[f] οὗ r.—

ἐν τῷ καθαρῷ] *In aperto*, sub divo, in loco vacuo (sic jam apud Homer. Il. viii. 491. x. 199. xxiii. 61.) Hinc Phædr. c. 16. ἐν ἡλίῳ καθαρῷ, ubi v. not. p. 262. Opponitur vero hoc prægressis: καταβατέον ἐς τὴν τῶν ἄλλων ξυνοίκησιν. Ast. qui sic in Corrigend. ' ἐν πόλει ᾗ, præpositione, ut solet, omissa, vid. Schæfer. ad Soph. Œd. C. 749. et nostra ad Legg. ii. 5.'

εἶσι τὸ ἄρχειν] Cod. Reg. ἑκάστῳ εἰς τὸ ἄρχειν, unde conjiciat fortasse quispiam, scribendum esse εἶσι ἐς τὸ ἄρχειν, ut ipse olim putabam. Sed præpositio ante ἄρχειν ex prægressis repeti debet; solent enim Græci, ubi comparationem adhibent, præpositionem voci adjungere, qua comparatio continetur; quapropter semper particulam comparationis ὡς præpositio excipit, ut Thæet. 170. A. ὡς πρὸς θεοὺς ἔχειν τοὺς ἐν ἑκάστοις ἄρχοντας. Thucyd. i. 84. ὡς πρὸς εὖ βουλευομένους τοὺς ἐναντίους ἔργῳ παρασκευαζόμεθα. Ast.

πλούσιοι] Ut πλέος, μεστὸς cum genitivo; sic Euripid. Orest. 388. πλούσιος κακῶν. Ion. 593. πολυκτήμων βίου, v. Matthiæ Gr. Gr. p. 450. Ast.

ζωῆς ἀγαθῆς] Ex quodam vet. libro annotatur alia lectio, quam satis mirari non possum, ζωῆς ἄτερ ἀγαθῆς τε etc. Quid enim hic ἄτερ aget? quid aliud quam præclaram sententiam corrumpet? 'In illa enim (inquit) sola dominabuntur (vel principatum tenebunt) qui revera sunt divites, non auri, sed ejus rei cujus divitem oportet esse virum bonum, vitæ nimirum probæ pariter et prudentis.' Nihil aliud (inquam) illud ἄτερ quam præclaram hanc sententiam corrumpet, meo quidem judicio. Sed tamen ne hanc quidem γραφὴν διάφορον celare te volui, si forte ipse aliquid in ea perspicere possis quod meorum oculorum aciem fugiat: alioqui hinc discas, in bonis etiam libris aliquando valde malas γραφὰς interdum inveniri. Ex eo enim unde sumpta est illa exemplari, non paucorum emendationes locorum sunt profectæ. Steph.

ζωῆς ἀγαθῆς] Bas. 2. post ζωῆς addit ἄτερ, quod, quum verba ζωῆς—ἔμφρονος rhythmum habeant dactylicum, conjicere possis, ex versu illo fortasse gnomico, cujus fragmentum hæc verba sint, huc irrepsisse. Fortasse genuina erat scriptura versus illius: ἀτὰρ ζωῆς ἀγαθῆς cet. Ast.

οὐκ ἔστι] Nullo modo lectio hæc ferri

νόμενον, οἰκεῖος ὢν καὶ ἔνδον ὁ τοιοῦτος πόλεμος αὐτούς τε[h] ἀπόλλυσι καὶ τὴν ἄλλην πόλιν. Ἀληθέστατα, ἔφη. [§. 6.] Ἔχεις οὖν, ἦν δ' ἐγώ, βίον ἄλλον τινὰ πολιτικῶν ἀρχῶν[i] καταφρονοῦντα[k] ἢ τὸν τῆς ἀληθινῆς φιλοσοφίας; Οὐ μὰ τὸν Δία,[l] ἦ δ' ὅς. Ἀλλὰ μέντοι δεῖ γε μὴ ἐραστὰς τοῦ ἄρχειν ἰέναι ἐπ' αὐτό· εἰ δὲ μή, οἵ γε ἀντερασταὶ μαχοῦνται. Πῶς δ' οὔ; Τίνας οὖν ἄλλους ἀναγκάσεις ἰέναι ἐπὶ φυλακὴν τῆς πόλεως ἢ οἳ περὶ[m] τούτων τε[n] φρονιμώτατοι δι' ὧν ἄριστα πόλις οἰκεῖται, ἔχουσί τε τιμὰς ἄλλας καὶ βίον ἀμείνω τοῦ πολιτικοῦ; Οὐδένας ἄλλους, ἔφη.

Βούλει οὖν τοῦτ' ἤδη[o] σκοπῶμεν, τίνα τρόπον οἱ τοιοῦτοι ἐγγενήσονται καὶ πῶς τις ἀνάξει αὐτοὺς εἰς φῶς, ὥς περ III. i. 339.
ἐξ Ἅιδου λέγονται[p] δή τινες εἰς θεοὺς ἀνελθεῖν; Πῶς γὰρ οὐ βούλομαι; ἔφη. Τοῦτο δή, ὡς ἔοικεν, οὐκ ὀστράκου ἂν εἴη περιστροφὴ ἀλλὰ ψυχῆς περιαγωγή, ἐκ νυκτερινῆς

ε ζωῆς ἄτερ ἀγαθῆς r.—[h] καὶ v.—[i] τινῶν ἀρχῶν r.—[k] καταφρονοῦντος K, καταφρονούντων r.—[l] δῖ mr.—[m] οἱ περὶ ΑΘΞΠΦνmr: οἵπερ *s.—[n] τε om Kv.—[o] τουτὶ

potest, ut opinor. Videndum igitur an legere oporteat *οὗ ἐστι*, servata stigme quæ est post *ἐστί*: ut sequatur, *περιμάχητον γὰρ τὸ ἄρχειν γιγνόμενον*, etc. At Fic. legit quidem *οὗ ἐστι*, non *οὐκ ἔστι*, sed hæc verba sequentibus jungit: vt post *ἐντεῦθεν οἰόμενοι δεῖν ἁρπάζειν* sit finis sententiæ: quam sequantur hæc, *οὗ ἐστι περιμάχητον γὰρ τὸ ἄρχειν γιγνόμενον*. Hunc enim locum sic interpretatur, *sin autem inopes bonisque propriis vacui ad publica adventaverint, bona illinc rapere cupientes, civitas illa felix esse non poterit. Nam ubi de principatu contenditur, quum proprium hoc sit et intestinum bellum, tum eos qui ita pugnant, tum reliquam civitatem perdit.* Quid igitur hac de lectione dicemus? Duriuscula certe est hæc verborum collocatio, *οὗ ἐστι περιμάχητον γὰρ τὸ ἄρχειν γιγνόμενον*, (quod particula *γὰρ* tam procul removeri non soleat) fortasse tamen exemplo non caret. Steph.

οὐκ ἔστι] Int. *δυνατὴ γενέσθαι πόλις εὖ οἰκουμένη*. Ast.

τὴν ἄλλην πόλιν] *Universam urbem*. Ast.

§. 6. *ἢ οἱ περὶ τούτων*] Sic Cod. Monac. Vulgo *οἵπερ τούτων*. *Φρόνιμος, peritus*, solet cum *περὶ* et genitivo construi; vide exempla in Lexic. Xenophont. vol. iv. p. 493. Deinde post *τούτων* vulgo *τε* legitur, quod Cod. Regio suadente delevimus. Ast.

τοῦτο δὴ κ. τ. λ.] Laudat Clem. Alexandr. Strom. v. p. 611. t. ii. p. 729. Pott. ubi legitur *δὲ* pro *δή*. Ast.

ὀστράκου περιστοφὴ] Lusus ostracorum s. testarum intelligitur, *ἡ ὀστρακίνδα* (int. *παιδιὰ*) dictus, in quo testa, cujus interior pars, utpote nocti respondens, pice oblita, exterior vero candida erat, ad lineam in medio ductam mittebatur; tunc prout interior vel exterior testulæ pars superne cadebat, hæc vel illa pars puerorum fugiebat, altera vero persequebatur fugientes. Hinc *ὀστράκου περιστοφὴ, ὀστράκου περιστραφέντος s. μεταπεσόντος* (Phædr. c. 18. Dio Chrysostom. Orat. iv. de regno p. 77. A. xi. p. 174. A. xv. p. 242. B. Liban. Epist. 423. p. 216. Wolf.) proverbialiter de repentina nec opinata rei conversione. Eustath. ad Iliad. σ. p. 1219. 35. *παροιμία ἐπὶ τῶν ὅποι τύχῃ μεταβαλλομένων*. Schol. ad Dion. Chrysostom. p. 19. ed Morell. *παροιμία ἐπὶ τῶν ἀθρόως καὶ ἀνελπίστως ὑφισταμένων*. Vid. Erasmi Adag. Chil.

τινὸς ἡμέρας[q] εἰς ἀληθινὴν τοῦ ὄντος[r] ἰούσης[s] ἐπάνοδον, ἣν δὴ φιλοσοφίαν ἀληθῆ[t] φήσομεν εἶναι. Πάνυ μὲν οὖν. Οὐκοῦν δεῖ σκοπεῖσθαι τί τῶν μαθημάτων ἔχει τοιαύτην[u] δύναμιν; Πῶς γὰρ οὔ; Τί ἂν οὖν[v] εἴη, ὦ Γλαύκων, μάθημα ψυχῆς ὁλκὸν[w] ἀπὸ τοῦ γιγνομένου ἐπὶ[x] τὸ ὄν; τόδε δ'[y] ἐννοῶ[z] λέγων ἅμα· οὐκ ἀθλητὰς μέντοι πολέμου ἔφαμεν τούτους ἀναγκαῖον[a] εἶναι νέους ὄντας; Ἔφαμεν γάρ. Δεῖ ἄρα καὶ τοῦτο προσέχειν[b] τὸ μάθημα ὃ[c] ζητοῦμεν[d] πρὸς ἐκείνῳ. Τὸ ποῖον; Μὴ ἄχρηστον πολεμικοῖς ἀνδράσιν εἶναι. Δεῖ μέντοι, ἔφη, εἴ περ οἷόν τε. Γυμναστικῇ μὴν[e] καὶ μουσικῇ ἔν γε τῷ πρόσθεν ἐπαιδεύοντο ἡμῖν. Ἦν ταῦτα, ἔφη. Γυμναστικὴ[f] μέν που[g] περὶ γιγνόμενον καὶ ἀπολλύμενον τετεύτακε·[h] σώματος γὰρ αὔξης[i] καὶ φθί-

δὴ v.—[p] λέγοντες m.—[q] μοίρας q.—[r] ὄντως Φ.—[s] οὖσαν ΑΘΠΦνmr: om Ξ.—[t] ἀληθῆ om Θ.—[u] τοιαύτην ἔχει ΞΦm.—[v] οὖν ἂν Φν.—[w] ἕλκον ΘDqvr et corr ΞΠ.—[x] ἐπὶ om K.—[y] δ' om K.—[z] ἐννοῶν Φ.—[a] ἀλλ' ἀναγκαῖον Φm, ὡς ἀναγκαῖον q.—[b] παρέχειν Ξm, προσεχῶς r, πως ἔχειν q.—[c] ὃ om Θr et pr ΠD.—[d] ζητῶμεν r.—[e] μήν ΑΞΠΦνm, μέντοι Θr: μέν που *s.—[f] καὶ γυμναστικὴ r.—[g] μέν γέ που q.—[h] τετεύτακεν ΑΦm, τεύτακε v, τέταυχε γρ v: τέτευχε corr Π cum *s.—[i] αὐξή-

ii. Centur. i. 51. p. 311. et nostra ad Phædr. p. 266. Ast.

ἐκ νυκτερινῆς τινὸς ἡμέρας] Respexerunt hæc Clem. Alex. Strom. v. p. 599. D. t. i. p. 712. Pott. ib. p. 911. D. 729. Pott. ubi v. not. Lib. iv. 6. p. 485. A. t. i. p. 575. et Euseb. Præp. Evang. xiii. 13. p. 690. B. Clemens intelligit *τὴν ἐνταῦθα ἡμέραν*. Ast.

τοῦ ὄντος ἰούσης] Clemens Alex. exhibet *ὄντως*; deinde Cod. Monac. Clemens et Euseb. *οὖσαν*, Ald. vero Bas. i. et 2. *ἰούσας*. Haud dubie locus corruptus est. Primum enim offendit *οὔσης* post *ψυχῆς περιαγωγῆ*; cap. 4. *οὕτω ξὺν ὅλῃ τῇ ψυχῇ ἐκ τοῦ γιγνομένου* (h. e. *τῆς νυκτερινῆς ἡμέρας*) *περιακτέον, ἕως ἂν* cet. Deinde *ἰούσης ἐς ἀληθινὴν ἐπάνοδον* (anima ipsa ascendit ad verum, non vero ad ascensum progreditur). Ni omnia me fallunt, genuina erat scriptura: *ψυχῆς περιαγωγὴ ἐκ νυκτερινῆς τινὸς ἡμέρας ἐς ἀληθινὴν τὴν* (vel *καὶ*) *ὄντως οὖσαν* (int. *ἡμέραν*), *ἣν δὴ ἐπάνοδον φιλοσοφίαν ἀληθῆ φήσομεν εἶναι*. Ut prior emendationis nostræ pars confirmatur Clementis, Euseb. et Cod. Monac. lectionibus, ita posterior Ficini interpretatione: *quem quidem adscensum veram philosophiam esse dicemus*. Sic habet *ἡ νυκτερωὴ ἡμέρα* (quæ spectat ad interiorem testulæ partem, pice oblitam, et ad imaginem antri) respondentem sibi *ἀληθινὴν ἡμέραν*, veram lucem, diem, i. e. cognitionem ac vitam, cujus contemplatio est philosophia. Et linguæ rationes et sensus tantopere commendare nobis videntur hanc emendationem, ut fidenter eam recepissemus, nisi metus obstitisset, ne in temeritatis crimen incurreremus. Ast.

τί ἂν οὖν εἴη] Laudat Euseb. Præp. Evang. xiv. 13. p. 746. A. Ast.

ὁλκὸν] Adjectivum est. Suid. Ὁλκὸς ἄνθρωπος· ὁ ἑλκυστικὸς καὶ ἐπαγωγός. Sic c. 8. *οὐκ ἂν ὁλκὸν εἴη ἐπὶ τὴν οὐσίαν*. Porphyr. de abstinent. ii. 48. *ὅτι γὰρ ὁλκὸν τῆς ψυχῆς ἡ τοῦ συγγενοῦς σώματος φύσις, ἡ πεῖρα τούτους ἐδίδαξεν διὰ πλειόνων*. Ast.

ἀλλ' ἀναγκαῖος] Sic Cod. Monac. quicum Ficinus facit, vertens, *sed necessarium, dum juvenes sunt?* Vulgo ἆλλ' desideratur. Ast.

μέντοι ἔφη] Bas. 2. *μέντοι καί*. Ast.

γυμναστικῇ μέν που] Euseb. *γυμναστικῇ μέν πῃ*. Mox *καὶ γυμναστική*. Ast.

τέτευχε] Suspectum est *τέτευχε*: sed multo tamen minus placere potest *τετεύτακε*, quod apud Eusebium loco ejus legitur. Apud eundem scriptum est, *καὶ γυμ-*

σεως ἐπιστατεῖ. Φαίνεται. Τοῦτο μὲν δὴ οὐκ ἂν εἴη ὃ ζητοῦμεν μάθημα. Οὐ γάρ. Ἀλλ' ἆρα[k] μουσικὴ ὅσην[l] II. 522.
τὸ[m] πρότερον διήλθομεν; Ἀλλ' ἦν ἐκείνη γ', ἔφη, ἀντίστρο-
φος τῆς γυμναστικῆς, εἰ μέμνησαι, ἔθεσι παιδεύουσα τοὺς III. i. 340.
φύλακας, κατά τε ἁρμονίαν εὐαρμοστίαν[n] τινά, οὐκ ἐπι-
στήμην, παραδιδοῦσα[o] καὶ κατὰ ῥυθμὸν[p] εὐρυθμίαν,[q] ἔν
τε τοῖς λόγοις ἕτερα τούτων ἀδελφά, ἔφη,[r] ἅττα ἔχουσα,
καὶ ὅσοι μυθῴδεις τῶν λόγων καὶ ὅσοι ἀληθινώτεροι ἦσαν·
μάθημα δὲ[s] πρὸς τοιοῦτόν[t] τι[u] ἀγαθόν,[v] οἷον σὺ νῦν[w] ζη-
τεῖς, οὐδὲν ἦν ἐν αὐτῇ. Ἀκριβέστατα, ἦν δ' ἐγώ, ἀνα-
μιμνήσκεις με· τῷ γὰρ ὄντι τοιοῦτον οὐδὲν εἶχεν. ἀλλ', ὦ
δαιμόνιε Γλαύκων, τί ἂν εἴη τοιοῦτον; αἵ τε γὰρ τέχναι
βάναυσοί[x] που ἅπασαι ἔδοξαν εἶναι.[y] Πῶς δ' οὔ; καὶ
μὴν τί ἔτ' ἄλλο λείπεται μάθημα, μουσικῆς καὶ γυμνασ-

σεως v.—[k] ἆρα om Θτ.—[l] ὅσον K, ἣν v.—[m] τὸ om v.—[n] ἁρμονίαν καὶ εὐαρμοστίαν Θτ.—[o] παραδοῦσα DK.—[p] κατ' ἀριθμὸν K, κατὰ ῥυθμῶν Υ.—[q] εὐρυθμίαν om DKq.—[r] ἔθη v et corr Π.—[s] δὲ om pr ΘΠ.—[t] τοιοῦτό Φ, τὸ τοιοῦτόν K.—[u] τι δν v.—[v] ἄγον γρ Π.—[w] νῦν om v.—[x] τέχναι καὶ βάνασοι Dq.—[y] εἶναι καὶ οὐ προσαπτέον

ναστικὴ μέν που: quæ particula aptam hic sedem habere videtur. Steph.

τετεύτακε] Sic Cod. Monac. et Euseb.; accedunt, quos Ruhnken. ad Tim. p. 254. laudat, Cod. Par. Schol. et vetus Grammaticus apud Photium Lex. Ms. Suidam et Etymolog. M. Τευτάξειν est, ut Timæus explicat, *πραγματεύεσθαι, ἐνδιατρίβειν*. Vulgo legitur *τέτευχε*, de quo dubitari potest, an scriptor Atticus eo usus sit, pro *τετύχηκε* (vid. Phrynich. p. 174. Thom. Mag. p. 842. ubi v. interpp. Sturz. de dialect. Macedon. p. 198.) Τέτευχα apud Doricos scriptores (v. c. Euryph. ed. Gale p. 665.) et Herodotum (iii. 14.) reperitur, sed participio junctum; accedit, quod ea, quam *τέτευχε* habere hic oporteret, significatione participii omissio admodum dura esset, etsi *τυγχάνω* sine participio haud infrequens est (v. Locella ad Xenoph. Ephes. p. 266. et Heind. ad Gorg. §. 124.) Ast.

ἀντίστροφος] *Ex altera parte ipsi respondens* (ut Cicero interpretatur Orat. c. 32.) Ἀντίστροφον enim dicitur, quod alicui rei generatim simile, speciatim vero dissimile ac contrarium est, v. Findeiseni Index ad Gorg. p. 287. Schneider. ad Aristotel. Polit. iv. 5. p. 245. Sic musica et gymnastica ad hominis culturam similiter spectant, illa vero animum, hæc corpus fingit. Ast.

παραδοῦσα] Sic Cod. Reg. Monac. Ald. Bas. 1. et 2. Ast.

ἔφη] Emendationem insignem (nisi fallor) afferam, quæ Eusebio debetur: apud eum enim vera lectio invenitur, ubi hunc locum affert. Ea autem est *ἔθη* pro *ἔφη*. Cui emendationi confirmatione opus non est, meo quidem judicio: præsertim quum præcedat, *ἔθεσι παιδεύουσα τοὺς φύλακας*. Steph.

ἔφη] Euseb. *ἔθη* pro *ἔφη*, quod Stephano admodum placebat; sed *ἕτερα ἅττα* non ad *ἔθη* in præcedentibus spectat, sed ad *εὐαρμοστίαν* et *εὐρυθμίαν*. Ast.

ἀγαθόν] Apud Eusebium scriptum est *ἄγον*, quod participium multo magis quam nomen illud, mihi placet. Legit tamen et Fic. *ἀγαθόν*: quippe qui verterit, *cognitio vero talis cujusdam boni quale tu nunc investigas, in ea nulla existit*. Steph.

ἄγον] Sic ex Euseb. reposuimus pro *ἀγαθόν*, postulante sensu et præpositione *πρὸς*, quæ e voce *μάθημα* pendere non potest. Ast.

τικῆς καὶ τῶν τεχνῶν κεχωρισμένον;[z] Φέρε, ἦν δ' ἐγώ, εἰ μηδὲν ἔτι ἐκτὸς τούτων ἔχωμεν λαβεῖν, τῶν ἐπὶ πάντα τεινόντων τι λάβωμεν. Τὸ ποῖον; Οἷον τοῦτο τὸ κοινόν, ᾧ πᾶσαι προσχρῶνται τέχναι[a] τε καὶ διάνοιαι καὶ ἐπιστῆμαι, ὃ καὶ παντὶ ἐν πρώτοις ἀνάγκη μανθάνειν. Τὸ[b] ποῖον; ἔφη. Τὸ φαῦλον τοῦτο, ἦν δ' ἐγώ, τὸ ἕν τε καὶ τὰ δύο καὶ τὰ τρία διαγιγνώσκειν·[c] λέγω δὲ αὐτὸ ἐν[d] κεφαλαίῳ ἀριθμόν τε καὶ λογισμόν. ἢ οὐχ οὕτω περὶ τούτων ἔχει, ὡς
III. i. 341. πᾶσα τέχνη τε καὶ ἐπιστήμη ἀναγκάζεται αὐτῶν μέτοχος γίγνεσθαι; Καὶ μάλα,[e] ἔφη. Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ ἡ πολεμικὴ; Πολλή, ἔφη, ἀνάγκη. Παγγέλοιον γοῦν,[f] ἔφην,[g] στρατηγὸν Ἀγαμέμνονα ἐν ταῖς τραγῳδίαις Παλαμήδης ἑκάστοτε ἀποφαίνει. ἢ οὐκ ἐννενόηκας ὅτι φησὶν ἀριθμὸν εὑρὼν τάς τε τάξεις τῷ[h] στρατοπέδῳ καταστῆσαι ἐν Ἰλίῳ[i] καὶ ἐξαριθμῆσαι ναῦς τε καὶ τἆλλα πάντα, ὡς πρὸ τοῦ ἀναριθμήτων ὄντων καὶ τοῦ Ἀγαμέμνονος, ὡς ἔοικεν, οὐδ' ὅσους πόδας εἶχεν εἰδότος, εἴ περ ἀριθμεῖν μὴ ἠπίστατο; καί τοι ποῖόν τιν' αὐτὸν οἴει στρατηγὸν εἶναι; Ἄτοπόν τιν', ἔφη, ἔγωγε, εἰ ἦν τοῦτ' ἀληθές. [§. 7.] Ἄλλο τι οὖν, ἦν δ' ἐγώ, μάθημα[j] ἀναγκαῖον πολεμικῷ ἀνδρὶ θήσομεν λογίζεσθαί[k] τε καὶ ἀριθμεῖν δύνασθαι;[l] Πάντων γ', ἔφη, μάλιστα, εἴ[m] καὶ ὁτιοῦν μέλλει τάξεων ἐπαΐειν, μᾶλλον δ'[n] εἰ καὶ ἄνθρωπος ἔσεσθαι. Ἐννοεῖς οὖν,

οὖν

αὐτῶν ὂν πολεμικοῖς ἀνδράσι q.—[z] κεχωρισμένων D.—[a] τέχναι om Υ.—[b] τὸ om ΑΦ et pr Ξ.—[c] γιγνώσκειν pr Ξ.—[d] αὐτὸ ἐν ΑΘΠDKqvmr: αὐτὸ ὡς ἐν *s.—[e] μάλ' v.—[f] οὖν ΞΦm.—[g] ἔφη v.—[h] τῷ om v.—[i] ἠλίῳ Θ, ἰλίω καὶ τἆλλα πάντα v.—[j] μάθημα ἦν δ' ἐγὼ Θr. ἀναγκαῖον om Θr.—[k] θήσομεν λογίζεσθαί ΘΞDKqv et pr Π, θήσομεν μᾶλλον λογίζεσθαί Υ, θήσομεν καὶ λογίζεσθαί Am, θήσομεν ἢ τὸ λογίζεσθαι Φ: θήσομεν μᾶλλον ἢ λογίζεσθαί s.—[l] δυναμένῳ DK.—[m] τοῦτο εἰ Φ.—[n] δ' om DK

παγγέλοιον οὖν] Sic Cod. Monac. Vulgo γοῦν, sensu adversante. Ast.

Παλαμήδης] Nobilis ille numerorum inventor et exercitus instructor, v. Soph. fragm. t. iv. p. 635. ed. Brunck. Philostrat. Heroic. p. 140. ubi cf. Boissonad. p. 523. Athanas. Orat. c. gent. c. 18. p. 15. A. t. i. ed. Petav. Gregor. Nazianz. Orat. iii. p. 99. D. ed. Colon. Cf. Gataker. A. M. P. p. 530. D. Heyne Excurs. ad Virgil. Æn. ii. p. 293. Ast.

§. 7. μάλιστα, εἰ] Cod. Monac. μάλιστα τοῦτο. Fortasse scribendum: ἄλλο τι οὖν (*nonne igitur*) μάθημα ἀναγκαῖον—θήσομεν τὸ λογίζεσθαι—δύνασθαι; Πάντων γ', ἔφη, μάλιστα τοῦτο (int. ἀναγκαῖον θήσομεν). Namque Ficinus quoque vertit: *Necessariam ergo numerorum cognitionem militi esse dicemus, ut et numerare et computare valeat.* Ast.

εἶπον,[o] περὶ τοῦτο τὸ μάθημα ὅ περ ἐγώ; Τὸ ποῖον; Κινδυνεύει τῶν πρὸς τὴν νόησιν ἀγόντων φύσει εἶναι ὧν[p] ζητοῦμεν, χρῆσθαι δ' οὐδεὶς αὐτῷ ὀρθῶς,[q] ἑλκτικῷ ὄντι παντάπασι πρὸς οὐσίαν. Πῶς, ἔφη, λέγεις; Ἐγὼ πειράσομαι, ἦν δ' ἐγώ, τό γ' ἐμοὶ[r] δοκοῦν δηλῶσαι. ἃ γὰρ διαιρούμαι παρ' ἐμαυτῷ ἀγωγά τε εἶναι οἷ[s] λέγομεν καὶ μή,[t] ξυνθεατὴς γενόμενος ξύμφαθι ἢ ἄπειπε,[u] ἵνα καὶ τοῦτο σαφέστερον ἴδωμεν[v] εἰ ἔστιν οἷον μαντεύομαι. Δείκνυ,[w] ἔφη. Δείκνυμι[x] δή, εἶπον, εἰ καθορᾷς, τὰ μὲν ἐν ταῖς αἰσθήσεσιν οὐ παρακαλοῦντα τὴν νόησιν εἰς ἐπίσκεψιν, ὡς[y] ἱκανῶς ὑπὸ τῆς αἰσθήσεως κρινόμενα, τὰ δὲ παντάπασι διακελευόμενα ἐκείνην ἐπισκέψασθαι, ὡς τῆς αἰσθήσεως οὐδὲν ὑγιὲς ποιούσης. Τὰ πόρρωθεν, ἔφη, φαινόμενα δῆλον ὅτι λέγεις καὶ τὰ ἐσκιαγραφημένα. Οὐ πάνυ, ἦν δ' ἐγώ, ἔτυχες οὗ λέγω. Ποῖα μήν, ἔφη, λέγεις; Τὰ μὲν οὐ παρακαλοῦντα, ἦν δ' ἐγώ, ὅσα μὴ ἐκβαίνει[z] εἰς ἐναντίαν αἴσθησιν ἅμα· τὰ δ' ἐκβαίνοντα ὡς παρακαλοῦντα τίθημι, ἐπειδὰν ἡ αἴσθησις μηδὲν μᾶλλον τοῦτο ἢ τὸ ἐναντίον δηλοῖ, εἴτ' ἐγγύθεν προσπίπτουσα εἴτε πόρρωθεν. ὧδε δὲ ἃ[a] λέγω σαφέστερον[b] ἔσται.[c] οὗτοι, φαμέν, τρεῖς ἂν εἶεν[d] δάκτυλοι, ὅ τε σμικρότατος καὶ ὁ δεύτερος καὶ ὁ μέσος. Πάνυ γ', ἔφη. Ὡς ἐγγύθεν τοίνυν ὁρωμένους λέγοντός μου διανοοῦ. ἀλλά μοι περὶ αὐτῶν τόδε σκόπει. Τὸ ποῖον; Δάκτυλος μὲν[e] αὐτῶν

II. 523.

III. i. 342.

m.—[o] εἶπον om ΘΠDKr.—[p] ὧν AΦνm et corr Π, ὃν pr Π, ὃ cum *s corr Ξ.—[q] ὀρθῶς om pr Ξ.—[r] τόγε μοι ν.—[s] οἷ A, om ν: οἷα *s.—[t] μὴν DK, μοὶ ν.—[u] ἀπειπεῖν ν.—[v] εἰδῶμεν ν.—[w] δεῖκνυε ν.—[x] δεῖ μοι m.—[y] ὡς om r.—[z] ἐκβαίνη ΞΦνm.—[a] ὃ ν.—[b] σαφέστερα q.—[c] εἴη ν.—[d] ἂν εἶεν ἂν ν.—[e] μέν που Πν.—[f] καὶ

ὧν ζητοῦμεν] Sic sensu postulante scripsimus pro ὃ *ζητοῦμεν*; hoc enim dicere vult Socrates, numerandi et computandi scientiam in earum numero esse, *quas* quærat, ut quæ ad cognitionem perducat. Sic etiam Ficinus vertit: *videtur natura ex eorum numero esse, quæ ad intelligentiam homines elevant, qualia nos perquirimus.* Similiter cap. 8. *ὧν ζητοῦμεν ἅρα—μαθημάτων ἂν εἴη.* Ast.

δείκνυ] Pro *δείκνυθι*, ut apud Aristoph. Av. 665. *ἴστη* pro *ἴσταθι*, *πίμπρη*. Vid. Brunck. ad Aristoph. Lys. 733. Cf. Matthiæ Gr. Gr. 269. not. 5. Ast.

ἐν ταῖς] Suspicor deesse *τῶν* ante *ἐν ταῖς αἰσθ.* Steph. Non opus; nempe *τὰ ἐν ταῖς αἰσθήσεσιν* (int. *ὄντα*) sunt res, quæ in perceptionem cadunt, quæ percipiuntur; constat enim *εἶναι* cum præpos. *ἐν* et dativo sæpenumero verbi passivi partes agere, ut *ἐν αἰτίαις εἶναι, accusari.* Vid. Viger. de idiotism. p. 608. Ast.

ποιούσης] Ni fallor, corrigendum *νοούσης*, ut Ficinus vertit: *quasi sensus in iis nihil sincere dijudicet.* Ast.

ὡς—λέγοντος μου διανοοῦ] Vid. ad i. §. 1. notata. Ast.

III. i. 343. φαίνεται ὁμοίως ἕκαστος, καὶ ταύτῃ γε[f] οὐδὲν διαφέρει, ἐάν τε[g] ἐν μέσῳ ὁρᾶται ἐάν τ' ἐν ἐσχάτῳ, ἐάν τε λευκὸς ἐάν τε μέλας,[h] ἐάν τε παχὺς ἐάν τε λεπτός,[i] καὶ πᾶν ὅ τι τοιοῦτον.[k] ἐν πᾶσι γὰρ τούτοις οὐκ ἀναγκάζεται τῶν πολλῶν ἡ ψυχὴ τὴν νόησιν ἐπερέσθαι[l] τί ποτ' ἔστι δάκτυλος· οὐδαμοῦ γὰρ ἡ ὄψις αὐτὴ[m] ἅμα[n] ἐσήμηνε[o] τὸν δάκτυλον τοὐναντίον ἢ δάκτυλον εἶναι. Οὐ γὰρ οὖν, ἔφη. Οὐκοῦν, ἦν δ' ἐγώ, εἰκότως τό γε[p] τοιοῦτον νοήσεως οὐκ ἂν παρακλητικὸν οὐδ' ἐγερτικὸν[q] εἴη. Εἰκότως. Τί δὲ[r] δή;[s] τὸ μέγεθος αὐτῶν καὶ τὴν σμικρότητα ἡ ὄψις ἆρα ἱκανῶς ὁρᾷ, καὶ οὐδὲν αὐτῇ διαφέρει ἐν μέσῳ τινὰ αὐτῶν κεῖσθαι ἢ ἐπ' ἐσχάτῳ;[t] καὶ ὡσαύτως πάχος καὶ λεπτότητα ἢ μαλακότητα καὶ σκληρότητα ἡ ἁφή; καὶ αἱ ἄλλαι αἰσθήσεις ἆρ' οὐκ ἐνδεῶς τὰ τοιαῦτα δηλοῦσιν; ἢ[u] ὧδε ποιεῖ[v]

II. 524. ἑκάστη αὐτῶν, πρῶτον μὲν ἡ ἐπὶ τῷ σκληρῷ τεταγμένη αἴσθησις ἠνάγκασται καὶ ἐπὶ τῷ μαλακῷ τετάχθαι, καὶ παραγγέλλει τῇ ψυχῇ ὡς ταὐτὸν σκληρόν τε καὶ μαλακὸν αἰσθανομένῃ.[w] Οὕτως, ἔφη. Οὐκοῦν, ἦν δ' ἐγώ, ἀναγκαῖον ἐν τοῖς[x] τοιούτοις αὖ τὴν ψυχὴν ἀπορεῖν τί ποτε σημαίνει αὐτῇ[y] ἡ αἴσθησις τὸ σκληρόν, εἴ περ τὸ αὐτὸ καὶ[z]

III. i. 344. μαλακὸν λέγει,[a] καὶ ἡ τοῦ κούφου καὶ ἡ[b] τοῦ[c] βαρέος τί τὸ κοῦφον καὶ βαρύ, εἰ τό τε[d] βαρὺ κοῦφον καὶ τὸ κοῦφον

ταύτῃ γε om q.—[g] τ' v.—[h] μέγας ΘΠr.—[i] λεπτὸς ἐάν τε παχὺς Θ.—[k] τοιοῦτο Θ.—[l] ἐπαίρεσθαι Φm.—[m] αὐτὴ A, αὐτὴ ΞΦrm: αὕτη *s.—[n] ἅμα om ΘΠKqr.—[o] ἐσήμηνε ΑΠDKqv: ἐσήμαινε s.—[p] γε om v.—[q] οὐδ' ἐγερτικὸν om pr Ξ.—[r] δαὶ A.—[s] δὴ add ΑΘΞΠΦvmr.—[t] ἐσχάτῳ ΑΘΞΠΦvmr: ἐσχάτων *s.—[u] εἰ ΘΞr, ἢ οὐχ q: om pr D. in K lacuna est.—[v] ὧδ' ἐποίει r, δ' ἐποίει post lacunam K.—ανο

[w] αἰσθομένη Ξ.—[x] ἔν γε τοῖς v.—[y] αὕτη ΑΞΦvm, αὐτὴ q.—[z] καὶ om m.—[a] λέγοι Ξm.—[b] ἡ post καὶ om Θr.—[c] τοῦ om r.—[d] τότε v.—[e] αὗταί ΑΞΦqvmr: αὐταί s.

δάκτυλος—ὁμοίως ἕκαστος] Sic Minos p. 313. B. *νόμος γὰρ ἕκαστος αὐτῶν ἐστὶν ὁμοίως, οὐχ ὁ μὲν μᾶλλον, ὁ δ' ἧττον.* Ast.

ἐν πᾶσι γὰρ τούτοις] Ficinus, *In omnibus siquidem hujusmodi.* Legit forte *τοιούτοις*, idque verum habeo. Faehse.

τί ποτ' ἐστι] Construe: *τί ποτε τῶν πολλῶν ἐστὶ δάκτυλος*, ut Ficinus vertit: *quid e multis sit digitus.* Ast. qui sic in Addend. '*τῶν πολλῶν* glossematis mihi videtur suspectum esse.'

ἐσήμαινε] Vide annon potius *ἐσήμαινε* (sic) scribendum sit. Steph.

παρακλητικὸν] Cum genitivo ut infra v. ad iii. 3. Ast.

παραγγέλλει] Crediderim hoc mutandum esse in *προσαγγέλλει*. Steph.

αὖ τὴν ψυχὴν] Haud dubie scribendum *αὐτὴν τὴν ψυχὴν*, et in sequentibus *αὕτη ἡ αἴσθησις τοῦ σκληροῦ* (Ficinus: *quid significat duri hic sensus*); sed quum haud necessariæ visæ essent hæ correctiones, eas reponere dubitavimus. Ast.

βαρὺ σημαίνει. Καὶ γάρ, ἔφη, αὗταί[e] γε ἄτοποι τῇ ψυχῇ αἱ ἑρμηνεῖαι καὶ ἐπισκέψεως δεόμεναι. Εἰκότως ἄρ', ἣν δ' ἐγώ, ἐν τοῖς τοιούτοις πρῶτον μὲν πειρᾶται λογισμόν τε[f] καὶ νόησιν ψυχὴ παρακαλοῦσα ἐπισκοπεῖν εἴτε ἓν εἴτε δύο ἐστὶν ἕκαστα τῶν εἰσαγγελλομένων. Πῶς δ' οὔ; Οὐκοῦν ἐὰν δύο φαίνηται, ἕτερόν τε καὶ ἓν ἑκάτερον φαίνεται; Ναί. Εἰ ἄρα ἓν ἑκάτερον, ἀμφότερα δὲ[g] δύο, τά γε δύο κεχωρισμένα νοήσει· οὐ γὰρ ἂν ἀχώριστά γε δύο ἐνόει,[h] ἀλλ' ἕν. Ὀρθῶς. Μέγα μὴν καὶ ὄψις[i] καὶ σμικρὸν ἑώρα, φαμέν, ἀλλ' οὐ κεχωρισμένον ἀλλὰ συγκεχυμένον τι. ἦ γάρ; Ναί. Διὰ δὲ τὴν τούτου σαφήνειαν μέγα αὖ καὶ σμικρὸν ἡ νόησις ἠναγκάσθη ἰδεῖν οὐ συγκεχυμένα ἀλλὰ διωρισμένα, τοὐναντίον ἢ ἐκείνη.[k] Ἀληθῆ. Οὐκοῦν ἐντεῦθέν ποθεν πρῶτον[l] ἐπέρχεται ἐρέσθαι[m] ἡμῖν τί οὖν ποτ' ἔστι τὸ μέγα αὖ καὶ τὸ σμικρόν; Παντάπασι μὲν οὖν. Καὶ οὕτω δὴ τὸ μὲν νοητόν, τὸ δ' ὁρατὸν ἐκαλέσαμεν. Ὀρθότατ', ἔφη. [§. 8.] Ταῦτα τοίνυν καὶ ἄρτι ἐπεχείρουν λέγειν, ὡς τὰ μὲν παρακλητικὰ τῆς διανοίας ἐστί, τὰ δ' οὔ, ἃ μὲν εἰς τὴν αἴσθησιν ἅμα τοῖς ἐναν- III. i. 345.
τίοις[n] ἑαυτοῖς ἐμπίπτει, παρακλητικὰ ὁριζόμενος, ὅσα δὲ μή, οὐκ ἐγερτικὰ τῆς νοήσεως. Μανθάνω τοίνυν ἤδη, ἔφη, καὶ δοκεῖ μοι οὕτως. Τί οὖν; ἀριθμός τε καὶ τὸ ἓν ποτέρων[o] δοκεῖ εἶναι; Οὐ ξυννοῶ, ἔφη. Ἀλλ' ἐκ τῶν προειρημένων, ἔφην, ἀναλογίζου. εἰ μὲν γὰρ ἱκανῶς αὐτὸ καθ' αὑτὸ ὁρᾶται ἢ ἄλλῃ τινὶ αἰσθήσει λαμβάνεται τὸ ἕν, οὐκ ἂν ὁλκὸν[p] εἴη ἐπὶ τὴν οὐσίαν, ὥς περ ἐπὶ τοῦ δακτύλου ἐλέγομεν· εἰ δ' ἀεί τι αὐτῷ ἅμα ὁρᾶται ἐναντίωμα, ὥστε μηδὲν μᾶλλον ἓν ἢ καὶ τοὐναντίον φαίνεσθαι, τοῦ ἐπικρι-

—[f] τε om Θτ.—[g] γε Θτ.—[h] ἐνόει m.—[i] μὴν καὶ ὄψις ΑΠΦΚqm et rc D, μὴν καὶ ἡ ὄψις v, μὴν ὄψις Θτ: μὴν ἡ ὄψις s.—[k] ἢ' κείνη ΑΘΞΠΦνmr.—[l] πρῶτον om Φ, post ἐπερχεται ponunt Θτ, quod sequebatur μέν, omisi cum ΑΘΠΦΔΚqmr.—[m] ἐρέσθαι ΞΔΚ: ἔρεσθαι s.—[n] ἑαυτοῖς om q.—[o] πότερον Φ et pr Ξ, πρότερον m.—[p] ἂν ἕλκον Κ, ἀνολκον q: in τ lacuna est.—[q] αὐτῷ...76, 6. ταῦτα om Φm.—[r] τὸ

αὗταί γε ἄτοποι] Vulgo αὐταί γε. Ficinus: *absurde profecto hæ ad animum interpretationes deveniunt.* Ast.

εἴτε ἓν] Ald. et Bas. 1. εἰ ἔν. Ast.

ἀχώριστά γε] Int. ὄντα; αὐτὰ, ἀχώριστά γε ὄντα, est: *si non distincta s.* separata essent. Ast.

τούτου] Int. τοῦ λογισμοῦ. Ast.

νοῦντος δὴ δέοι ἂν ἤδη καὶ ἀναγκάζοιτ' ἂν ἐν αὐτῷ[q] ψυχὴ ἀπορεῖν καὶ ζητεῖν, κινοῦσα ἐν ἑαυτῇ τὴν ἔννοιαν, καὶ ἀνερω-
II. 525. τᾶν τί ποτ' ἔστιν αὐτὸ τὸ[r] ἕν, καὶ οὕτω τῶν ἀγωγῶν[s] ἂν εἴη καὶ μεταστρεπτικῶν[t] ἐπὶ τὴν τοῦ ὄντος θέαν ἡ περὶ τὸ ἓν μάθησις. Ἀλλὰ μέντοι, ἔφη, τοῦτό γ' ἔχει οὐχ ἥκιστα ἡ[u] περὶ αὐτὸ[v] ὄψις· ἅμα γὰρ ταὐτὸν[w] ὡς ἕν τε ὁρῶμεν καὶ ὡς ἄπειρα τὸ πλῆθος. Οὐκοῦν εἴ περ τὸ ἕν, ἦν δ' ἐγώ, καὶ ξύμπας ἀριθμὸς ταὐτὸν[x] πέπονθε τοῦτο;[y] Πῶς δ' οὔ; Ἀλλὰ μὴν λογιστική τε καὶ ἀριθμητικὴ[z] περὶ
III. i. 346. ἀριθμὸν πᾶσα. Καὶ μάλα. Ταῦτα δέ γε φαίνεται ἀγωγὰ πρὸς ἀλήθειαν. Ὑπερφυῶς μὲν οὖν. Ὧν ζητοῦμεν ἄρα, ὡς ἔοικε, μαθημάτων ἂν εἴη· πολεμικῷ μὲν γὰρ διὰ τὰς τάξεις ἀναγκαῖον μαθεῖν ταῦτα, φιλοσόφῳ δὲ διὰ τὸ τῆς[a] οὐσίας ἅπτέον εἶναι γενέσεως ἐξαναδύντι, ἢ μηδέποτε λογιστικῷ γενέσθαι. Ἔστι ταῦτ', ἔφη. Ὁ δέ γε ἡμέτερος φύλαξ πολεμικός τε καὶ φιλόσοφος τυγχάνει ὤν. Τί μήν; Προσῆκον δὴ τὸ μάθημα ἂν εἴη, ὦ Γλαύκων, νομοθετῆσαι καὶ πείθειν τοὺς μέλλοντας ἐν τῇ πόλει τῶν μεγίστων μεθέξειν,[b] ἐπὶ λογιστικὴν ἰέναι καὶ ἁνθάπτεσθαι αὐτῆς[c] μὴ ἰδιωτικῶς, ἀλλ' ἕως ἂν ἐπὶ θέαν τῆς τῶν ἀριθμῶν φύσεως ἀφίκωνται τῇ νοήσει αὐτῇ,[d] οὐκ ὠνῆς οὐδὲ πράσεως χάριν ὡς ἐμπόρους ἢ καπήλους μελετῶντας, ἀλλ' ἕνεκα

om pr Ξ.—[s] ἀναγωγῶν DKq et corr Π.—[t] μετατρεπτικῶν Θυΐ, μετατρεπτικὸν Ξ.—[u] ἡ Κ.—[v] περὶ αὐτὸ υ et pr Ξ : περὶ τὸ αὐτὸ *σ.—[w] ταὐτὸ Ξ, τε αὐτὸ υ.—[x] ταὐτὸν ΑΠ : ταὐτὸ *σ.—[y] τούτωι Α, om ϒ.—[z] ἀριθμητική τε π. Κ.—[a] τῆς om υ.—[b] μέθεξιν Π et pr D.—[c] αὐτῶν Κ.—[d] αὐτῇ Ξ.—[e] ῥαστώνης τε μεταστροφῆς Α, ῥαστώ-

§. 8. *ἐν ἑαυτῇ*] Alia etiam est lectio, *κινοῦσα ἐν αὐτῇ τὴν ἔννοιαν*: sed *ἐν ἑαυτῇ* retineamus necesse est. Steph.

διὰ τὸ—ἅπτέον εἶναι] Int. *αὐτῷ*: *quia ipsi attingendi est essentia, ex rerum genitarum nocte quasi et antro emergenti.* Ast.

προσῆκον—νομοθετῆσαι] *Necessaria igitur erit scientia atque digna, quæ præscribatur.* Νομοθετῆσαι pro passivo positum est, ut solet activum post adjectiva vel participia adjectivorum partes agentia passivi munere fungi; sic δυνατὸν κατανοῆσαι (*intelligi*), Phædon. 90. B. Polit. ix. init. λοιπὸς σκέψασθαι. Thucyd. i. 138. ἄξιος θαυμάσαι. Vid. Hemsterhus. ad Lucian. t. i. p. 308. Brunck. ad Soph. Philoct. 1167. Morus ad Isocrat. Panegyr. p. 82. et 203. not. 89. Matthiæ Gr. Gr. p. 762. not. 2. et 766. Ast.

αὐτῆς] *αὐτῆς* ita positum est, ac si *μάθησις* præcesserit, quod dicendi genus supra jam aliquoties notavimus. Ast.

ψυχῆς] In præced. edit. male disting. inter *ψυχῆς* et *ῥαστώνης*: et omittitur vocula καὶ ante *μεταστροφῆς*. quam tamen nec Fic. videtur legisse: qui vertit, *Facileque animum a generatione ad veritatem essentiamque convertant.* Steph.

πολέμου τε καὶ αὐτῆς τῆς ψυχῆς ῥαστώνης τε μεταστροφῆς[e] ἀπὸ γενέσεως ἐπ' ἀλήθειάν τε καὶ οὐσίαν. Κάλλιστ', ἔφη, λέγεις. Καὶ μήν, ἦν δ' ἐγώ, νῦν καὶ ἐννοῶ ῥηθέντος τοῦ περὶ τοὺς λογισμοὺς μαθήματος, ὡς κομψόν ἐστι καὶ πολλαχῇ[f] χρήσιμον ἡμῖν πρὸς ὃ βουλόμεθα, ἐὰν τοῦ γνωρίζειν ἕνεκά τις αὐτὸ[g] ἐπιτηδεύῃ ἀλλὰ μὴ τοῦ καπηλεύειν. Πῇ δή; ἔφη. Τοῦτό γε ὃ νῦν δὴ ἐλέγομεν, ὡς σφόδρα ἄνω ποι[h] ἄγει τὴν ψυχὴν καὶ περὶ αὐτῶν τῶν III. i. 347.
ἀριθμῶν ἀναγκάζει διαλέγεσθαι, οὐδαμῇ ἀποδεχόμενον ἐάν τις αὐτῇ ὁρατὰ ἢ ἅπτὰ σώματα ἔχοντας[i] ἀριθμοὺς[k] προτεινόμενος διαλέγηται. οἶσθα γάρ που[l] τοὺς περὶ ταῦτα δεινούς, ὡς[m] ἐάν τις[n] αὐτὸ τὸ ἓν ἐπιχειρῇ τῷ λόγῳ τέμνειν, καταγελῶσί τε καὶ οὐκ ἀποδέχονται, ἀλλ' ἐὰν σὺ κερματίζῃς αὐτό, ἐκεῖνοι πολλαπλασιοῦσιν,[o] εὐλαβούμενοι μή ποτε φανῇ[p] τὸ ἓν μὴ ἕν[q] ἀλλὰ πολλὰ[r] μόρια. Ἀληθέστατα, ἔφη, λέγεις. Τί οὖν οἴει, ὦ Γλαύκων, εἴ τις ἔροιτο αὐτοὺς II. 526.
Ὦ θαυμάσιοι, περὶ ποίων ἀριθμῶν διαλέγεσθε, ἐν οἷς τὸ ἓν οἷον ὑμεῖς ἀξιοῦτέ[s] ἐστιν, ἴσον τε ἕκαστον πᾶν παντὶ καὶ οὐδὲ σμικρὸν διαφέρον, μόριόν τε ἔχον ἐν ἑαυτῷ οὐδέν; τί ἂν οἴει αὐτοὺς ἀποκρίνασθαι; Ταῦτο ἔγωγε, ὅτι περὶ τούτων λέγουσιν ὧν διανοηθῆναι μόνον ἐγχωρεῖ, ἄλλως δ' οὐδαμῶς μεταχειρίζεσθαι δυνατόν. Ὁρᾷς οὖν,[t] ἦν δ' ἐγώ, ὦ φίλε, ὅτι τῷ ὄντι ἀναγκαῖον ἡμῖν κινδυνεύει[u] εἶναι τὸ μάθημα, ἐπειδὴ φαίνεταί γε προσαναγκάζον αὐτῇ τῇ[v] νοήσει χρῆσθαι τὴν ψυχὴν[w] ἐπ' αὐτὴν τὴν ἀλήθειαν; Καὶ μὲν[x] δή, ἔφη, σφόδρα γε ποιεῖ αὐτό. Τί δέ;[y] τόδε ἤδη[z] ἐπεσκέψω, ὡς οἵ τε φύσει λογιστικοὶ[a] εἰς πάντα τὰ μα- III. i. 348.

νης μεταστροφῆς ΘΞΠDq: ῥαστώνης καὶ μεταστροφῆς *σ.—[f] πολλαχοῦ Κ, πολλαχοῖ q.—[g] αὐτῶ τ.—[h] ποι ΑΘΞΠστ: πη *σ.—[i] αὐτὸ ἐπὶ ὁρατὰ ἢ ἐπὶ τὰ ἅπτὰ σώματα ἔχοντα τ.—[k] ἀριθμὸν q.—[l] που om τ.—[m] δύο ὡς ΑΘΠ.—[n] τε q.—[o] πολυπλασιοῦσιν τ.—[p] φανῶ Κ.—[q] μὴ ἓν om q.—[r] πολλὰ om q.—[s] ἀξιοῦντες ἐστὲ Θτ, ἀξιοῦντε ἐστὶ Π.—[t] οὖν om pr Ξ.—[u] κινδυνεύει εἶναι ἀναγκαῖον ἡμῖν τ.—[v] τῇ om Α.—[w] τῇ ψυχῇ Θ.—[x] μὲν ΑΘΞΠστ: μὴν *σ.—[y] δαὶ Α.—[z] ἤδη om Κ.—[a] λογικοὶ τ.

ῥαστώνης μεταστροφῆς] Sic Ald. Bas. 1. et 2. Stephanus καὶ interposito sensum pervertit. Construe: ἕνεκα ῥαστώνης μεταστροφῆς αὐτῆς τῆς ψυχῆς cet. *propter facilitatem directionis animi ad verum.* Sic etiam Ficinus vertit: *sed ut ad bellum instructi sint, facileque animum a generatione ad veritatem essentiamque convertant.* Ast.

θήματα ὡς ἔπος εἰπεῖν ὀξεῖς φαίνονται,[b] οἵ τε βραδεῖς, ἂν[c] ἐν[d] τούτῳ παιδευθῶσι καὶ γυμνάσωνται, κἂν μηδὲν[e] ἄλλο ὠφεληθῶσιν, ὅμως εἴς γε τὸ ὀξύτεροι[f] αὐτοὶ αὑτῶν[g] γίγνεσθαι πάντες ἐπιδιδόασιν; Ἔστιν, ἔφη, οὕτως. Καὶ μήν, ὡς ἐγῷμαι, ἄ γε μείζω[h] πόνον παρέχει μανθάνοντι καὶ μελετῶντι, οὐκ ἂν ῥᾳδίως οὐδὲ πολλὰ ἂν εὕροις ὡς τοῦτο. Οὐ γὰρ οὖν. Πάντων δὴ ἕνεκα τούτων οὐκ ἀφετέον τὸ μάθημα, ἀλλ' οἱ ἄριστοι τὰς φύσεις παιδευτέοι ἐν αὐτῷ. Ξύμφημι, ἦ δ' ὅς.

§. 9. Τοῦτο μὲν τοίνυν, εἶπον, ἓν ἡμῖν[i] κείσθω· δεύτερον δὲ τὸ ἐχόμενον τούτου σκεψώμεθα ἆρα τί προσήκει ἡμῖν. Τὸ ποῖον; ἢ γεωμετρίαν, ἔφη, λέγεις; Αὐτὸ τοῦτο, ἦν δ' ἐγώ. Ὅσον μέν, ἔφη, πρὸς τὰ πολεμικὰ αὐτοῦ[k] τείνει,[l] δῆλον ὅτι προσήκει·[m] πρὸς γὰρ τὰς στρατοπεδεύσεις καὶ[n] καταλήψεις χωρίων[o] καὶ συναγωγὰς καὶ ἐκτάσεις[p] στρατιᾶς[q] καὶ ὅσα δὴ ἄλλα σχηματίζουσι[r] τὰ στρατόπεδα ἐν αὐταῖς τε[s] ταῖς μάχαις καὶ πορείαις, διαφέροι ἂν αὐτὸς αὑτοῦ[t] γεωμετρικὸς καὶ μὴ ὤν. Ἀλλ' οὖν δή,[u] εἶπον, πρὸς μὲν τὰ[v] τοιαῦτα βραχύ[w] τι ἂν ἐξαρκοῖ γεωμετρίας
III. i. 349. τε καὶ λογισμῶν[x] μόριον· τὸ δὲ πολὺ αὐτῆς καὶ πορρώτερω προϊὸν[y] σκοπεῖσθαι δεῖ, εἴ τι πρὸς ἐκεῖνο τείνει, πρὸς τὸ ποιεῖν κατιδεῖν ῥᾷον τὴν τοῦ ἀγαθοῦ ἰδέαν. τείνει[z] δέ, φαμέν, πάντα αὐτόσε, ὅσα ἀναγκάζει ψυχὴν εἰς ἐκεῖνον τὸν τόπον μεταστρέφεσθαι ἐν ᾧ ἐστὶ τὸ εὐδαιμονέστατον τοῦ ὄντος, ὃ[aa] δεῖ αὐτὴν παντὶ τρόπῳ ἰδεῖν. Ὀρθῶς, ἔφη, λέ-

—[b] φύονται ΑΠτϒ.—[c] ἐὰν Ξ.—[d] ἐν om v.—[e] μηδὲ Κ.—[f] ὀξύτερον v.—[g] ἑαυτῶν ϒ. —[h] μεῖζον ϒ.—[i] ἐν ἡμῖν εἶπον Θϒ: ἐν etiam Πν.—[k] αὐτοῦ ΑΘΞΠDKqvϒ: αὐτὰ σ. —[l] εἶ v.—[m] προσήκει om v.—[n] καὶ τὰς Θϒ et τε Ξ.—[o] τῶν χωρίων Κ.—[p] ἐκτὸς v. —[q] στρατείας Θν.—[r] σχηματίζουσα ϒ.—[s] τε om ΑΘD et pr Π.—[t] αὐτοῦ ΑΠDK: ἑαυτοῦ *σ.—[u] δὴ om pr Α.—[v] τὰ om Θ.—[w] τοιαῦτα βραχύ ΑΘΠDKq: τοιαῦτα καὶ βραχύ *σ.—[x] λογισμῶν ΑΘDKϒ, λογισμὸν pr Π: λογισμοῦ *σ.—[y] προσιὸν Α.—

§. 9. ἆρα τι] Sic Ald. Bas. 1. et 2. cum interpunctione post σκεψώμεθα. Ficinus: *post hoc—consideremus, numquid nobis conducat.* Legere etiam possis σκεψώμεθα ἄρα, τι, quod fortasse præstat. Ast.

αὐτὰ] Legitur etiam αὐτοῦ. ut sit ὅσον αὐτοῦ. q. d. ea ejus pars quæ ad res bellicas pertinet. Steph.

αὐτὴ] Int. γεωμετρία. Vulgo αὐτὰ, Bas. 2. vero αὐτοῦ, quod esset, ut Stephanus jam notavit, ea ejus pars, quæ ad res bellicas pertinet. Ast.

διαφέροι] *Vel optimus erit, si geometra est, vel rudissimus, si geometriæ imperitus.* De hac hominem secum ipso comparandi ratione jam supra exposuimus. Ast.

γεις.[b] Οὐκοῦν εἰ μὲν οὐσίαν ἀναγκάζει θεάσασθαι, προσήκει, εἰ[c] δὲ γένεσιν, οὐ προσήκει. Φαμέν γε δή. Οὐ τοίνυν τοῦτό γε,[d] ἦν δ' ἐγώ, ἀμφισβητήσουσιν ἡμῖν ὅσοι καὶ σμι- II. 527.
κρὰ γεωμετρίας ἔμπειροι, ὅτι αὕτη ἡ ἐπιστήμη πᾶν τοὐναντίον ἔχει τοῖς ἐν αὐτῇ λόγοις[e] λεγομένοις ὑπὸ[f] τῶν μεταχειριζομένων. Πῶς; ἔφη. Λέγουσι μέν που μάλα[g] γελοίως τε καὶ ἀναγκαίως· ὡς γὰρ πράττοντές τε καὶ πράξεως ἕνεκα πάντας τοὺς λόγους ποιούμενοι λέγουσι, τετραγωνίζειν τε καὶ παρατείνειν καὶ προστιθέναι, καὶ πάντα οὕτω[h] φθεγγόμενοι· τὸ δ' ἔστι που πᾶν τὸ μάθημα γνώσεως ἕνεκα ἐπιτηδευόμενον. Παντάπασι μὲν οὖν, ἔφη. Οὐκοῦν τοῦτο ἔτι διομολογητέον; Τὸ ποῖον;[i] Ὡς τοῦ[k] ἀεὶ ὄντος γνώσεως, ἀλλ' οὐ τοῦ ποτέ τι[l] γιγνομένου καὶ ἀπολλυμένου. Εὐομολόγητον,[m] ἔφη· τοῦ γὰρ[n] ἀεὶ ὄντος ἡ γεωμετρικὴ γνῶσίς ἐστιν. Ὀλκὸν[o] ἄρα, ὦ γενναῖε, ψυχῆς πρὸς ἀλήθειαν[p] εἴη ἂν καὶ ἀπεργαστικὸν φιλοσόφου διά- III. i. 350.
νοίας πρὸς τὸ ἄνω σχεῖν ἃ νῦν κάτω οὐ δέον ἔχομεν. Ὡς οἷόν τε μάλιστα, ἔφη. Ὡς οἷόν τ' ἄρα, ἦν δ' ἐγώ, μάλιστα προστακτέον ὅπως οἱ ἐν τῇ καλλιπόλει[q] σοι[r] μηδενὶ τρόπῳ γεωμετρίας ἀφέξονται.[s] καὶ γὰρ τὰ πάρεργα αὐτοῦ οὐ

[z] τείνειν Kq.—[a] οὖ A.—[b] λέγεις om ΘDKq et pr Πτ.—[c] εἰ...προσήκει om v.—[d] γε om Ξv.—[e] λόγοις om Ξ.—[f] λεγομένοις τοῖς ὑπὸ v.—[g] μάλιστα Ξv.—[h] οὗτοι Θ.—[i] τὸ ποῖον om q.—[k] ὡς τοῦ ΑΘΠDKqvτ et pr Ξ: ὡς τῆς τοῦ *s.—[l] τι om v.—[m] εὖ διομολογητέον A, διομολογητέον v.—[n] δὲ γ.—[o] ὁλκὸν Ar, ἕλκον corr Π cum *s.—[p] ψυχῆς πρὸς ἀλήθειαν ΑΠν, ψυχὴν πρὸς ἀλήθειαν ΘDKqτ: πρὸς ἀλήθειαν ψυχὴν *s.—[q] καλλιπόλει ADKvτ, καλλειπόλει Θ, καλῇ πόλει corr Π: καλλίστῃ πόλει *s.—[r] σοι ΑΘΞΠDKqτ: σου *s.—[s] ἀφέξωνται ΑΞΠDKqv.—[t] εἶπες Π.—

καλλίστῃ πόλει] In præced. editionibus καλλιπόλει, pro quo quidam vet. καλλίστῃ πόλει. Alioqui videri potuisset scribendum καλῇ πόλει. Sed superlativum gradum agnoscit et Fic. Steph.

ἐν τῇ καλλιπόλει] Sic Cod. Reg. et Venet. Καλλιπόλει exhibent quoque Ald. et Bas. 1. Cod. Venet. καλῃ πόλει (i. e. καλῇ πόλει, quod Stephano in mentem venit), Bas. 2. vero et Steph. scribunt καλλίστῃ πόλει (Ficinus, *ut qui præclarissimam hanc habitant civitatem*). Ut καλλιπόλει retinuerim, non solum adductus sum lepore et ironia, quam Socratis sermo prodit (haud dubie enim Plato h. l. æquales suos respexit, inter quos diversa sæpiusque ridicula de optimo civitatis statu eoque, quem ipse cogitatione finxerat philosophus, percrebuerant judicia) sed Themistii quoque imitatione Orat. xxi. p. 248. A. ἐν τῇ καλλιπόλει, sic et Orat. iii. p. 41. D. et 44. B. Καλλίπολιν vocat Constantinopolin. Ast.

σοῦ] Cur σοῦ rejiciamus, causa nulla est, quum pronomen personale tam crebro pro possessivo ponatur. Vid. ad Legg. i. 6. Ast.

ἀφέξονται] Ald. Bas. 1. et 2. ἀφέξωνται. Ast.

αὐτοῦ] Quomodo quis tueri possit genitivum αὐτοῦ non intelligo, quum ge-

σμικρά. Ποῖα; ἦ δ' ὅς. Ἃ τε δὴ σὺ εἶπες,[t] ἦν δ' ἐγώ, τὰ περὶ τὸν πόλεμον· καὶ δὴ καὶ[u] πρὸς πάσας μαθήσεις, ὥστε[v] κάλλιον ἀποδέχεσθαι, ἴσμεν[w] που ὅτι τῷ ὅλῳ καὶ παντὶ διοίσει ἠμμένος τε[x] γεωμετρίας καὶ μή. Τῷ παντὶ μέντοι[y] νὴ Δί', ἔφη. Δεύτερον[z] δὴ τοῦτο τιθῶμεν μάθημα τοῖς νέοις; Τιθῶμεν, ἔφη.

Τί δέ;[a] τρίτον θῶμεν ἀστρονομίαν; ἢ οὐ δοκεῖ; Ἐμοὶ γοῦν, ἔφη· τὸ γὰρ περὶ ὥρας εὐαισθητοτέρως ἔχειν καὶ μηνῶν καὶ ἐνιαυτῶν οὐ μόνον γεωργίᾳ οὐδὲ ναυτιλίᾳ προσήκει, ἀλλὰ καὶ στρατηγίᾳ οὐχ ἧττον. Ἡδὺς[b] εἶ, ἦν δ' ἐγώ, ὅτι ἔοικας δεδιότι τοὺς πολλούς, μὴ δοκῇς ἄχρηστα μαθήματα[c] προστάττειν. τὸ[d] δ' ἐστὶν οὐ πάνυ φαῦλον ἀλλὰ χαλεπὸν πιστεῦσαι, ὅτι ἐν τούτοις τοῖς μαθήμασιν ἑκάστοις[e] ὄργανόν τι[f] ψυχῆς ἐκκαθαίρεταί τε

[t] καὶ om ΘΠDKqτ.—[v] ὡς τὸ νε et pr Θ.—[w] ἴσως μὲν ν.—[x] τε καὶ ΘΠ.—[y] μὲν Ξν.—[z] δεύτερον...ἔφη om ΘDKq et pr τ.—[a] δαὶ A, δ' ἔφη τ.—[b] ὡς ἡδὺς DKq.—[c] ἄχρηστα τὰ μαθήματα K.—[d] τοῦτο ν.—[e] ἑκάστου ΑΠDKqντ et pr Θ.—[f] τε ν.—

nitivo opus sit qui *περὶ τῆς γεωμετρίας* dicatur, cujus nomen præcessit. Nec vero dubito quin scriptum ita fuerit in Fic. libro: qui hunc locum ita vertit, *quammaxime igitur præcipiendum est ut qui præclarissimam hanc habitant civitatem, nullo modo geometriam spernant; nam et quæ præter ipsius propositum quodammodo esse videntur, haud exigua sunt.* Ubi etiam observa illum lectionem margini a me adscriptam sequutum esse, καλλίστη πόλει. Steph.

τὰ πάρεργα αὐτῆς] Vulgo *τ. π. αὐτοῦ*, quod, quum *γεωμετρίας* modo præcesserit, locum habere nequit. Haud dubie *αὐτοῦ* enatum est ex *αὖτ'* et sequente *οὐ*. Ast. qui sic in Addend. 'Αὐτοῦ defendi potest: sæpenumero enim fit, ut substantiva, præsertim feminina, pronomen excipiat neutrum; vid. ad Legg. i. 14. Igitur *αὐτοῦ* est i. q. *τούτου τοῦ πράγματος*.'

ὥστε κάλλιον ἀποδέχεσθαι] Int. *αὐτὰς, ad facilius eas perdiscendas.* Præcedens *πρὸς* (*respectu ad s. in*) *πάσ. μαθήσεις* spectat ad *διοίσει*. Ast.

τῷ ὅλῳ καὶ παντὶ] *Omnium maxime*, vid. Polit. v. 15. ubi v. Schol. p. 165. vi. 486. A. Alcibiad. i. p. 109. B. *ὅλον τε καὶ πᾶν*. Vid. Coray. ad Heliodor. p. 163. Ast.

ὡς ἡδὺς εἶ] Sic Cod. Reg. Vulgo *ὡς* abest. Ficinus quoque: *quam mihi gratus* (imo: *lepidus*) *es!* De voce *ἡδὺς* jam supra exposuimus. Ast.

ἄχρηστα] Citavit hunc locum usque ad v. *δρᾶται* Nicomachus Arithmet. i. p. 7. *ἔοικε δεδιότι, μὴ ἄρα ἄχρηστον ταῦτα τὰ μαθήματα προστάττοιμι· τὸ δ' ἐστὶν παγχάλεπον, μᾶλλον δὲ ἀδύνατον· ὄμμα γὰρ τῆς ψυχῆς ὑπὸ τῶν ἄλλων ἐπιτηδευμάτων ἀποτυφλούμενον καὶ κατορυττόμενον διὰ τούτων μόνων ἀναζωπυρεῖται καὶ ἀνεγείρεται—μυρίων σωματικῶν ὀμμάτων· μόνῳ γὰρ αὐτῷ ἡ περὶ τοῦ παντὸς ἀλήθεια.* Cod. Reg. *ἄχρηστα τὰ μαθήματα* et *ἑκάστου* pro *ἑκάστοις*, quod Ficinus confirmat vertens, *instrumentum quoddam cujusque animi*, et Schol. Ruhnkenii. Ast.

ἐκκαθαίρεται] Frequenter respexerunt hunc locum seriores scriptores. Clemens Alexandr. Pædag. ii. 1. *τὸ ἴδιον τοῦ ἀνθρώπου τὸ ὄμμα τῆς ψυχῆς ἐκκαθαίρειν.* Synes. Dion. p. 47. D. *ἀλλά τοι ταῦτα πάντα κοσμεῖ τὸ ὄμμα ἐκεῖνο, καὶ ἀφαιρεῖ τὴν λήμην.*—Ἀναζωπυρεῖν est *suscitare*, quasi igniculos et semina vitæ (ζώπυρα, v. Ruhnken. ad Tim. p. 129.) excitare. Sic Charm. 156. D. Athen. xi. 21. t. iv. p. 216. Vid. Wetsten. ad ii. Timoth. i. 6. Ast.

καὶ ἀναζωπυρεῖται ἀπολλύμενον καὶ τυφλούμενον ὑπὸ τῶν ἄλλων ἐπιτηδευμάτων, κρεῖττον ὃν σωθῆναι μυρίων ὀμμάτων· μόνῳ γὰρ αὐτῷ ἀλήθεια ὁρᾶται. οἷς μὲν οὖν ταῦτα ξυνδοκεῖ ἀμηχάνως ὡς[g] εὖ δόξεις λέγειν, ὅσοι δὲ τούτου μηδαμῇ ἠσθημένοι εἰσίν, εἰκότως ἡγήσονταί σε λέγειν οὐδέν· ἄλλην γὰρ ἀπ' αὐτῶν οὐχ[h] ὁρῶσιν ἀξίαν λόγου ὠφέλειαν. σκόπει οὖν αὐτόθεν, πρὸς ποτέρους διαλέγει·[i] ἢ οὐ[k] πρὸς οὐδετέρους ἀλλὰ σαυτοῦ ἕνεκα τὸ μέγιστον ποιεῖ[l] τοὺς λόγους, φθονοῖς[m] μὴν[n] οὐδ' ἂν ἄλλῳ, εἴ τίς τι[o] δύναιτο ἀπ' αὐτῶν ὄνασθαι. Οὕτως,[p] ἔφη, αἱροῦμαι, ἐμαυτοῦ ἕνεκα τὸ πλεῖστον λέγειν τε καὶ ἐρωτᾶν καὶ ἀποκρίνεσθαι. [§. 10.] Ἄναγε[q] τοίνυν, ἦν δ' ἐγώ, εἰς τοὐπίσω· νῦν δὴ γὰρ οὐκ ὀρθῶς τὸ ἐξῆς ἐλάβομεν τῇ γεωμετρίᾳ.[r] Πῶς λαβόντες; ἔφη. Μετὰ ἐπίπεδον, ἦν δ' ἐγώ, ἐν[s] περιφορᾷ ὂν ἤδη στερεὸν λαβόντες, πρὶν αὐτὸ καθ' αὑτὸ λαβεῖν· ὀρθῶς δὲ ἔχει ἐξῆς μετὰ δευτέραν αὔξην τρίτην λαμβάνειν. ἔστι δέ που τοῦτο[t] περὶ τὴν τῶν κύβων αὔξην καὶ τὸ βάθους[u] μετέχον. Ἔστι γάρ, ἔφη· ἀλλὰ ταῦτά γε, ὦ Σώκρατες, δοκεῖ οὔπω[v] εὑρῆσθαι. Διττὰ γάρ, ἦν δ' ἐγώ, τὰ αἴτια· ὅτι[w] τε[x] οὐδεμία πόλις ἐντίμως αὐτὰ ἔχει, ἀσθενῶς[y] ζητεῖται[z] χαλεπὰ ὄντα, ἐπιστάτου τε[a] δέονται οἱ ζητοῦντες, ἄνευ οὗ[b] οὐκ ἂν εὕροιεν, ὃν πρῶτον[c] μὲν γενέσθαι χαλεπόν, ἔπειτα καὶ γενομένου, ὡς νῦν ἔχει, οὐκ ἂν πείθοιντο οἱ περὶ ταῦτα ζητητικοὶ μεγαλοφρονούμενοι. εἰ[d] δὲ

ΙΙΙ. i. 351.

ΙΙ. 528.

ΙΙΙ. i. 352.

[g] ὡς om DKq.—[h] οὐχ om r.—[i] διαλέγει v.—[k] οὐ om Ξv.—[l] ποιεῖ A, ποιῇς r.—[m] φθονεῖς Θ et corr Π, φθονεῖν s.—[n] μὴν ΑΘΠDKrΓ et corr Ξ: μέντοι *s.—[o] τι om K.—[p] οὕτως ΑΘΠDKqr: οὕτω γ' *s.—[q] ἄραγε K.—[r] τρία q.—[s] τὸ ἐν rc q.—[t] τοῦτο om v.—[u] βάθος Θr.—[v] δοκεῖ οὔπω ΑΘΠDKq: οὔπω δοκεῖ *s.—[w] ὅτι om v.—[x] τε om Θ et pr r.—[y] post ἀσθενῶς omisi τε cum ΑΘΞΠrΓ.—[z] ζητεῖτε Θ, ζητεῖτε r.—[a] τε om pr A.—[b] οὗ ἄνευ Ξv et corr r.—[c] τρόπον, in mg posito πρῶτον, εἶ

κρεῖττον—μυρίων ὀμμάτων] Plutarch. Sympos. viii. p. 718. E. τὸ μυρίων ἀντάξιον ὀμμάτων ὄργανον ψυχῆς. Iamblich. vit. Pythag. xvi. p. 58. καὶ ἀνεζωπύρει τὸ θεῖον ἐν αὐτῇ (τῇ ψυχῇ), καὶ ἀπέσωζε, καὶ περιῆγεν ἐπὶ τὸ νοητὸν τὸ θεῖον ὄμμα, κρεῖττον ὂν σωθῆναι, κατὰ τὸν Πλάτωνα, μυρίων σαρκίνων ὀμμάτων. Cf. Theon. Smyrn. Mathem. p. 5. Vid. Wyttenbach. ad Plutarch. de S. N. V. p. 91. Ast.

ὄνασθαι] Ald. Bas. 1. et 2. ὤνασθαι. Ast.

§. 10. ἄναγε] Int. τὸν λόγον, tanquam navem: imagine a navigatione sumta. Sic et Ficinus, *retrocede*. Ald. Ἄγε γε. Bas. 1. et 2. Ἄρα γε. Ast.

πόλις ὅλη ξυνεπιστατοῖ[e] ἐντίμως ἄγουσα αὐτά, οὗτοί τε ἂν πείθοιντο καὶ ξυνεχῶς[f] τε ἂν καὶ ἐντόνως[g] ζητούμενα ἐκφανῆ γένοιτο ὅπῃ ἔχει,[h] ἐπεὶ καὶ νῦν ὑπὸ μὲν[i] τῶν πολλῶν ἀτιμαζόμενα καὶ κολουόμενα,[k] ὑπὸ δὲ τῶν ζητούντων λόγον οὐκ ἐχόντων καθ' ὅ τι χρήσιμα, ὅμως πρὸς ἅπαντα ταῦτα βίᾳ ὑπὸ χάριτος αὐξάνεται,[l] καὶ οὐδὲν θαυμαστὸν αὐτὰ[m] φανῆναι. Καὶ μὲν δή, ἔφη, τό γε ἐπίχαρι καὶ διαφερόντως ἔχει. ἀλλά μοι σαφέστερον εἰπὲ ἃ νῦν δὴ ἔλεγες. τὴν μὲν γάρ που τοῦ ἐπιπέδου πραγματείαν γεωμετρίαν ἐτίθης.[n] Ναί, ἦν δ' ἐγώ. Εἶτά γ', ἔφη, τὸ μὲν πρῶτον ἀστρονομίαν μετ' αὐτήν,[o] ὕστερον δ' ἀνεχώρησας. Σπεύδων γάρ, ἔφην, ταχὺ πάντα διεξελθεῖν μᾶλλον βραδύνω· ἑξῆς γὰρ οὖσαν τὴν βάθους αὔξης[p] μέθοδον, ὅτι τῇ ζητήσει γελοίως ἔχει, ὑπερβὰς αὐτὴν μετὰ γεωμετρίαν ἀστρονομίαν ἔλεγον, φορὰν οὖσαν βάθους. Ὀρθῶς, ἔφη, λέγεις. Τέταρτον τοίνυν, ἦν δ' ἐγώ, τιθῶμεν μάθημα ἀστρονομίαν, ὡς ὑπαρχούσης τῆς νῦν παραλειπομένης, ἐὰν αὐτὴν πόλις
III. i. 353. μετίῃ. Εἰκός, ἦ δ' ὅς. καὶ ὅ γε νῦν δή μοι, ὦ Σώκρατες, ἐπέπληξας περὶ ἀστρονομίας ὡς φορτικῶς ἐπαινοῦντι, νῦν ᾗ
II. 529. σὺ μετέρχει[q] ἐπαινῶ. παντὶ γάρ μοι δοκεῖ δῆλον[r] ὅτι αὕτη γε ἀναγκάζει ψυχὴν εἰς τὸ ἄνω ὁρᾷν καὶ ἀπὸ τῶν ἐνθένδε ἐκεῖσε ἄγει. Ἴσως, ἦν δ' ἐγώ, παντὶ δῆλον πλὴν ἐμοί· ἐμοὶ γὰρ οὐ δοκεῖ οὕτως. Ἀλλὰ πῶς; ἔφη. Ὡς μὲν νῦν αὐτὴν μεταχειρίζονται οἱ εἰς φιλοσοφίαν ἀνάγοντες, πάνυ ποιεῖν κάτω βλέπειν. Πῶς, ἔφη, λέγεις; Οὐκ ἀγεννῶς μοι δοκεῖς, ἦν δ' ἐγώ, τὴν περὶ τὰ ἄνω μάθησιν λαμ-

D.—[d] εἰ...πείθοιντο om q.—[e] ξυνεπιστατεῖ r.—[f] καίτοι ξυνεχῶς rc q.—[g] ἐμπόνως DKq, ευτόνως v.—[h] ἔχοι q.—[i] μὲν om ΑΘΠDKq et pr r.—[k] κωλυόμενα v et pr Ξ.—[l] αὐξάνεσθαι Φ.—[m] ταῦτα Φm.—[n] ἐτίθης ΑΠΦqm: ἐτίθεις ς.—[o] μετὰ ταύτην ΑΞvm et, qui postponit ἀστρονομίαν, Φ.—[p] αὔξην r, αὔξησιν r.—[q] σὺ μετ. ΑΘΞΦΚ

πρὸς ἅπαντα] *His omnibus contra nitentibus* s. his omnibus invitis crescunt per amorem, quo studiosos capiunt. Ficinus vertit, *tamen vi gratiæ cujusdam valent.*—In sequentibus ταῦτα (sic Cod. Monac. Vulgo αὐτὰ) φανῆναι, desidero οὕτω, quod Ficinus expressit: *neque mirum, si hæc ita apparuerint.* Ast.

μετ' αὐτὴν] Int. ἐτίθεις. Bas. 2. μετὰ ταύτην. Ast.

γελοίως ἔχει] Bas. 2. γελοῖος. Ast.

μετίῃ] Ald. μετείη. Bas. 1. et 2. μετείῃ. Ast.

σὺ μετέρχει] Sic Cod. Reg. et Monac. nisi quod μετέρχῃ exhibent. Vulgo συμμετέρχῃ. Sensus est, *ea ratione, qua tu eam tractas* (ut μετελθεῖν τὸν λόγον Phæd. p. 375. Fisch.) s. consideras. Ast.

βάνειν παρὰ σαυτῷ ἢ[s] ἐστι· κινδυνεύεις[t] γὰρ καὶ εἴ τις ἐν ὀροφῇ ποικίλματα θεώμενος ἀνακύπτων καταμανθάνοι[u] τι, ἡγεῖσθαι ἂν αὐτὸν[v] νοήσει[w] ἀλλ' οὐκ ὄμμασιν θεωρεῖν. ἴσως οὖν καλῶς ἡγεῖ,[x] ἐγὼ δ' εὐηθικῶς. ἐγὼ γὰρ αὖ οὐ δύναμαι ἄλλο τι νομίσαι ἄνω ποιοῦν ψυχὴν βλέπειν μάθημα ἢ ἐκεῖνο ὃ ἂν περὶ τὸ ὂν τε ἢ καὶ τὸ ἀόρατον,[y] ἐάν τέ[z] τις ἄνω κεχηνὼς ἢ[a] κάτω συμμεμυκὼς[b] τούτων[c] τι μανθάνῃ· ἐὰν δ' ἄνω που κεχηνὼς ὁτιοῦν τῶν αἰσθητῶν ἐπιχειρῇ μανθάνειν, οὔτε μαθεῖν ἄν ποτέ[d] φημι αὐτόν, ἐπιστήμην γὰρ οὐδὲν ἔχειν[e] τῶν τοιούτων,[f] οὔτε ἄνω ἀλλὰ[g] κάτω αὐτοῦ βλέπειν τὴν ψυχήν, κἂν ἐξ ὑπτίας νέων[h] ἐν γῇ ἢ ἐν θαλάττῃ μανθάνῃ. [§. 11.] Δίκην, ἔφη, ἔχω· ὀρθῶς γάρ μοι III. i. 354.
ἐπέπληξας. ἀλλὰ πῶς δὴ ἔλεγες δεῖν ἀστρονομίαν μανθάνειν παρὰ[i] ἃ νῦν μανθάνουσιν, εἰ μέλλοιεν[k] ὠφελίμως πρὸς ἃ λέγομεν[l] μαθήσεσθαι; Ὧδε, ἦν δ' ἐγώ. ταῦτα μὲν τὰ

quum: *συμμετέρχῃ* s.—[r] δῆλον εἶναι Φ.—[s] ἦ ΠΚ et corr A.—[t] *κινδυνεύει* v.—[u] *καταμανθάνει* Ξ, *καταλαμβάνει* r.—[v] *αυτὴν* K.—[w] *νοήσει* Kv et corr Φ, *νοεῖν τι* Ξ: *νοήσειν* *s.—[x] *ἡγεῖ* D.—[y] *ὁρατὸν* K.—[z] *ἐὰν δέ* v.—[a] *ἢ ἐάν τε* Φ.—[b] *μεμυκὼς* r, *νενευκὼς* corr ΘΞ.—[c] *τούτων...ἐπιχειρῇ μανθάνειν* q, *εἰ δέ τις αἰσθητῶν πέρι μανθάνειν ἐπιχειρεῖ* Φ, *τῶν αἰσθητῶν τι ἐπιχειρῇ μανθάνειν* ΘΠDK, *τῶν αἰσθητῶν ἐπιχειρῇ τε μανθάνειν* v, *τῶν αἰσθητῶν ἐπιχειρῇ τι μανθάνειν* *s.—[d] *ποτε* om v.—[e] *ἔχει* v.—[f] *τὸν τοιοῦτον* ΞΦmr.—[g] *οὔτε* v.—[h] *ναίων* ΘΞr, *νεῶν* DK, *μὲν* Am, *μὴν*

νοήσειν] Videndum annon scribendum sit *νοεῖν*, ut sequitur *θεωρεῖν*. Steph.

ποιοῦν] Heind. ad Theæt. §. 83. scribi jubebat *ποιεῖν*; sed *νομίζειν* frequenter cum participio loco infinitivi conjungitur, ut Xenoph. Anabas. vi. 6. 13. *νόμιζε, ἐὰν ἐμὲ ἀποκτείνῃς—ἀγαθὸν ἀποκτενόν*. De Lacedemonior. Republ. i. §. 6. *τοῦτο συμφέρον τῇ εὐγονίᾳ νομίζων*. Ast.

τὸν τοιοῦτον] Sic Cod. Monac. Vulgo *τῶν τοιούτων*. Ficinus quoque: *Scientiam enim adipisci hunc nego*. Ast.

νέων] Lectionem hanc *νέων* minime mutandam esse puto in *νέον*, id est *novum*: neque etiam exponendum *νέων*, *habitans*: (ut quidam tamen vertit, *habitans in terra, aut mari:* quum pro *habitare* non dicatur *νέειν*, sed *ναίειν*: hoc autem omnino poeticum sit) sed *natans*, quum hæc sit vocis hujus significatio. Sed tamen ne Fic. quidem (quod miror) illam significationem ei dedit: qui locum hunc ita vertit, *Quod siquis sursum inhians, nunquam conversus deorsum, sensibile aliquid percipere studet, discere ipsum nequaquam assero: scientiam enim adipisci hunc nego, et ejus animum non sursum sed deorsum aspicere censeo: etiamsi resupinus in terræ littore vel maris æquore jacens quicquam perceperit.* Steph.

ἐξ ὑπτίας νέων] Ab urinatorum arte petitum est (ut Phædr. c. 47. ubi vid. not. p. 357, Cf. Pollux vii. 138. p. 787.) proverbium, quo perversa rei tractatio ac consideratio significatur. Ἐξ *ὑπτίας νέων* nihil aliud est nisi *supinus*. Ast.

§. 11. *δίκην ἔχω*] *Pœnam subeo*. Δίκην ἔχειν, i. q. *ὑπέχειν*, est *pœnam subire*, ut Xenoph. Anabas. ii. 5. 11. 13. Ast.

παρὰ ἃ] Est *aliter quam*, alia methodo, v. Fischer. ad Weller. t. iii. p. ii. 269. Ast.

μέλλοιεν] Ficinus videtur *μέλλοιμεν* legisse, quod placet; sic enim vertit, *si ejus nobis cognitio sit ad ea, quæ dicimus, profutura*. Ast.

ἐν τῷ[m] οὐρανῷ ποικίλματα, ἐπεί περ ἐν ὁρατῷ[n] πεποίκιλται, κάλλιστα μὲν ἡγεῖσθαι καὶ ἀκριβέστατα τῶν τοιούτων[o] ἔχειν, τῶν δὲ ἀληθινῶν[p] πολὺ ἐνδεῖν, ἃς[q] τὸ ὂν τάχος καὶ ἡ οὖσα βραδυτὴς ἐν τῷ ἀληθινῷ ἀριθμῷ καὶ πᾶσι τοῖς ἀληθέσι σχήμασι φοράς τε πρὸς ἄλληλα φέρεται καὶ τὰ ἐνόντα φέρει. ἃ δὴ λόγῳ μὲν καὶ διανοίᾳ ληπτά,[r] ὄψει δ' οὔ. ἢ σὺ οἴει; Οὐδαμῶς, ἔφη.[s] Οὐκοῦν, εἶπον, τῇ περὶ τὸν οὐρανὸν ποικιλίᾳ παραδείγμασι[t] χρηστέον τῆς πρὸς ἐκεῖνα μαθήσεως ἕνεκα, ὁμοίως ὥς περ ἂν εἴ τις ἐντύχοι[u] ὑπὸ Δαιδάλου ἢ τινος ἄλλου δημιουργοῦ ἢ γραφέως διαφερόντως γεγραμμένοις καὶ ἐκπεπονημένοις διαγράμμασιν. ἡγήσαιτο γὰρ ἄν πού τις ἔμπειρος γεωμετρίας, ἰδὼν τὰ τοιαῦτα, κάλλιστα[v] μὲν ἔχειν ἀπεργασίᾳ,[w] γελοῖον μὴν[x] ἐπισκοπεῖν ταῦτα[y] σπουδῇ[z] ὡς[a] τὴν ἀλήθειαν ἐν αὐτοῖς λη-
II. 530. ψόμενον[b] ἴσων ἢ διπλασίων ἢ ἄλλης τινὸς συμμετρίας. Τί δ' οὐ[c] μέλλει γελοῖον εἶναι;[d] ἔφη. Τῷ[e] ὄντι δὴ[f]

Φ.—[l] πρὸς Κ.—[k] μέλλοι m.—[l] λέγοιμεν ν.—[m] τῷ om m.—[n] οὐρανῷ Κ.—[o] τὸν τοιοῦτον Φm.—[p] τὸν δὲ ἀληθινὸν Φ.—[q] ὃ ν.—[r] λεπτά Φ.—[s] οὐδαμῶς ἔφη ΑΘΠΦD Kmr, om q : οὐδαμῶς γ' ἔφη *s.—[t] παραδείγμασι ΑΘΞΠDKqvm : παραδείγματι s.—[u] ἐντύχῃ r.—[v] κάλλιστον Φ.—[w] ἀπεργασίαν ν.—[x] μὴν ΑΘΠΦDKqr et γρ Ξ. μὲν vm : μέντοι s.—[y] αὐτὰ ΘΠDKqvr et γρ Ξ.—[z] σπουδῇ om Θr, pro γρ habet Ξ.—[a] ὡς εσθαι πρὸς Θ, πρὸς ΠDK, πρὸς τὸ r.—[b] ληψομενον Π, ληψόμενον ἢ ν.—[c] οὐ om r.—[d] εἶναι om m.—[e] τὸ τῶ r, τὸν τῶ q.—[f] δὲ Φ.—[g] ὄντα ἦν δ' ἐγὼ Φ.—[h] οὐκ...πεί-

ἐν ὁρατῷ] Cod. Reg. ἐν οὐρανῷ ; vitiosa præcedentis repetitio. Ceterum ad ἡγεῖσθαι int. λέγω δεῖν, et ad τῶν τοιούτων suppl. ἐν ὁρατῷ ὄντων. Ast.

ἃς—φοράς] Admodum offendunt hæc, quæ, quomodo cum præcedentibus cohæreant, difficile est dictu. Primum enim, si ἃς—φοράς ad præcedens τῶν ἀληθινῶν traxeris (et nihil aliud est, quo referri possit), ad τ. ἀληθινῶν ex sequentibus ἃς φοράς supplendum erit φορῶν, quod durum et pæne intolerabile esset; sensus enim τῶν ἀληθινῶν neutrum esse clamat. Altera accedit difficultas : quomodo τὸ τάχος et ἡ βραδυτὴς (vulgo scribitur βραδύτης ; vid. Eustath. Iliad. H. 539. 19. Boissonad. ad Philostrat. p. 335. et Bast. Epist. Critic. p. 240.) dici possunt φοράς τε πρὸς ἄλληλα φέρεσθαι et τὰ ἐνόντα (*quænam in celeritate et tarditate insint*) φέρειν? Manifestum est, verba φοράς τε πρὸς ἄλληλα φέρεται καὶ τὰ ἐνόντα φέρει non ad celeritatem et tarditatem, sed ad ipsa sidera esse referenda. Ni fallor, hoc vel simili modo scribendum est : ὧν τὸ ὂν τάχος καὶ ἡ οὖσα βραδυτὴς καὶ ἐν τῷ ἀληθινῷ ἀριθμῷ —φέρει : *quorum* (τῶν ἀληθινῶν) *vera est celeritas veraque tarditas* (talis, qualis esse debet), *et quæ in vero numero verisque figuris ad se invicem feruntur eaque, quæ complectuntur, ferunt.* Καὶ pro καὶ ἃ, prægresso ὧν, positum est, ut centies alibi, v. Ducker. ad Thucyd. viii. 73. Wesseling. ad Diod. Sicul. xv. 25. t. ii. p. 277. Oblitterato καὶ post βραδυτὴς et verbis in unam orationem contractis, φοράς pro voce principali habebatur ; quocirca ὧν mutabatur in ἃς—Mox ἃ est *ea quæ*. Ast.

παραδείγματι] Ald. Bas. 1. 2. et Cod. Reg. παραδείγμασι. Ast.

πρὸς ἐκεῖνα μαθήσεως] πρὸς est i. q. *de, ratione*, genitivi circumlocutio ; vid. Fischer. ad Weller. t. iii. p. ii. p. 260. 262. Ast.

ἀστρονομικόν, ἦν δ' ἐγώ, ὄνται[g] οὐκ[h] οἴει ταὐτὸν[i] πείσεσθαι εἰς τὰς τῶν ἄστρων φορὰς ἀποβλέποντα; νομιεῖν μέν, ὡς οἷόν τε κάλλιστα τὰ τοιαῦτα ἔργα συστήσασθαι,[k] οὕτω ξυνεστάναι τῷ τοῦ οὐρανοῦ δημιουργῷ αὐτόν τε καὶ τὰ ἐν αὐτῷ· τὴν δὲ νυκτὸς πρὸς ἡμέραν ξυμμετρίαν καὶ τούτων πρὸς μῆνα καὶ μηνὸς πρὸς ἐνιαυτὸν καὶ τῶν ἄλλων ἄστρων πρός τε ταῦτα καὶ πρὸς ἄλληλα, οὐκ ἄτοπον, οἴει,[l] ἡγήσεταί[m] τὸν νομίζοντα γίγνεσθαί τε ταῦτα ἀεὶ ὡσαύτως καὶ οὐδαμῇ οὐδὲν παραλλάττειν, σῶμά τε ἔχοντα καὶ ὁρώμενα, καὶ[n] ζητεῖν παντὶ τρόπῳ τὴν ἀλήθειαν αὐτῶν[o] λαβεῖν; Ἐμοὶ γοῦν δοκεῖ, ἔφη, σοῦ νῦν ἀκούοντι.[p] Προβλήμασιν ἄρ', ἦν δ' ἐγώ, χρώμενοι ὥς περ γεωμετρίαν, οὕτω καὶ ἀστρονομίαν μέτιμεν· τὰ δ' ἐν τῷ οὐρανῷ ἐάσομεν,[q] εἰ μέλλομεν[r] ὄντως ἀστρονομίας μεταλαμβάνοντες χρήσιμον τὸ φύσει φρόνιμον ἐν τῇ ψυχῇ ἐξ[s] ἀχρήστου[t] ποιήσειν. Ἦ πολλαπλάσιον, ἔφη, τὸ ἔργον ἢ ὡς νῦν ἀστρονομεῖται προστάττεις. Οἶμαι δέ γε, εἶπον, καὶ τἆλλα κατὰ τὸν αὐτὸν τρόπον[u] προστάξειν ἡμᾶς, ἐάν τι ἡμῶν ὡς νομοθετῶν ὄφελος[v] ᾖ.

Ἀλλὰ γὰρ τί ἔχεις ὑπομνῆσαι τῶν προσηκόντων μαθημάτων; Οὐκ ἔχω, ἔφη,[w] νῦν γ' οὑτωσί. Οὐ μὴν[x] ἐν ἀλλὰ πλείω, ἦν δ' ἐγώ, εἴδη[y] παρέχεται ἡ φορά, ὡς ἐγὼ-

iii. i. 355.

iii. i. 356.

σεσθαι om r.—[i] ταυτὸ Π, αὐτὸ Θ.—[k] πήσεσθαι Κ.—[l] οἴει εἰ τε Π.—[m] ἡγήσεσθαι qv.—[n] καὶ ante ζητεῖν om v.—[o] αὐτῶ r.—[p] ἀκούοντος Κ.—[q] ἐάσωμεν DKvr.—[r] μέλλοιμεν Φr et corr Π, μέλλοντες m.—[s] πρὸς v.—[t] ἀρχῆς τοῦ Θ, ἀρχῆς τω r, ἀρχῆς Κη.—[u] λόγον Ξ.—[v] ὄφελος ὡς νομοθ. Θr.—[w] ἔχω ἔφη ΑΘΞΠΦυτm, ἔγωγ'

τῷ ὄντι δή] Cod. Monac. δέ. Ficinus: *idem quoque facturum puta verum astronomum.* Mox vice οὕτω Ald. Bas. 1. et 2. οὐ τῷ. Ast.

οὐκ, ἄτοπον, οἴει, ἡγήσεται] Sic distinxi: ordo verborum est: οὐκ οἴει, ἡγήσεται ἄτοπον (εἶναι) τὸν νομίζοντα ταῦτα ἀεὶ ὡσαύτως γίγνεσθαι—καὶ (ἄτοπον ἡγήσεται) ζητεῖν τ. ἀλήθειαν αὐτῶν λαβεῖν. Ast.

ἐάσομεν] Ald. Bas. 1. et Cod. Reg. ἐάσωμεν. Mox Cod. Mon. μέλλοιμεν, vitiose. Ast.

προστάσσεις] Veteris Atticismi formam pro προστάττεις e Cod. Regio reposuimus. Ast.

οὐκ ἔχω γε νῦν γ'] Cod. Reg. γ' tam post ἔχω quam ante οὑτωσί omittit. Duplex γὲ sæpius invenitur apud Tragicos et Platonem, ut Polit. iii. p. 389. D. ἐάν γε—ἐπί γε λόγῳ ἔργα τελῆται. Phædr. c. 19. καίτοι γε ᾤμην γε μεσοῦν αὐτόν. Vid. Valckenar. ad Eurip. Phœniss. 557. Heind. ad Euthydem. p. 319. et Lobeck. ad Sophocl. Aj. 303. Scilicet prius γὲ est affirmativum, quocirca in responsione usurpari solet (v. Boissonad. ad Philostrat. p. 306.), alterum vero limitat: *saltem, quidem* (v. Valcken. l. c.) Hinc γὲ cum οὐκ h. l. est fortior negatio, *neutiquam.* Ast.

εἴδη] Cod. Monac. ἤδη, solemnis per-

μαι. τὰ μὲν οὖν πάντα ἴσως, ὅς τις σοφός, ἕξει εἰπεῖν· ἃ δὲ καὶ ἡμῖν προφανῆ, δύο. Ποῖα δή; Πρὸς τούτῳ,[z] ἦν δ' ἐγώ, ἀντίστροφον αὐτοῦ. Τὸ ποῖον; Κινδυνεύει, ἔφην, ὡς πρὸς ἀστρονομίαν ὄμματα πέπηγεν, ὥς[a] πρὸς ἐναρμόνιον φορὰν ὦτα παγῆναι, καὶ αὗται ἀλλήλων ἀδελφαί τινες αἱ ἐπιστῆμαι εἶναι,[b] ὡς οἵ τε Πυθαγόρειοί φασι καὶ ἡμεῖς,[c] ὦ Γλαύκων, συγχωροῦμεν. ἢ πῶς ποιοῦμεν;[d] Οὕτως, ἔφη. [§. 12.] Οὐκοῦν, ἦν δ' ἐγώ, ἐπειδὴ πολὺ τὸ ἔργον, ἐκείνων πευσόμεθα πῶς λέγουσι περὶ αὐτῶν καὶ εἴ τι ἄλλο πρὸς τούτοις· ἡμεῖς δὲ παρὰ πάντα ταῦτα[e] φυλάξομεν[f] τὸ ἡμέτερον. Ποῖον; Μή ποτ'[g] αὐτῶν τι ἀτελὲς ἐπιχειρῶσιν ἡμῖν μανθάνειν οὓς θρέψομεν, καὶ οὐκ ἐξῆκον ἐκεῖσε ἀεὶ οἷ πάντα δεῖ[h] ἀφήκειν, οἷον ἄρτι περὶ τῆς ἀστρονομίας ἐλέγομεν. ἢ οὐκ οἶσθ' ὅτι καὶ περὶ ἁρμονίας
II. 531. ἕτερον τοιοῦτον[i] ποιοῦσι; τὰς γὰρ ἀκουομένας αὖ συμφω-

ἔφη q : ἔχω γ' ἔφη s.—[x] μόνον m.—[y] ἤδη vm.—[z] τοῦτο Θ, τοῦτο vr.—[a] οὕτω corr Π, οὕτως v.—[b] εἶεν K.—[c] ὑμεῖς Ξ.—[d] ποιῶμεν Ξv.—[e] πάντα ταῦτα ΑΞΦqvm : ταῦτα πάντα s.—[f] φυλάξωμεν Ξ, φυλάξωμεν v.—[g] τ' r.—[h] δὴ Ξm.—[i] τοιοῦτο Φ.

mutatio. Ast.

πρὸς τούτῳ] Int. ἀστρονομικῷ εἴδει: præter astronomicum motus (φορὰς) genus alterum dicere possum ex altera parte ipsi respondens. De voce ἀντίστροφος supra exposuimus. Ast.

αἱ ἐπιστῆμαι] Sententia erat nobilissima Pythagoreorum, musicam esse cœlestis harmoniæ imitationem. Cicero in Somn. Scipionis: 'illi autem octo cursus, in quibus eadem vis est duorum, septem efficiunt distinctos intervallis sonos, qui numerus rerum omnium fere modus est: quod docti homines nervis imitati atque cantibus, aperuerunt sibi reditum in hunc locum.' Cf. Censorin. de Die Natal. c. 13. ubi cf. Lindenbrogio p. 58. laudata. Mundum ipsum ad harmoniam canere (Plat. Cratyl. 405. D. Aristot. de Cœl. ii. 9. Cicer. de Nat. Deor. iii. 11. Plin. Hist. Nat. ii. 22. Sext. Empir. adv. Music. vi. §. 30. Ptolem. Harmonic. iii. 8. Chalcid. p. 156.) Pythagoreorum erat decretum. Vid. Gesner. ad Orph. Hymn. xxxiv. 17. p. 296. ed. Herm. Ast.

§. 12. μή ποτ' αὐτῶν τι] Laudat Euseb. Præp. Evang. xiv. 13. p. 746. D. ubi πάντας et ἀνήκειν scriptum reperitur. Deinde ἢ pro ἦ scripsimus, sensu postulante et Ficino suadente, ut qui verterit, *an ignoras*. Ast.

ἀφήκειν] Apud Eusebium legitur ἀνήκειν, quinetiam πάντας pro πάντα. Sed ἀνήκειν quidem recipi potest, at πάντας non item. Steph.

πονοῦσι] Apud eundem legitur ποιοῦσι, sicut et in præced. editionibus: sed minime dubium est quin πονοῦσι, lectio sit genuina: quam et Fic. sequitur, in his verbis, *irrito labore, quemadmodum astronomi, tempus conterunt*. Sæpe autem hic error occurrit, verbi ποιεῖν pro πονεῖν positi. Sed hic occasionem errandi præbere librario potuit et verbum idem ποιοῦσι, quod paucissimis verbis interjectis præcedit. Ceterum ne hoc quidem omittendum est, pro ἀστρονόμοι in quodam vet. libro legi ἀστρολόγοι. Steph.

πονοῦσι] Hoc Stephano debemus. Sic de Legg. v. 735. B. μάταιος—ὁ πόνος καὶ ἀνήνυτος. Ast.

νίας καὶ φθόγγους ἀλλήλοις ἀναμετροῦντες[k] ἀνήνυτα,[l] ὥς περ οἱ ἀστρονόμοι, πονοῦσιν.[m] Νὴ τοὺς θεούς, ἔφη, καὶ γελοίως[n] γε, πυκνώματ' ἄττα ὀνομάζοντες καὶ παραβάλλοντες τὰ ὦτα, οἷον ἐκ γειτόνων φωνὴν θηρευόμενοι, οἱ μέν III. i. 357.
φασιν ἔτι[o] κατακούειν ἐν μέσῳ τινὰ ἠχὴν καὶ σμικρότατον εἶναι τοῦτο διάστημα ᾧ[p] μετρητέον, οἱ δὲ ἀμφισβητοῦντες ὡς ὅμοιον ἤδη φθεγγομένων,[q] ἀμφότεροι ὦτα τοῦ νοῦ προστησάμενοι.[r] Σὺ μέν, ἦν δ' ἐγώ, τοὺς χρηστοὺς λέγεις τοὺς ταῖς χορδαῖς πράγματα παρέχοντας καὶ βασανίζοντας, ἐπὶ τῶν κολλόπων[s] στρεβλοῦντας. ἵνα δὲ μὴ μακροτέρα ἡ εἰκὼν γίγνηται πλήκτρῳ τε πληγῶν γιγνομένων καὶ κατηγορίας πέρι καὶ ἐξαρνήσεως καὶ ἀλαζονείας χορδῶν, παύομαι τῆς εἰκόνος καὶ οὔ φημι τούτους λέγειν, ἀλλ' ἐκείνους οὓς ἔφαμεν[t] νῦν δὴ[u] περὶ ἁρμονίας ἐρήσεσθαι.[v] ταὐτὸν γὰρ ποιοῦσι τοῖς ἐν τῇ ἀστρονομίᾳ· τοὺς γὰρ ἐν ταύταις ταῖς[w] συμφωνίαις ταῖς ἀκουομέναις ἀριθμοὺς ζητοῦσιν, ἀλλ' οὐκ εἰς προβλήματα ἀνίασιν,[x] ἐπισκοπεῖν τίνες ξύμφωνοι ἀριθ-

η υ

—[k] μετροῦντες Ξ.—[l] ἀνονητα v.—[m] ποιοῦσι ΞDKqr.—[n] γελοῖά v.—[o] ὅτι K, om v. —[p] ὡς Θr.—[q] φθεγγόμενον Ξm.—[r] προησάμενοι v.—[s] καλλόπων r.—[t] φαμὲν v.—[u] δὲ q.—[v] ἐρήσεσθαι ΑΘΞΠφqv et corr m: αἱρήσεσθαι s.—[w] ταῖς om q.—[x] ἀνιᾶ-

πυκνώματα] Sunt *frequentamenta* (v. Gellii Noct. Attic. i. 11. v. 1.) i. e. frequentes chordarum pulsationes soni experiendi causa. Ast.

ἀμφότεροι] Hic vero videndum an Eusebianæ lectioni assentiri debeamus: ea autem est *ἀμφότερα*, pro *ἀμφότεροι*, quod hic habemus. Primo quidem certe aspectu placere possit *ἀμφότερα*, ut jungatur cum *ὦτα*: sed quum de duobus hominum generibus (ut ita dicam) verba fecerit (dixit enim, *οἱ μὲν φασιν ἔτι κατακούειν* etc. *οἱ δὲ, ἀμφισβητοῦντες* etc.) magis placet *ἀμφότεροι*. Steph.

βασανίζοντας] Apud eundem post *βασανίζοντας* non est hypostigme; jungitur enim cum sequentibus: et ante *στρεβλοῦντας* est particula *καί*: hoc modo, *καὶ βασανίζοντας ἐπὶ κολλόπων καὶ στρεβλοῦντας*. Steph.

στρεβλοῦντας] Eusebius *καὶ* ante *στρεβλοῦντας* legit, quod, si adjiciendum esset, certe ante *ἐπὶ τῶν κολλόπων* poni deberet, ut Ficinus videtur legisse vertens, *qui chordas jugiter vexant examinantque et claviculis pulsationes contorquent*. Sed *στρεβλοῦντας ἐπὶ τ. κολλ.* participio *βασανίζοντας* appositum est explicationis causa; significat enim hoc, quo *τὸ βασανίζειν* efficitur. Ast.

λέγειν] Est *intelligere*: non hos (musicos empiricos) me intelligere dico, sed illos (harmoniæ veræ peritos). De organicorum et harmonicorum, qui dicebantur, differentia vid. Bulliald. ad Theon. Smyrn. p. 202. Ast.

αἱρήσεσθαι] Apud Eusebium legitur *εἰρῆσθαι*. Steph.

ἐρήσεσθαι] Hoc Codici Monac. debemus pro *αἱρήσεσθαι*, respiciuntur enim verba illa in præcedentibus: *πευσόμεθα, πῶς λέγουσι περὶ αὐτῶν*. Nec aliter Ficinus legit, qui vertit: *sed illos potius, ut de harmonia dicant, rogandos*.—In sequentibus *ταυτὸν γὰρ ποιοῦσι* subjectum, quod dicitur, est *οὗτοι*, e prægresso *τούτους* petendum. Ast.

ἐπισκοπεῖν] Int. *ὥστε, ut perspiciant*. Ast.

μοὶ καὶ τίνες οὗ, καὶ διὰ τί ἑκάτεροι. Δαιμόνιον γάρ, ἔφη, πρᾶγμα λέγεις. Χρήσιμον μὲν οὖν, ἦν δ' ἐγώ, πρὸς τὴν τοῦ καλοῦ τε καὶ ἀγαθοῦ ζήτησιν, ἄλλως δὲ[y] μεταδιωκόμενον ἄχρηστον. Εἰκός γ', ἔφη.[z] Οἶμαι δέ γ', ἦν δ' ἐγώ, καὶ ἡ τούτων πάντων ὧν διεληλύθαμεν μέθοδος ἐὰν
III. i. 358. μὲν ἐπὶ τὴν ἀλλήλων κοινωνίαν ἀφίκηται καὶ ξυγγένειαν, καὶ ξυλλογισθῇ[a] ταῦτα ᾗ[b] ἐστὶν ἀλλήλοις οἰκεῖα, φέρειν τι αὐτῶν εἰς ἃ βουλόμεθα τὴν πραγματείαν καὶ οὐκ ἀνόνητα πονεῖσθαι, εἰ δὲ μή, ἀνόνητα. Καὶ[c] ἐγώ, ἔφη, οὕτω μαντεύομαι· ἀλλὰ πάμπολυ ἔργον λέγεις, ὦ Σώκρατες. Τοῦ προοιμίου, ἦν δ' ἐγώ, ἢ τίνος λέγεις; ἢ οὐκ ἴσμεν ὅτι πάντα[d] ταῦτα προοίμιά ἐστιν αὐτοῦ τοῦ νόμου ὃν δεῖ μαθεῖν; οὐ γάρ που[e] δοκοῦσί γέ σοι οἱ ταῦτα δεινοὶ[f] διαλεκτικοὶ εἶναι. Οὐ μὰ τὸν Δία,[g] ἔφη, εἰ μὴ μάλα γέ τινες ὀλίγοι ὧν ἐγὼ ἐντετύχηκα.[h] Ἀλλ' ἤδη,[i] εἶπον, μὴ[k] δυνατοί[l] τινες ὄντες[m] δοῦναί τε καὶ ἀποδέξασ-

σιν K.—[y] τι v.—[z] δ' ἔφη K.—[a] συλλογισθῇ s.—[b] ἃ q.—[c] καὶ om v.—[d] πάντα om ω ΘKr.—[e] που v, πω Φm.—[f] οἱ ταῦτα δεινοὶ ΑΠΦτm, εἰς ταῦτα δεινοὶ DK, οἱ εἰς ταῦτα δεινοὶ q, οὐ ταῦτα δεινοὶ Θr: ταῦτα δεινοὶ οἱ Ps.—[g] δῆ vm.—[h] ἐντετυχήκειν Θr.—[i] ἀλλὰ δὴ v, ἀλλ' οἶει q.—[k] οἱ μὴ ΑΦ, εἰ μὴ vm.—[l] δυνασταί q.—[m] ὄντες om

ταῦτα ᾗ] De hac pronominis relativi positione v. quæ ad Phædr. p. 368. notavimus. Sequentia sic construe: *τὴν πραγματείαν αὐτῶν φέρειν τι (ducere) ἐς ἃ (ἐς ταῦτα, ἃ) βουλόμεθα.*—Mox Bas. 2. *ποιεῖσθαι* pro *πονεῖσθαι*. Ast.

ἀνόνητα] Non necesse est *ἀνόνητα*, quod est ante *πονεῖσθαι*, mutare in *ἀνήνυτα*: quamvis præcesserit *ἀνήνυτα πονοῦσι* paulo supra, utrumque enim dici potest: multo tamen est usitatius *ἀνήνυτα πονεῖν*. Steph.

οὐ γάρ πω] Sic Cod. Monac. quod Ficinus confirmat: *nondum enim dialectici*. Sensus est, 'nondum exposuimus tibique persuasimus, in his (*ταῦτα* respicit philosophiam, tanquam commune omnium scientiarum vinculum: *ἡ ἀλλήλων κοινωνία καὶ ξυγγένεια*) intelligentes esse dialecticos.' Cod. Monac. legit *οἱ ταῦτα δεινοὶ διαλεκτικοί*; sed articulum ante *διαλεκτικοὶ* sequentia, *εἰ μὴ μάλα γέ τινες ὀλίγοι* cet. videntur postulare. Cod. Reg. *εἰς ταῦτα δεινοὶ* exhibet: *δεινὸς* vero cum simplice accusativo amat construi. Ast.

ἀλλὰ δή] *Sed tamen, at vero.* Vulgo ἀλλ' ἤδη, quod sensum, si quid video, nullum habet. Socrates probaturus est, eam disciplinam, quæ scientiarum nexum et communitatem perspiciat, esse dialecticam; et quum Glauco respondisset, admodum paucos se reperisse dialecticos in hoc intelligentes, monet, fieri tamen non posse, ut quis illam assequatur intelligentiam, nisi dialecticæ sit peritus (*λόγον* enim *δοῦναί τε καὶ ἀποδέξασθαι* est *διαλέγεσθαι*, v. Cratyl. 390. C. Sext. Empir. adv. Grammat. ii. §. 7. p. 289.) Ast.

οἱ μὴ δυνατοὶ ὄντες] E Cod. Monac. reponendum pro *μὴ δυνατοί τινες*, in quo *ὄντες* desideramus, quum voci *δυνατοὶ* junctum esse debeat subjectum, *τινὲς* vero haud dubie ex prægressis huc irrepsit. Sententia est generalis, 'An vero ii, qui rationem neque reddere neque accipere possunt, unquam tibi videntur intellecturi esse aliquid eorum, quæ intelligere ipsos debere contendimus?' E præcedentibus ad *εἴσεσθαι* repetendum est *δοκοῦσι*; hinc respondet Glauco: *οὐδ' αὖ τοῦτό γε*, int. *δοκεῖ μοι*. Ast.

θαι λόγον εἴσεσθαί ποτέ τι ὧν φαμὲν δεῖν[n] εἰδέναι; Οὐδ' II. 532.
αὖ, ἔφη, τοῦτό γε. Οὐκοῦν, εἶπον, ὦ Γλαύκων, οὗτος ἤδη
αὐτός ἐστιν ὁ νόμος ὃν[o] τὸ διαλέγεσθαι περαίνει;[p] ὃν καὶ
ὄντα νοητὸν μιμοῖτ'[q] ἂν ἡ τῆς ὄψεως δύναμις, ἣν ἐλέγομεν
πρὸς αὐτὰ ἤδη τὰ ζῶα ἐπιχειρεῖν ἀποβλέπειν καὶ πρὸς
αὐτὰ ἄστρα τε καὶ τελευταῖον δὴ πρὸς αὐτὸν τὸν ἥλιον.
οὕτω καὶ ὅταν τις τῷ διαλέγεσθαι ἐπιχειρῇ, ἄνευ πασῶν
τῶν αἰσθήσεων διὰ τοῦ λόγου ἐπ' αὐτὸ ὃ ἔστιν ἕκαστον[r]
ὁρμᾷ καὶ μὴ[s] ἀποστῇ πρὶν ἂν αὐτὸ ὃ ἔστιν ἀγαθὸν αὐτῇ[t]
νοήσει λάβῃ,[u] ἐπ' αὐτῷ[v] γίγνεται τῷ τοῦ νοητοῦ τέλει, ὥς
περ ἐκεῖνος τότε ἐπὶ τῷ[w] τοῦ[x] ὁρατοῦ. Παντάπασι μὲν III. i. 359.
οὖν, ἔφη. Τί οὖν;[y] οὐ διαλεκτικὴν ταύτην τὴν πορείαν
καλεῖς; Τί μήν; [§. 13.] Ἡ δέ γε, ἣν δ' ἐγώ, λύσις
τε ἀπὸ τῶν δεσμῶν καὶ μεταστροφὴ ἀπὸ τῶν σκιῶν ἐπὶ τὰ
εἴδωλα καὶ τὸ φῶς καὶ ἐκ τοῦ καταγείου εἰς τὸν ἥλιον
ἐπάνοδος, καὶ ἐκεῖ πρὸς μὲν τὰ ζῶά τε καὶ φυτὰ καὶ τὸ
τοῦ ἡλίου φῶς ἐπ'[z] ἀδυναμίᾳ[a] βλέπειν, πρὸς δὲ τὰ ἐν
ὕδασι φαντάσματα, ἐνταῦθα[b] δὲ πρὸς φαντάσματα θεῖα

s.—[n] δεῖν om pr Ξ.—[o] ὁ s.—[p] περαίνει v: ceteri παραινεῖ: περαίνων s.—[q] παραι τ' Φ.—[r] ἕκαστον om Φm.—[s] καὶ μὴ ΑΘΞΠDKqmr, καὶ ἢν μὴ Φ, καὶ εἰ μὴ v: καὶ ἐὰν μὴ s.—[t] αὖ τῇ K, αὐτῇ τῇ Ξq.—[u] λάβοι Ξ. post λάβῃ omisi τότε δὴ cum ΑΘΠΦDKqmr.—[v] αὐτὸ Θ, αὐτοῦ q.—[w] τῷ om ΘΞΦmr.—[x] τοῦ om pr A.—[y] τί δὲ Ξ.—[z] ἔστιν Ξ, om v.—[a] δυναμία pr Ξ, ἀδυναμίαν v.—[b] ἐνταῦθα...φαντάσματα om ΑΘΠ

εἴσεσθαι] Videri posset deesse aliquod verbum, nisi repeteretur δοκοῦσι ex præcedent. cum εἴσεσθαι. Steph.

ὃν τὸ διαλέγεσθαι παραινεῖ] Sic Cod. Reg. et Monac. Vulgo ὃ τὸ διαλέγεσθαι περαίνων: *hæc ipsa lex est, quam dialectica jubet* s. præscribit, sc. τοὺς μὴ δυνατοὺς ὄντας δοῦναί τε καὶ ἀποδέξασθαι λόγον, μήποτε εἴσεσθαί τι, ὃν δεῖ εἰδέναι. —Mox ὁρμᾷν pro ὁρμᾷ scripsimus. Pro αὐτῇ τῇ νοήσει, quod e Bas. 2. recepimus, Ald. et Bas. 1. αὖ τῇ, Steph. αὐτῇ exhibent. Astr.

τότε δὴ] Omittunt ea Cod. Reg. et Monac. Ficinus vero: *tunc demum—ascendit.* Astr.

§. 13. βλέπειν] Puto deesse voculam μὴ ante verbum βλέπειν. Paulo post autem male ἐπ' ἀναγωγὴν pro ἐπαναγωγὴν in præced. editionibus. Steph. qui sic in Not. 'Non dubium est quin depravatus sit hic locus: quem etiam in iis quæ margini adscripsi, aliqua ex parte restituere conatus sum. Postea autem hanc ejus expositionem inveni, *Et illic quidem visus ad animalia, et plantas, et solis lumen: in videndi vero debilitate, ad spectra in aquis:* eique expositioni subjunctam hanc lectionem, καὶ ἐκεῖ μὲν ὄψις πρὸς τὰ ζῶά τε καὶ φυτὰ, καὶ τὸ τοῦ ἡλίου φῶς· ἐπ' ἀδυναμίᾳ δὲ τοῦ βλέπειν, πρὸς τὰ ἐν ὕδασι φαντάσματα. Ego autem legens μὴ βλέπειν, jungebam cum præcedentibus, πρὸς μὲν τὰ ζῶά τε καὶ φυτὰ καὶ τὸ τοῦ ἡλίου φῶς, tanquam ἐπ' ἀδυναμίᾳ seorsum positum esset. Fic. vero locum hunc ita vertit, *Ibique animalium et plantarum inspectio, solisque et siderum in aqua propter imbecillitatem oculorum intuitus.* Ex qua ejus interpretatione perspicimus genuinam lectionem incognitam illi fuisse.'

πρὸς δὲ τὰ ὕδασι φαντάσματα] Int. τὸ βλέπειν s. ἡ βλέψις, quod eruendum ex

καὶ σκιὰς τῶν ὄντων, ἀλλ' οὐκ εἰδώλων σκιὰς δι' ἑτέρου τοιούτου φωτὸς ὡς πρὸς ἥλιον κρίνειν ἀποσκιαζομένας,— πᾶσα αὕτη ἡ πραγματεία τῶν τεχνῶν ἃς[c] διήλθομεν ταύτην ἔχει τὴν δύναμιν καὶ ἐπαναγωγὴν[d] τοῦ βελτίστου[e] ἐν ψυχῇ πρὸς τὴν τοῦ ἀρίστου ἐν τοῖς οὖσι θέαν,[f] ὥς περ τότε τοῦ σαφεστάτου ἐν[g] σώματι[h] πρὸς τὴν τοῦ φανοτάτου[i] ἐν τῷ[k] σωματοειδεῖ τε καὶ ὁρατῷ τόπῳ. Ἐγὼ μέν, ἔφη, ἀποδέχομαι οὕτω. καί τοι παντάπασί γέ μοι δοκεῖ χαλεπὰ μὲν ἀποδέχεσθαι εἶναι, ἄλλον δ' αὖ τρόπον χαλεπὰ μὴ ἀποδέχεσθαι. ὅμως δέ—οὐ γὰρ ἐν τῷ νῦν παρόντι μόνον ἀκουστέα, ἀλλὰ καὶ αὖθις πολλάκις[l] ἐπανιτέον— ταῦτα θέντες[m] ἔχειν ὡς νῦν[n] λέγεται, ἐπ' αὐτὸν δὴ τὸν
III. i. 360. νόμον ἴωμεν, καὶ διέλθωμεν[o] οὕτως ὥς περ τὸ προοίμιον διήλθομεν. λέγε οὖν τίς ὁ τρόπος τῆς τοῦ διαλέγεσθαι δυνάμεως, καὶ κατὰ ποῖα δὴ[p] εἴδη[q] διέστηκε, καὶ τίνες αὖ[r] ὁδοί. αὗται γὰρ ἂν[s] ἤδη, ὡς ἔοικεν, αἱ πρὸς αὐτὸ[t] ἄγουσαι εἶεν, οἷ ἀφικομένῳ ὥς περ ὁδοῦ ἀνάπαυλα ἂν εἴη καὶ τέλος τῆς πορείας. Οὐκέτ', ἦν δ' ἐγώ, ὦ φίλε Γλαύκων,
II. 533. οἷός τ' ἔσει[u] ἀκολουθεῖν, ἐπεὶ τό γ' ἐμὸν οὐδὲν ἂν προθυμίας ἀπολίποι,[v] οὐδ' εἰκόνα ἂν ἔτι οὗ λέγομεν ἴδοις,[w]

ΦDKqvmr.—[c] ἣν r.—[d] ἐπαγωγὴν Ξ.—[e] βελτίστου...τοῦ om v.—[f] θεοις Θ.—[g] ἐν ...φανοτάτου om Θ.—[h] σώμασιν Φrm.—[i] φανοτάτου ΑΞΠΦDKmr.—[k] τῷ add ΑΘΞ ΠDKqvmr.—[l] πολλάκις om r.—[m] θέντας (ut videtur) Ξ.—[n] νῦν δὴ K.—[o] ἔλθωμεν ΑΠΦDm.—[p] δὴ om Θr, post εἴδη ponit v.—[q] ἤδη m.—[r] αἱ r.—[s] ἂν om m.—[t] αὐτὸν Φm. οὗ v.—[u] εἶ v.—[v] ἀπολίποι Θrr et pr ΑΠ : ἀπολείποι ^{a}s.—[w] ἰδοις Π, ἤδεις

præcedentibus ἐπ' ἀδυναμίᾳ (τοῦ) βλέπειν. Cornarius ὄψις post ἐκεῖ μὲν interponit. Ἐκεῖ est ἐν τῷ καταγείῳ, *in antro*, ubi nil nisi umbras imaginum videmus, ἐνταῦθα vero est ἐν τῷ ἡλίῳ s. vita superiore, ubi imagines veri ac divini intuemur. Δι' ἑτέρου τοιούτου φωτὸς, per similem lucem, h. e. per lucem, quæ, cum luce solis comparata, nihil aliud esse possit nisi umbra imaginis; namque sol ipse imago est veræ lucis, h. e. boni; igitur lumen, quod esset imago solis, umbra esset imaginis. Asr.

πᾶσα αὕτη ἡ πραγματεία] Sc. ἡ λύσις, ἡ μεταστροφὴ, ἡ ἐπάνοδος καὶ ἡ βλέψις, eo spectat, ut animum nostrum a rerum terrestrium umbra ad simulacra veri ac divini extollat, et postremo ad ipsam veri bonique contemplationem evehat. Rectius tamen fortasse ante πᾶσα—πραγματεία haberet καί. Asr.

τοῦ σαφεστάτου] *Oculi, qui, ex antro solutus, ipsam solis lucem, cujus umbram in speluncis vidit, intueri discit.*—Cod. Monac. exhibet ἐν τῇ ψυχῇ et Cod. Reg. ἐν τῷ σωματ. quod recepimus; vulgo articulus desideratur. Ald. Bas. 1. et 2. φανοτάτου, ut semper, exhibent, et paulo post Bas. 2. particulam τὲ ante καὶ omittit. Asr.

τό γ' ἐμὸν] I. e. ἔγωγε. Vid. Heind. ad Theæt. §. 49. Asr.

ἀλλ' αὐτὸ τὸ ἀληθές, ὅ γε δὴ[x] ἐμοὶ[y] φαίνεται· εἰ δ' ὄντως[z] ἢ μή, οὐκέτ' ἄξιον τοῦτο διισχυρίζεσθαι. ἀλλ' ὅτι μὲν δὴ[a] τοιοῦτόν[b] τι,[c] ἰσχυριστέον. ἦ γάρ; Τί μήν; Οὐκοῦν καὶ ὅτι ἡ τοῦ διαλέγεσθαι δύναμις μόνη ἂν φήνειεν[d] ἐμπείρῳ ὄντι ὧν νῦν δὴ[e] διήλθομεν, ἄλλῃ δὲ οὐδαμῇ δυνατόν; Καὶ τοῦτ', ἔφη, ἄξιον διισχυρίζεσθαι.[f] Τόδε γοῦν, ἦν δ' ἐγώ, οὐδεὶς ἡμῖν ἀμφισβητήσει[g] λέγουσιν ὡς αὐτοῦ γε ἑκάστου πέρι, ὃ ἔστιν ἕκαστον, οὐκ[h] ἄλλη τις ἐπιχειρεῖ μέθοδος ὁδῷ περὶ παντὸς λαμβάνειν, ἀλλ' αἱ μὲν ἄλλαι πᾶσαι τέχναι ἢ πρὸς δόξας ἀνθρώπων καὶ ἐπιθυμίας εἰσὶν ἢ πρὸς γενέσεις τε[i] καὶ[k] συνθέσεις, ἢ καὶ πρὸς θεραπείαν τῶν φυομένων τε καὶ συντιθεμένων ἅπασαι τετράφαται· αἱ δὲ λοιπαί, ἃς τοῦ ὄντος τι ἔφαμεν ἐπιλαμβάνεσθαι,[l] γεωμετρίαν[m] τε καὶ τὰς ταύτῃ ἑπομένας, ὁρῶμεν ὡς ὀνειρώττουσι μὲν περὶ τὸ ὄν, ὕπαρ δὲ ἀδύνατον[n] αὐταῖς[o] ἰδεῖν, ἕως ἂν ὑποθέσεσι χρώμεναι ταύτας ἀκινήτους ἐῶσι, μὴ δυνάμεναι λόγον διδόναι αὐτῶν. ᾧ γὰρ ἀρχὴ μὲν ὃ μὴ οἶδε, τελευτὴ δὲ καὶ τὰ μεταξὺ ἐξ οὗ μὴ οἶδε συμπέπλεκται,[p] τίς μηχανὴ τὴν τοιαύτην ὁμολογίαν ποτὲ ἐπιστήμην γενέσθαι; Οὐδεμία, ἦ δ' ὅς. Οὐκοῦν, ἦν δ' ἐγώ, ἡ διαλεκτικὴ μέθοδος μόνη[q] ταύτῃ πορεύεται, τὰς ὑποθέσεις ἀναιροῦσα ἐπ' αὐτὴν τὴν ἀρχήν, ἵνα βεβαιώση- III. i. 361.

pr Θ.—[x] δὴ om K: δὴ ὡς μὲν ἔστιν ὅγ' ἐμοὶ q.—[y] μοι ΑΞΦm.—[z] ἰδόντος pr Π, ος ἰδόντι DKq, ἰδόντι r.—[a] δεῖ μὲν Φ.—[b] τοιοῦτό Φ.—[c] τι ἰδεῖν AΦνm et rc Π: om ΘΞ.—[d] φήσειεν r.—[e] δὴ add AΞΦνm.—[f] διισχυρίζομαι q.—[g] ἀμφισβητείσειε K.—[h] οὐκ om ΘΞΠΦDKqνmr.—[i] τε καὶ συνθέσεις om ν.—[k] καὶ post ἢ om AΦm.—[l] ἀντιλαμβάνεσθαι Ξ.—[m] γεωμετρίας ΘΠDKmr.—[n] ἀδύνατοι q.—[o] αὐτὸ q.—

εἰ δ' ὄντως] In præced. edit. male ἰδόντι pro εἰ δ' ὄντως, ut habet vet. lib. Alioqui legi etiam posset εἰ δὲ τῷ ὄντι. Steph.

εἰ δ' ὄντως] Cod. Reg. Ald. Bas. 1. ἰδόντι. Ast.

ἰσχυριστέον] Rectius fortasse διϊσχυριστέον scribetur, ut mox dicet διϊσχυρίζεσθαι. Steph.

τοιοῦτόν τι] Cod. Monac. ἀλλ' ὅτι δὴ μὲν τοιοῦτό τι ἰδεῖν, ἰσχ. Similiter Ficinus: *quod tale aliquid est cognoscendum.* Ald. Bas. 1. et 2. pro τι exhibent τις. Ast.

φήνειεν] Int. τὸ ἀληθές.—Mox νῦν δὴ cum Cod. Monac. scribendum; vulgo νῦν. Deinde Ald. Bas. 1. et 2. ἄλλη. Ast.

καὶ τοῦτ'—διϊσχυρίζεσθαι] Verba sunt Glauconis respondentis; vulgo Socratis orationi annexa leguntur. Ast.

ὁδῷ] *Certa quadam via et ratione* s. methodo, vid. nostra ad Phædr. p. 536. —A Codd. Reg. et Monac. Ald. Bas. 1. et 2. οὐκ abest. Ast.

τετράφαται] De hac perfecti forma v. Gregor. Corinth. p. 229. Maittair. de Dialect. p. 128. Fischer. ad Weller. t. ii. p. 407. et Matthiæ Gr. Gr. p. 254.—Mox Ald. δυνάμενα et ἀρχῇ. Ast.

ται, καὶ τῷ ὄντι ἐν βορβόρῳ βαρβαρικῷ τινὶ τὸ τῆς ψυχῆς ὄμμα κατορωρυγμένον ἠρέμα ἕλκει καὶ ἀνάγει ἄνω, συνερίθοις[r] καὶ συμπεριαγωγοῖς[s] χρωμένη αἷς διήλθομεν τέχναις·[t] ἃς ἐπιστήμας μὲν πολλάκις προσείπομεν διὰ τὸ ἔθος, δέονται δὲ ὀνόματος ἄλλου, ἐναργεστέρου μὲν ἢ δόξης, ἀμυδροτέρου δὲ[u] ἢ ἐπιστήμης. διάνοιαν δὲ αὐτὴν ἔν γε τῷ πρόσθεν που[v] ὡρισάμεθα. ἔστι δ', ὡς ἐμοὶ δοκεῖ, οὐ περὶ ὀνόματος ἡ[w] ἀμφισβήτησις, οἷς τοσούτων[x] πέρι σκέψις[y] ὅσων[z] ἡμῖν πρόκειται. Οὐ[a] γὰρ οὖν, ἔφη· ἀλλ'[b] ὃ[c] ἂν μόνον δηλοῖ[d] πρὸς τὴν λέξιν[e] σαφηνείαν,[f] ὃ[g] λέγοι[h]
III. i. 362. ἐν ψυχῇ. [§. 14.] Ἀρέσκει οὖν,[i] ἦν δ' ἐγώ, ὥς περ τὸ πρότερον, τὴν μὲν πρώτην μοῖραν ἐπιστήμην καλεῖν, δευτέ-
II. 534. ραν δὲ διάνοιαν, τρίτην δὲ πίστιν καὶ εἰκασίαν τετάρτην· καὶ ξυναμφότερα μὲν[k] ταῦτα[l] δόξαν, ξυναμφότερα δ'[m]

[p] συμπλέκεται Θr.—[q] μόνη ΑΠ.—[r] συνεριθμοῖς Θ et pr Π, συνεθισμοῖς Dq, συνωθισμοῖς Κ.—[s] συμπεριαγωγῇ Κ, περιαγωγοῖς Φm.—[t] ἃς διήλθομεν τέχνας Φ.—[u] γε ω ων v.—[v] πως Κ.—[w] ἡ om ΘΠΦDΚmr.—[x] τοσοῦτον ΠD, τοσοῦτο Φ, τοσοῦτον Kr et pr Θ, τοσούτου corr Θ.—[y] περίσκεψις Kr.—[z] ὅσον ΘKr et pr ΠD.—[a] ἂν Φ.—[b] ἀλλ'...ψυχῇ om s.—[c] ἄλλο ΘΠDr.—[d] δηλοῖ μόνον Κ.—[e] λέξιν q: ceteri ἕξιν.—[f] σαφηνείᾳ (ita enim scribendum)] σαφήνειαν Φ.—[g] ὃ solus q.—[h] λέγοι q, λέ- ις γει ΘΠDKr, λέγει A, λέγειν Φvm.—[i] γοῦν ΑΞΦm.—[k] μὲν...ξυναμφότερα om ΘDKr

ἐν βορβόρῳ βαρβαρικῷ] Vid. Phædon. p. 290. Fisch. Galen. Adhort. ad Liter. Stud. c. xi. ὡς ἐν βορβόρῳ πολλῷ τὴν ψυχὴν ἑαυτῶν ἔχουσι κατεσβεσμένην. Vid. Wyttenbach. ad Plutarch. de S. N. V. p. 95. Ast.

τὸ τῆς ψυχῆς ὄμμα] Sic et Sophist. 254. A. A Platone mutuati sunt Philo t. ii. p. 635. Porphyr. de Vit. Plotin. p. 111. Anastas. Sinait. Orat. i. de S. Synaxi p. 472. v. i. in Canisii Lect. Antiq. ed. Basnag. Naumach. in Stob. Serm. 66. p. 420. v. 11. Vid. Jacobs. ad Anthol. Græc. v. iii. p. ii. p. 191. Sic etiam ὄψις τῆς διανοίας, vid. Gataker. ad M. Antonin. iii. §. 15. Ast.

ἀνάγει] Similia loca laudat Ruhnk. ad Tim. p. 31. Ast.

ξυνερίθοις—τέχναις] ξυνέριθοι Timæi Lexic. p. 243. συνεργοί, ubi cf. Ruhnken. ibique notatis adde Valckenar. in Fragm. Eleg. Callimach. p. 207. Facit huc inprimis Porphyrii locus in Vit. Pythagor. c. 44. φιλοσοφίαν δ' ἐφιλοσόφησεν, ἧς ὁ σκόπος ῥύσασθαι καὶ διελευθερῶσαι τῶν τοιούτων εἰργμῶν καὶ συνδέσμων τὸν κατακεχωσμένον ἐν ἡμῖν νοῦν. Cf. Clemens Alexandr. Pædagog. ii. p. 186. C. Synes. Epist. 136. p. 273. D. Vid. Wyttenbach. ad Plutarch. de S. N. V. p. 95. Ast.

ὅσων] I. e. ὅσα ἐστὶν ἐκεῖνα, ὧν σκέψις ἡμῖν πρόκειται.—Verba ἀλλ' ὃ ἂν μόνον δηλοῖ πρὸς τὴν ἕξιν σαφήνειαν λόγου ἐν ψυχῇ, quæ Codd. Reg. Monac. (in quo λέγειν pro λόγου) et Bas. 2. (in quo ἄλλο—σαφηνείᾳ λέγει) exhibent, glossema mihi videntur esse, quod, ni fallor, tale erat: ἀλλ' ὄνομα (vel ἀλλὰ simpliciter) μόνον δηλοῖ πρὸς τὴν ἕξιν σαφήνειαν λόγου ἐν ψυχῇ: nomen enim solummodo pro conditione s. habitu (int. ejus, qui eo utitur; esse quoque possit: pro consuetudine) certam in animo notionem indicat, quocirca per se veram (objectivam) rei naturam neutiquam attingit. Ast.

§. 14. οὐ γὰρ οὖν] Inter hæc verba, οὐ γὰρ οὖν, ἔφη, et illa, Ἀρέσκει, afferuntur quædam ex vet. cod. sed mendosa: sub quibus tamen latere videtur sensus qui Ficini verbis subest. Stephi.

ἐκεῖνα νόησιν· καὶ δόξαν[n] μὲν περὶ γένεσιν,[o] νόησιν δὲ[p] περὶ οὐσίαν· καὶ ὅ τι οὐσίαν[q] πρὸς γένεσιν,[r] νόησιν[s] πρὸς δόξαν[t] ἐπιστήμην[u] πρὸς πίστιν καὶ διάνοιαν[v] πρὸς εἰκασίαν. τὴν δ' ἐφ' οἷς ταῦτα ἀναλογίαν καὶ διαίρεσιν διχῇ ἑκατέρου, δοξαστοῦ τε[w] καὶ νοητοῦ, ἐῶμεν,[x] ὦ Γλαύκων, ἵνα μὴ ἡμᾶς πολλαπλασίων λόγων ἐμπλήσῃ ἢ ὅσων[y] οἱ παρεληλυθότες. Ἀλλὰ μήν ἔμοιγ', ἔφη, τά γε ἄλλα,[z] καθ' ὅσον δύναμαι ἕπεσθαι, ξυνδοκεῖ. Ἦ καὶ[a] διαλεκτικὸν καλεῖς τὸν λόγον ἑκάστου λαμβάνοντα τῆς οὐσίας; καὶ τὸν μὴ ἔχοντα, καθ' ὅσον ἂν μὴ ἔχῃ[b] λόγον αὐτῷ[c] τε καὶ ἄλλῳ διδόναι, κατὰ τοσοῦτον[d] νοῦν[e] περὶ τούτου οὐ φήσεις ἕξειν; Πῶς γὰρ ἄν, ἦ δ' ὅς, φαίην;[f] Οὐκοῦν καὶ περὶ τοῦ[g] ἀγαθοῦ ὡσαύτως· ὃς ἂν μὴ[h] ἔχῃ[i] διορίσασθαι τῷ λόγῳ ἀπὸ τῶν ἄλλων πάντων[k] ἀφελὼν τὴν τοῦ ἀγαθοῦ ἰδέαν, καὶ ὥς περ ἐν μάχῃ διὰ πάντων ἐλέγχων διεξιών, μὴ κατὰ δόξαν ἀλλὰ κατ' οὐσίαν προθυμούμενος ἐλέγ- III. i. 363.
χειν, ἐν πᾶσι τούτοις ἀπτῶτι τῷ λόγῳ διαπορεύηται, οὔτε[l] αὐτὸ[m] τὸ ἀγαθὸν φήσεις[n] εἰδέναι τὸν οὕτως ἔχοντα οὔτε ἄλλο ἀγαθὸν οὐδέν, ἀλλ' εἴ πῃ εἰδώλου τινὸς ἐφάπτεται, δόξῃ οὐκ ἐπιστήμῃ ἐφάπτεσθαι,[o] καὶ τὸν νῦν βίον ὀνειροπολοῦντα καὶ ὑπνώττοντα, πρὶν ἐνθάδ' ἐξεγρέσθαι, εἰς Ἅιδου πρότερον ἀφικόμενον τελέως ἐπικαταδαρθάνειν; Νὴ τὸν Δία,[p] ἦ δ' ὅς, σφόδρα γε πάντα ταῦτα[q] φήσω. Ἀλλὰ

et pr Π.—[l] ταῦτα...νόησιν] ἐκεῖνα νόησιν, ταῦτα δὲ δόξαν q.—[m] δ' om K.—[n] δόξαν. δόξαν K.—[o] πρὸς γένεσιν K, om D.—[p] δὲ καὶ K.—[q] οὐσία ΑΘΞΠΦmr.—[r] γέννησιν m.—[s] νόησις ΘΞΦrmr.—[t] δόξαν, καὶ ὅτι νόησις πρὸς δόξαν ΑΞΠΦrm.—[u] ἐπιστήμη ΑΞΦmr, ἐπιστήμη δὲ rc Θ, καὶ ἐπιστήμη v.—[v] διάνοια Φrmr.—[w] τε om Θr.—[x] θεῶμεν v.—[y] ὅσον ΑΘΠm.—[z] · ἀλλὰ Π.—[a] καὶ om v.—[b] ἔχοι K, ἔχοι Θqr, ἔχει ΠD.—[c] αὐτῶν...ἄλλων Φ: ἄλλων etiam m.—[d] τοσοῦτο Φ.—[e] οὖν ΘDKr et corr Π.—[f] οὐ φαίην s.—[g] τοῦ om v.—[h] μὲν r.—[i] ἔχοι ΘDKqr.—[k] πάντων om v.—[l] οὔτ' r.—[m] αὐτὸ om v.—[n] ἀγαθὸν φήσεις ΘΞΠΦDKqrmr: ἀγαθὸν οὐδὲν φήσεις s.—

ἀναλογίαν τε καὶ] τι e Cod. Monac. recepimus. Ast.

οἱ παρεληλυθότες] Int. λόγον, de re ipsa, h. e. de quæstionibus positum, ut etiam poetæ usurpare solent, vid. Brunck. ad Soph. Œd. C. 443. Ast.

οὐ φαίην] οὐ deest in Codd. Reg. et Monac. Ald. Bas. 1. et 2. sed abesse nequit. Ficinus, *Certe non aliter est dicendum.* Ast.

ἔχῃ] Ald. Bas. 1. et 2. ἔχοι, falso. Ast.

αὐτὸ τὸ ἀγαθὸν] Quod in libris editis additum legitur, οὐδὲν, cod. Regii auctoritate expunximus, utpote sensum turbans et haud dubie e sequentibus huc illatum. Ficinus quoque οὐδὲν non expressit: *neque bonum ipsum dices cognoscere, neque aliud quidquam bonum.* Ast.

μὴν τούς γε σαυτοῦ παῖδας, οὓς τῷ λόγῳ τρέφεις τε καὶ παιδεύεις, εἴ ποτε ἔργῳ τρέφοις, οὐκ ἂν ἐάσαις, ὡς ἐγῷμαι, ἀλόγους ὄντας ὥς περ γραμμάς, ἄρχοντας ἐν τῇ πόλει κυρίους[r] τῶν μεγίστων εἶναι. Οὐ γὰρ οὖν, ἔφη. Νομοθετήσεις δή[a] αὐτοῖς ταύτης[t] μάλιστα τῆς παιδείας ἀντιλαμβάνεσθαι ἐξ ἧς ἐρωτᾷν τε καὶ ἀποκρίνεσθαι ἐπιστημονέστατα οἷοί τ' ἔσονται; Νομοθετήσω, ἔφη, μετά γε σοῦ. Ἆρ' οὖν δοκεῖ σοι,[u] ἔφην ἐγώ, ὡς περ θριγκὸς[v] τοῖς μαθήμασιν ἡ διαλεκτικὴ ἡμῖν ἐπάνω κεῖσθαι, καὶ οὐκέτ' ἄλλο τούτου μάθημα ἀνωτέρω ὀρθῶς ἂν ἐπιτίθεσθαι, ἀλλ'
II. 535. ἔχειν ἤδη τέλος τὰ τῶν μαθημάτων; Ἔμοιγ', ἔφη.
III. i. 364. Διανομὴ[w] τοίνυν, ἦν δ' ἐγώ, τὸ λοιπόν σοι,[x] τίσι ταῦτα τὰ μαθήματα δώσομεν καὶ τίνα τρόπον. Δῆλον, ἔφη. Μέμνησαι οὖν τὴν προτέραν ἐκλογὴν τῶν ἀρχόντων, οἵους ἐξελέξαμεν; Πῶς γάρ, ἦ δ' ὅς, οὔ; Τὰ μὲν ἄλλα τοίνυν, ἦν δ' ἐγώ, ἐκείνας τὰς φύσεις οἵου δεῖν ἐκλεκτέας εἶναι· τούς τε γὰρ βεβαιοτάτους καὶ τοὺς ἀνδρειοτάτους[y] προαιρετέον, καὶ κατὰ δύναμιν τοὺς εὐειδεστάτους· πρὸς δὲ τούτοις ζητητέον μὴ μόνον γενναίους τε καὶ βλοσυροὺς[z] τὰ ἤθη,[a] ἀλλὰ καὶ ἃ τῇδε τῇ παιδείᾳ τῆς φύσεως πρόσφορα ἐκτέον[b] αὐτοῖς. Ποῖα δὴ διαστέλλει;[c] Δριμύτητα, ὦ μακάριε, ἔφην, δεῖ αὐτοῖς πρὸς τὰ μαθήματα ὑπάρχειν, καὶ μὴ χαλεπῶς μανθάνειν, πολὺ γάρ τοι[d] μᾶλλον ἀποδειλιῶσι ψυχαὶ ἐν ἰσχυροῖς μαθήμασιν ἢ ἐν γυμνασίοις· οἰκειότερος γὰρ αὐταῖς ὁ πόνος, ἴδιος ἀλλ' οὐ κοινὸς ὢν μετὰ τοῦ[e] σώματος. Ἀληθῆ, ἔφη. Καὶ μνήμονα δέ[f] καὶ[g]

[o] ἐφάπτεται r.—[p] δί' mr.—[q] ταῦτα πάντα ΘΞΠΦΚmr.—[r] κυρίως Κ.—[s] δὲ Φ.—[t] ταύτης om v.—[u] σοι ὥσπερ m.—[v] θρίγκος Πν, θριγγὸς qr.—[w] διανοῆ Kq.—[x] σὺ Κ.—[y] καὶ τοὺς ἀνδρειοτάτους om ΘΠΔΚqr, καὶ om v.—[z] βλοσυρούς ΞΚr.—[a] ἔθη q.—[b] ἐκτέα v.—[c] διαστέλλει ΑΦm, om v.—[d] τι ΞΦm.—[e] τοῦ om vr.—[f] δὴ Avm.

ὥσπερ γραμμὰς] *Ut literæ* s. scriptiones, quæ vitæ et rationis expertes interroganti nihil respondent, v. nostra ad Phædr. p. 386. Cornarius corruptum habens hunc locum jubebat pro *ὥσπερ γραμμὰς* legi: *ὡς Φρύγας Mίδας, velut Phryges Midæ*: mirum commentum. Ast.

νομοθ. δὴ] Cod. Monac. δὲ, sed Ficinus quoque δὴ expressit: *legem itaque feres*. Ast.

θριγκὸς] *Apex*, culmen s. corona, *στεφάνη*. Respexerunt h. l. Themist. Orat. xxi. p. 257. D. Procl. in Euclid. i. p. 12. Vid. P. Victor. Var. Lect. ii. 12. Ast.

τοίνυν] In Ald. et Bas. 1. deest *τοίνυν*. Ast.

διαστέλλει] διαστέλλεσθαι, in medio est i. q. διαιρεῖσθαι, διορίζεσθαι, *distribuere, statuere, definire*. Ast.

ἄῤῥατον[h] καὶ πάντῃ[i] φιλόπονον ζητητέον. ἢ τίνι τρόπῳ οἴει τά τε τοῦ σώματος ἐθελήσειν τινὰ διαπονεῖν καὶ τοσαύτην μάθησίν τε καὶ μελέτην ἐπιτελεῖν;[k] Οὐδένα, ἦ δ' ὅς, ἐὰν μὴ παντάπασί γ'[l] ἢ εὐφυής. [§. 15.] Τὸ γοῦν νῦν ἁμάρτημα, ἦν δ' ἐγώ,[m] καὶ ἡ ἀτιμία φιλοσοφίᾳ[n] διὰ ταῦτα προσπέπτωκεν, ἃ καὶ πρότερον εἴπομεν,[o] ὅτι οὐ κατ' ἀξίαν αὐτῆς ἅπτονται. οὐ γὰρ νόθους ἔδει ἅπτεσθαι ἀλλὰ γνησίους. Πῶς; ἔφη. Πρῶτον μέν,[p] εἶπον,[q] φιλοπονίᾳ[r] οὐ χωλὸν δεῖ εἶναι τὸν ἀψόμενον, τὰ μὲν ἡμίσεα φιλόπονον, τὰ[s] δὲ[t] ἡμίσεα ἄπονον. ἔστι δὲ τοῦτο, ὅταν τις φιλογυμναστὴς μὲν καὶ φιλόθηρος ᾖ καὶ πάντα τὰ[u] διὰ[v] τοῦ σώματος φιλοπονῇ, φιλομαθὴς δὲ μὴ μηδὲ φιλήκοος μηδὲ ζητητικός, ἀλλ' ἐν πᾶσι τούτοις μισοπονῇ. χωλὸς δὲ καὶ ὁ τἀναντία τούτου[w] μεταβεβληκὼς τὴν φιλοπονίαν. Ἀληθέστατα, ἔφη, λέγεις. Οὐκοῦν καὶ πρὸς ἀλήθειαν, ἦν δ' ἐγώ, ταὐτὸν τοῦτο ἀνάπηρον ψυχὴν θήσομεν, ἥ ἂν τὸ μὲν ἐκούσιον ψεῦδος μισῇ[x] καὶ χαλεπῶς φέρῃ αὐτή τε καὶ ἐτέρων ψευδομένων ὑπεραγανακτῇ, τὸ δ' ἀκούσιον εὐκόλως προσδέχηται[y] καὶ ἀμαθαίνουσά[z] που[a] ἀλισκομένη μὴ ἀγανακτῇ, ἀλλ' εὐχερῶς ὥς περ θηρίον ὕειον ἐν ἀμαθίᾳ μολύνηται;[b] Παντάπα- III. i. 365.

—[e] καὶ om υ.—[h] ἄρρατον ΑΠΦm, ἄρρητον DK, ἄρτιον q, ἄρα τὸν r, ἄρα ἰσχυρὸν μὴ ῥέοντα c, ἄκρατον corr Θ cum *ς.—[i] πάντη ΘΞΠΦDKqcmr: πάντα ς.—[k] διατελεῖν r.—[l] παντάπασί γ' ΑΘΠDKqr: παντάπασιν *ς.—[m] ἦν δ' ἐγὼ om Θr.—[n] φιλοσοφία υ.—[o] εἶπον ΑΦm.—[p] μὲν δὴ K.—[q] ἔφην r.—[r] φιλοπονίας DKqr et corr Π.—[s] φιλόπονον τὰ ΑΘΠΦDKqmr: φιλόπονον ὄντα τὰ *ς.—[t] δ' r.—[u] τὰ om Θr.—[v] διὰ om m.—[w] τῇ τούτου Θ.—[x] μισοῖ r.—[y] προσδέχεται q.—[z] ἁμαρτάνουσά

ἄῤῥατον] Sic Cod. Venet. Monac. et Schol. Ruhnken. 181. qui explicat *ἰσχυρὸν, στερεὸν ἢ δυσκίνητον*. Cod. Reg. *ἄρρητον*, exempla vero edita *ἄκρατον*. Cratyl. 407. D. *εἰ δ' αὖ κατὰ τὸ σκληρὸν τε καὶ ἀμετάστροφον, ὃ δὴ ἄῤῥατον καλεῖται*. Vid. Ruhnk. ad Tim. Lexic. p. 53. Hanc vocem, ut plura alia, ab Homero sumsisse Platonem, monetur ex Phrynich. Apparat. Sophist. in Opusc. Ruhnk. ed. Thom. Kidd. (Londin. 1807. 8.) p. xv. Ast.

πάντα] Bas. 2. *πάντῃ*, quod eodem redit. Ast.

§. 15. *πρῶτον μὲν*] Laudat Stob. xxix. p. 206. usque ad v. *φιλοπονίαν*, ubi scribitur *ἁψάμενον—φιλόπονον* sine *ὄντα—μὲν ἢ καὶ φιλομόχθηρος, καὶ—διαπονῇ* (pro *φιλοπονῇ*)—*μὴ φιλομαθὴς δὲ μηδὲ φιλήκοος*. Ast.

δ μεταβεβληκὼς φιλοπονίαν] *Qui laboris amorem* s. studium *elegit* s. suscepit contrarium ac ille. Μεταβάλλειν est *mutando sumere*, et tunc omnino suscipere, eligere (ut supra jam exposuimus); *τἀναντία* est adverbialiter, ut solet, positum: *contra* s. aliter atque ille, h. e. diversum ab eo studio, cui ille deditus est, int. studium disciplinarum, cui quum prorsus se dederit, inhabilis est ad labores corporis sustinendos. Ast.

ἑκούσιον ψεῦδος μισῇ] Cf. Themist. Orat. xxi. p. 257. D. Ast.

II. 536. σι μὲν οὖν, ἔφη. Καὶ πρὸς σωφροσύνην, ἣν δ' ἐγώ, καὶ
ἀνδρίαν καὶ μεγαλοπρέπειαν καὶ πάντα τὰ τῆς ἀρετῆς
μέρη οὐχ ἥκιστα δεῖ φυλάττειν τὸν νόθον τε καὶ τὸν γνή-
σιον. ὅταν γάρ τις μὴ ἐπίστηται[c] πάντα[d] τὰ τοιαῦτα σκο-
πεῖν καὶ ἰδιώτης καὶ πόλις, λανθάνουσι χωλοῖς τε καὶ νό-
III. i. 366. θοις χρώμενοι πρὸς ὅ τι ἂν τύχωσι τούτων,[e] οἱ μὲν φίλοις,
οἱ δὲ ἄρχουσιν. Καὶ μάλα,[f] ἔφη,[g] οὕτως ἔχει. Ἡμῖν
δή,[h] ἦν ἐγώ, πάντα τὰ τοιαῦτα διευλαβητέον, ὡς ἐὰν μὲν[i]
ἀρτιμελεῖς[k] τε καὶ ἀρτίφρονας ἐπὶ τοσαύτην μάθησιν καὶ
τοσαύτην ἄσκησιν κομίσαντες[l] παιδεύωμεν, ἥ τε δίκη ἡμῖν
οὐ μέμψεται[m] αὐτὴ τήν τε πόλιν καὶ πολιτείαν σώσομεν,
ἀλλοίους[n] δὲ ἄγοντες ἐπὶ ταῦτα τἀναντία πάντα καὶ[o]
πράξομεν καὶ φιλοσοφίας ἔτι πλείω γέλωτα καταντλήσο-
μεν. Αἰσχρὸν μέντ' ἂν εἴη,[p] ἦ δ' ὅς. Πάνυ μὲν οὖν, εἶ-
πον. γελοῖον δ' ἔγωγε καὶ ἐν τῷ παρόντι ἔοικα παθεῖν.
Τὸ ποῖον; ἔφη. Ἐπελαθόμην, ἦν δ' ἐγώ, ὅτι ἐπαίζομεν,
καὶ μᾶλλον ἐντεινάμενος εἶπον. λέγων γὰρ ἅμα[q] ἔβλεψα
πρὸς φιλοσοφίαν, καὶ ἰδὼν προπεπηλακισμένην[r] ἀναξίως
ἀγανακτήσας[s] μοι δοκῶ καὶ ὥς περ θυμωθεὶς τοῖς αἰτίοις
σπουδαιότερον εἰπεῖν ἃ εἶπον. Οὐ μὰ τὸν Δί', ἔφη,[t] οὔκ-
ουν ὥς γ'[u] ἐμοὶ ἀκροατῇ. Ἀλλ' ὡς ἐμοί, ἦν δ' ἐγώ, ῥήτο-
ρι. τόδε δὲ[v] μὴ ἐπιλανθανώμεθα, ὅτι ἐν μὲν τῇ προτέρᾳ
ἐκλογῇ πρεσβύτας ἐξελέγομεν, ἐν δὲ ταύτῃ οὐκ ἐγχωρήσει·
Σόλωνι γὰρ οὐ πειστέον ὡς γηράσκων τις πολλὰ δυνατὸς

v.—[a] πως τ, πη q.—[b] μολύνεται q.—[c] ἐπιστήσεται v.—[d] πάντη ΘΠντ, om ΑΞΦm.—[e] τούτοις v.—[f] μάλ' v.—[g] ἔφη om ΘΠDKqτ.—[h] δή, ἦν δ' ἐγώ (ita enim scrib.) ΑΠΦDKqνm, δὲ ἦν δ' ἐγὼ ΘΞτ: δ' ἔφην ἐγώ *s.—[i] μὲν add ΑΘΞΠΦντ.—[k] ἄρτι ἀμελεῖς pr Θ, ἄρτι ἐμμελεῖς τ.—[l] κοσμήσαντες K.—[m] οὐ μέμψεται ἡμῖν K.—[n] ἀλλοίως ΘΠKqτ.—[o] καὶ ante πράξομεν add ΑΘΞΠΦKmτ.—[p] εἴη om q.—[q] ἅμα ἅμα q.—[r] προσπεπηλακισμένην D.—[s] ἀγανακτῆσαί q.—[t] ἔφην τ.—[u] γ' om v.—[v] δὴ τ.—

τούτων] Respicit prægressa πάντα τὰ τοιαῦτα. Ast.

ἡμῖν δή, ἦν δ' ἐγώ] Sic Codd. Regg. et Monac. In Ald. Bas. 1. et 2. legitur ἡμῖν δ' ἐγώ, quod Stephanus interposito ἔφην supplevit; genuinum vero δή, ἦν δ' ἐγώ, esse apparet. Ast.

τἀναντία πάντα] Bas. 2. addit καί. Mox exhibet ἐν παρόντι. Ast.

οὐκοῦν] *Nullo modo*; fortior negationis repetitio, de qua vid. supra observata. Ast.

ὥς γ' ἐμοὶ ἀκροατῇ] Int. κρῖναι, ut Sophist. 234. E. ὡς γοῦν ἐμοὶ τηλικῷδε ὄντι κρῖναι. Xenoph. Vectigal. v. 2. ὡς ἐμῇ δόξῃ. Similiter ὡς ἐμοὶ Soph. Antig. 1161. Aj. 395. Cf. Valckenar. ad Eurip. Hippol. 324. Toup. ad Suid. t. i. p. 454. et Brunck. Lex. Sophocl. p. 744. Ast.

Σόλωνι] Notus est Solonis versus: Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

μανθάνειν, ἀλλ' ἧττον ἢ τρέχειν, νέων δὲ πάντες οἱ μεγάλοι καὶ οἱ πολλοὶ πόνοι. Ἀνάγκη, ἔφη. Τὰ μὲν τοίνυν λογισμῶν τε καὶ γεωμετριῶν[w] καὶ πάσης τῆς προπαιδείας, III. i. 367.
ἣν τῆς διαλεκτικῆς δεῖ[x] προπαιδευθῆναι, παισὶν οὖσι χρὴ προβάλλειν,[y] οὐχ ὡς ἐπάναγκες μαθεῖν τὸ σχῆμα τῆς διδαχῆς ποιουμένους. Τί δή; Ὅτι, ἦν δ' ἐγώ, οὐδὲν μάθημα μετὰ δουλείας τὸν ἐλεύθερον χρὴ μανθάνειν. οἱ μὲν γὰρ τοῦ σώματος πόνοι βίᾳ πονούμενοι χεῖρον οὐδὲν τὸ σῶμα ἀπεργάζονται, ψυχῇ δὲ βίαιον οὐδὲν ἔμμονον μάθημα. Ἀληθῆ, ἔφη. Μὴ τοίνυν βίᾳ, εἶπον, ὦ ἄριστε, τοὺς παῖδας ἐν τοῖς μαθήμασιν ἀλλὰ παίζοντας τρέφε, ἵνα καὶ μᾶλ- II. 537.
λον οἷός τ' ἦς[z] καθορᾶν ἐφ' ὃ[a] ἕκαστος πέφυκεν. Ἔχει[b] λέγεις, ἔφη, λόγον. [§. 16.] Οὐκοῦν μνημονεύεις, ἦν δ' ἐγώ, ὅτι καὶ εἰς τὸν πόλεμον ἔφαμεν τοὺς παῖδας εἶναι ἀκτέον ἐπὶ τῶν ἵππων θεωρούς, καὶ ἐάν που ἀσφαλὲς ᾖ, προσακτέον ἐγγὺς καὶ γευστέον αἵματος, ὥς περ τοὺς σκύλακας; Μέμνημαι, ἔφη. Ἐν πᾶσι δὴ τούτοις, ἦν δ' ἐγώ, τοῖς τε πόνοις καὶ μαθήμασι καὶ φόβοις ὃς[b] ἂν ἐντρεχέστατος ἀεὶ φαίνηται, εἰς ἀριθμόν τινα ἐγκριτέον. Ἐν

[w] προπαιδειῶν Κ.—[x] τοῖς διαλεκτικοῖς δεῖ Φ, δεῖ τοῖς διαλεκτικοῖς ϒ, δεῖ τῆς διαλεκτικῆς Θ.—[y] προσβάλλειν Θϙϒ.—[z] ᾖ ς.—[a] ἐφ' ᾧ Θϒ et corr A, ἔφη ὃ υ.—[b] οἷς

Erast. 133. C. Plutarch. Solon. Vit. p. 96. E. Senec. Epist. 76. §. 2. 'Tamdiu discendum est, quamdiu vivas.' Cf. Erasmi Adag. Chil. i. Centur. viii. 60. p. 234. Ast.

ἔμμονον] Ald. ἔμμενον. Ast.

ᾖς] Ita pro ᾖ, quod in Ald. Bas. 1. et Steph. comparet, scripsimus cum Ficino, qui vertit: *ut et magis—possis agnoscere.* Bas. 2. habet ᾖ. Ast.

§. 16. ἐπὶ τῶν ἵππων] De hac lectione minime dubitandum est: quum lib. v. p. 467. circa finem (qui locus is est cujus hic mentionem facit) dicat itidem, ἐφ' ἵππων ἀκτέον ἐπὶ τὴν θέαν. Quin potius locus hic ex illo est emendandus, quum male ἐφ' ἵππων jungatur cum ἱππεύειν. Totus enim locus ita est legendus, ἐπὶ τοὺς ἵππους (ἦν δ' ἐγὼ) ἀναβιβαστέον ὡς νεωτάτους, καὶ διδαξομένους ἱππεύειν, ἐφ' ἵππων ἀκτέον ἐπὶ τὴν θέαν: id est, *jam inde a prima puritia tollendi sunt in equis; ducendique in equis ad belli spectaculum, ut eos equitare doceamus.* At Fic. nec eadem verba repræsentat, et participium illud aliter legit: ita reddens, *equitare consuescant primis ab annis pueri: quumque hoc didicerint, equis ad spectaculum belli ducentur.* Neque enim hic διδαξαμένους sed διδαξομένους scriptum est. Quod si tamen legerat διδαξαμένους in suo exemplari, vertere potius debuerat, *Postquam docuerimus illos equitare.* Ad nostrum autem locum ut redeam, videri posset infinitivus εἶναι ante ἀκτέον irreptitius esse, quum eo minime sit opus: sed tali loco adhibitum et alibi me observare memini. At vero γευστέον Fic. ita vertit quasi esset a γεύομαι, quum sit a γεύω, quod non *gusto*, sed *gustum præbeo* significat. Steph.

ἀκτέον] Vide v. 4. p. 467. E. Ast.

τίνι, ἔφη, ἡλικίᾳ; Ἥνίκα, ἦν δ' ἐγώ, τῶν ἀναγκαίων γυμνασίων μεθίενται. οὗτος γὰρ ὁ χρόνος, ἐάν τε δύο ἐάν τε
III. i. 368. τρία ἔτη γίγνηται, ἀδύνατός τι ἄλλο πρᾶξαι· κόποι γὰρ καὶ ὕπνοι μαθήμασι πολέμιοι· καὶ ἅμα μία καὶ αὕτη τῶν βασάνων[c] οὐκ ἐλαχίστη, τίς ἕκαστος[d] ἐν τοῖς γυμνασίοις φανεῖται. Πῶς γὰρ οὔκ; ἔφη. Μετὰ δὴ[e] τοῦτον τὸν χρόνον, ἦν δ' ἐγώ, ἐκ τῶν εἴκοσιν ἐτῶν οἱ προκριθέντες τιμάς τε μείζους τῶν ἄλλων οἴσονται, τά τε χύδην μαθήματα παισὶν ἐν[f] τῇ παιδείᾳ[g] γενόμενα[h] τούτοις συνακτέον εἰς σύνοψιν οἰκειότητος ἀλλήλων[i] τῶν μαθημάτων καὶ τῆς τοῦ ὄντος φύσεως. Μόνη γοῦν, εἶπεν, ἡ τοιαύτη μάθησις βέβαιος ἐν οἷς ἂν[k] ἐγγένηται. Καὶ μεγίστη γε,[k] ἦν δ' ἐγώ, πεῖρα διαλεκτικῆς φύσεως καὶ μή· ὁ μὲν γὰρ συνοπτικὸς διαλεκτικός, ὁ δὲ μὴ οὔ. Ξυνοίομαι, ἦ δ' ὅς. Ταῦτα τοίνυν, ἦν δ' ἐγώ, δεήσει σε[l] ἐπισκοποῦντα, οἳ[m] ἂν μάλιστα τοιοῦτοι ἐν αὐτοῖς ὦσι καὶ μόνιμοι μὲν ἐν μαθήμασι, μόνιμοι δ' ἐν πολέμῳ καὶ τοῖς[n] ἄλλοις νομίμοις, τούτους αὖ,[o] ἐπειδὰν τὰ τριάκοντα ἔτη ἐκβαίνωσιν, ἐκ τῶν προκρίτων προκρινάμενον[p] εἰς μείζους τε τιμὰς καθιστάναι καὶ σκοπεῖν, τῇ τοῦ διαλέγεσθαι δυνάμει βασανίζοντα,[q] τίς ὀμμάτων καὶ[r] τῆς ἄλλης αἰσθήσεως δυνατὸς μεθιέμενος[s] ἐπ' αὐτὸ τὸ ὂν μετ' ἀληθείας ἰέναι. καὶ[t] ἐνταῦθα δὴ
III. i. 369. πολλῆς φυλακῆς ἔργον, ὦ ἑταῖρε. Τί μάλιστα; ἦ δ' ὅς. Οὐκ ἐννοεῖς, ἦν δ' ἐγώ, τὸ νῦν περὶ τὸ διαλέγεσθαι κακὸν[u] γιγνόμενον ὅσον γίγνεται; Τὸ ποῖον; ἔφη. Παρανομίας που, ἔφην ἐγώ, ἐμπίπλαται.[v] Καὶ μάλα,[w] ἔφη. Θαυ-

K.—[c] *βασκάνων* r.—[d] *ἕκαστος* om *v*.—[e] *δὴ* ΘΞΠΦDKqvm: *δὲ* *s*.—[f] *μὲν* *v*.—[g] *παιδιᾷ* DK.—[h] *γιγνόμενα* Θr.—[i] *οἰκειότητός τε ἀλλήλων* *v*.—[k] *γε* om Ξm.—[l] *σε* om *v*.—[m] *οἷοι* Θr.—[n] *καὶ τοῖς* om AΞΦm: *καὶ ἐν τοῖς* **s*.—[o] *τούτοις αὖ* ΘΠK, *αὖ τούτους* r.—[p] *προκριναμένων* Φ.—[q] *βασανίζοντας* Kq.—[r] *ὀμμάτων καὶ* AΘΠΦDKqm r: *ὀμμάτων τε καὶ* *s*.—[s] *μεθιέμενος δυνατὸς* *s*.—[t] *καὶ* om *v*.—[u] *καλὸν* Afm.—[v] *ἐμπίπλανται* Φm, *ἐμπίπλασθαι* rc q.—[w] *μάλ'* *v*.—[x] *εἶπον* om r.—[y] *ξυγγιγνώσκειν*

κόποι—πολέμιοι] Respexit Plutarchus de Educat. Puer. observante P. Victorio Var. Lect. xv. 2. Ast.

τίς] Pro *τίς* legitur etiam *ποῖός τις*. In præced. autem edit. scriptum est *τῥὶς* pro *τίς*. Steph.

ποῖός τις] Hoc sensus postulat et Ficini versio suadet, *qualis videlicet quisque in gymnasiis ipsis apparebat*. Ald. Bas. 1. et 2. exhibent *τῥὶς* vitiose. Ast.

τούτους] Cod. Reg. Ald. Bas. 1. et 2. *τούτοις*. Mox *προκριναμένων* Cod. Monac. Ficinus habet, *ex electis præelectos*. Paulo post Ald. Bas. 1. et 2. *βασανίζοντας* et *δυνατὸς μεθιέμενος*, ut et Codd. Reg. ac Monac. Ast.

μαστὸν οὖν τι οἴει, εἶπον,[x] πάσχειν αὐτούς, καὶ οὐ ξυγγιγνώσκεις;[y] Πῆ[z] μάλιστ'; ἔφη. Οἷον, ἦν δ' ἐγώ, εἴ τις ὑποβολιμαῖος τραφείη ἐν πολλοῖς μὲν χρήμασι, πολλῷ δὲ καὶ μεγάλῳ γένει καὶ[a] κόλαξι[b] πολλοῖς, ἀνὴρ δὲ[c] γενόμενος αἴσθοιτο ὅτι οὐ τούτων ἐστὶ τῶν φασκόντων γονέων, II. 538.
τοὺς δὲ τῷ ὄντι γεννήσαντας μὴ εὕροι, τοῦτον ἔχεις[d] μαντεύσασθαι πῶς ἂν διατεθείη πρός τε τοὺς κόλακας καὶ πρὸς τοὺς ὑποβαλομένους[e] ἐν ἐκείνῳ τε τῷ χρόνῳ ᾧ[f] οὐκ ἤδει τὰ περὶ τῆς ὑποβολῆς καὶ ἐν ᾧ αὖ ἤδει; ἢ[g] βούλει ἐμοῦ μαντευομένου ἀκοῦσαι; Βούλομαι, ἔφη. Μαντεύομαι τοίνυν, εἶπον, μᾶλλον αὐτὸν τιμᾶν ἂν τὸν πατέρα καὶ[h] τὴν μητέρα καὶ τοὺς ἄλλους οἰκείους δοκοῦντας ἢ[i] τοὺς κολακεύοντας, καὶ ἧττον μὲν ἂν περιδεῖν ἐνδεεῖς[k] τινός, ἧττον δὲ παράνομόν τι δρᾶσαι ἢ εἰπεῖν εἰς αὐτούς, ἧττον δὲ ἀπειθεῖν τὰ μεγάλα ἐκείνοις ἢ τοῖς κόλαξιν, ἐν ᾧ χρόνῳ τὸ[l] ἀληθὲς μὴ[m] εἰδείη. Εἰκός, ἔφη. Αἰσθόμενος τοίνυν III. i. 370.
τὸ ὄν, μαντεύομαι αὖ περὶ μὲν τούτους ἀνεῖναι ἂν τὸ τιμᾶν τε καὶ σπουδάζειν, περὶ δὲ τοὺς κόλακας ἐπιτεῖναι, καὶ πείθεσθαί τε αὐτοῖς διαφερόντως ἢ πρότερον καὶ ζῆν ἂν ἧδη κατ' ἐκείνους, ξυνόντα αὐτοῖς ἀπαρακαλύπτως,[n] πατρὸς δὲ ἐκείνου καὶ τῶν ἄλλων ποιουμένων οἰκείων, εἰ μὴ πάνυ εἴη φύσει[o] ἐπιεικής, μέλειν[p] τὸ[q] μηδέν. Πάντ', ἔφη, λέγεις οἷά περ ἂν γένοιτο. ἀλλὰ πῇ πρὸς τοὺς ἁπτομένους[r] τῶν λόγων αὕτη φέρει ἡ εἰκών; Τῇδε. ἔστι που ἡμῖν δόγματα ἐκ παίδων περὶ δικαίων καὶ καλῶν, ἐν οἷς ἐκτεθράμμεθα[s] ὡς περ ὑπὸ[t] γονεῦσι, πειθαρχοῦντές τε καὶ τιμῶντες αὐτά.

v.—[x] πῶς Κ.—[a] καὶ post γένει om Θ.—[b] κόλαξι δὲ π. τε Θ.—[c] δὲ om ΘΠΔΚqr.—[d] ἔχοις q.—[e] ὑποβαλλομένους ΘΞΠΦΔΚvr.—[f] χρόνῳ ᾧ ΑΘΠΦΔΚqvmr: χρόνῳ ἐν ᾧ s.—[g] ἢ οὐ Θr.—[h] τιμᾶν ἂν αὐτὸν τὸν πατέρα τε καὶ v.—[i] ἢ καὶ Θ.—[k] ἐνδεοῦς r.—[l] μὴ τὸ τε Θ.—[m] οὐκ v: om ΘΠΔΚr.—[n] ἀπανακαλύπτως q.—[o] φύσει εἴη r, εἴη φύσις m.—[p] μέλει r, μέλλειν v.—[q] τὸ om Θr.—[r] πρὸς τοὺς ἁπτομένους τῶν ΑΦ νm, προσάπτομένοις τῷ Θ, προσαπτομένους τῶν ΠΔΚqr: προσάπτομεν οὓς τῶν

ὑποβαλομένους] Ald. Bas. 1. et 2. ὑποβαλλομένους. Ast.

ποιουμένων οἰκείων] Ποιουμένων, passive est, *qui ponuntur*, h. e. putantur familiares esse. Sic ix. 2. ἐπιθυμίας—ποιουμένας χρηστάς. Ast.

πρὸς ἁπτομένους] Sic Cod. Monac. qui τοὺς addit; idem Heusdius Spec. Crit. p. 132. legendum esse vidit. Vulgo προσάπτομεν, οὓς. Ficinus, *sed quid hæc similitudo ad eos, qui disputationes sectantur?* Ast.

Ἔστι γάρ. Οὐκοῦν καὶ ἄλλα[u] ἐναντία τούτων ἐπιτηδεύματα ἡδονὰς ἔχοντα, ἃ κολακεύει[v] μὲν ἡμῶν[w] τὴν ψυχὴν καὶ ἕλκει ἐφ' ἑαυτά,[x] πείθει δ' οὐ τοὺς καὶ ὁπηοῦν[y] μετρίους· ἀλλ' ἐκεῖνα τιμῶσι τὰ πάτρια καὶ ἐκείνοις πειθαρχοῦσιν. Ἔστι ταῦτα. Τί οὖν; ἦν δ' ἐγώ· ὅταν τὸν οὕτως ἔχοντα ἐλθὸν[z] ἐρώτημα ἔρηται[a] τί ἐστι τὸ καλόν, καὶ ἀποκρινάμενον[b] ἃ τοῦ νομοθέτου ἤκουεν[c] ἐξελέγχῃ[d] ὁ λόγος, καὶ πολλάκις καὶ πολλαχῇ[e] ἐλέγχων εἰς δόξαν καταβάλῃ[f] ὡς τοῦτο οὐδὲν μᾶλλον καλὸν ἢ αἰσχρόν, καὶ
III. i. 371. περὶ δικαίου ὡσαύτως καὶ ἀγαθοῦ[g] καὶ ἃ μάλιστα ἦγεν ἐν τιμῇ, μετὰ τοῦτο τί οἴει ποιήσειν αὐτὸν πρὸς αὐτὰ τιμῆς τε πέρι καὶ πειθαρχίας; Ἀνάγκη, ἔφη, μήτε τιμᾶν ἔτι ὁμοίως μήτε πείθεσθαι. Ὅταν οὖν, ἦν δ' ἐγώ, μήτε ταῦτα ἡγῆται τίμια καὶ οἰκεῖα ὥς περ πρὸ τοῦ, τά τε
II. 539. ἀληθῆ μὴ εὑρίσκῃ, ἔστι πρὸς ὁποῖον βίον ἄλλον ἢ τὸν κολακεύοντα εἰκότως προσχωρήσεται; Οὐκ ἔστιν, ἔφη. Παράνομος δή, οἶμαι, δόξει[h] γεγονέναι ἐκ νομικοῦ.[i] Ἀνάγκη. [§. 17.] Οὐκοῦν, ἔφην, εἰκὸς τὸ πάθος τῶν οὕτω λόγων ἁπτομένων, καὶ ὃ ἄρτι ἔλεγον, πολλῆς συγγνώμης ἄξιον; Καὶ ἐλέου[k] γ', ἔφη. Οὐκοῦν ἵνα μὴ γίγνηται ὁ ἔλεος οὗτος περὶ τοὺς τριακοντούτας[l] σοι, εὐλαβουμένῳ παντὶ τρόπῳ[m] τῶν λόγων ἁπτέον; Καὶ μάλ', ἦ δ' ὅς. Ἆρ' οὖν οὐ μία[n] μὲν εὐλάβεια αὕτη συχνή, τὸ μὴ νέους ὄντας αὐτῶν γεύεσθαι; οἶμαι γάρ σε οὐ λελῆθέναι ὅτι οἱ μειρακίσκοι, ὅταν τὸ πρῶτον λόγων γεύωνται, ὡς παιδιᾷ[o] αὐτοῖς κατα-

*s.—[a] ἐτεθράμμεθα Φ.—[t] ἐπὶ v.—[u] ἄλλως Θ.—[v] κολακεύειν m.—[w] ἡμῖν v.—[x] αὐτὰ ΑΞΦm.—[y] ὁποιοῦν ΘKr.—[z] ἐλθὼν ΞΦvm.—[a] ἔρηται ΑΞΠΦDqvm, om Θr: εἴρηται s.—[b] ἀποκριναμένου ΑΠΦDKqvm.—[c] ἤκουσεν ΞΦm.—[d] ἐξελέγχει Ξ, ἐξελέγξει Φm, οὐκ ἐλέγχῃ K.—[e] καὶ πολλαχῇ om K.—[f] καταβάλλῃ Πqr, καταβάλλει Θ, καταλάβῃ ΑΦm.—[g] καὶ ἀγαθοῦ ὡσαύτως Φ.—[h] δόξεις Θr, δόξει γε Φm.—[i] νομίμου ΞΦvm.—[k] ἐλέους ΞΦm.—[l] τριακοντούτας ΑΘΠΦm: τριακοντούτεις *s.

ἡμῶν] Bas. 2. αὐτῶν. Ast.

πολλαχῇ] Absunt a cod. Reg. Ficinus, *crebrisque et variis redargutionibus.* Ast.

καταβάλῃ] Cod. Monac. καταλαβῇ, pervulgari mutatione. Ast.

βίον] Ald. Bas. 1. et 2. βίου. Ast.

νομίμου] Sic Bas. 2. Vulgo νομικοῦ, contra sensum; namque νομικὸς est *juris peritus*, νόμιμος vero *justus*. Ast.

§. 17. τῶν λόγων ἁπτέον] *Sermones tibi attingendi* s. tractandi sunt, ita ut omnem adhibeas cautionem circa eos, qui triginta annos nati sunt. More id ipsum ei tribuitur, quod per eum sit s. quod ut fiat auctor est, namque τῶν λόγων ἅπτεσθαι proprie ad juvenes spectat erudiendos. Ast.

χρῶνται, ἀεὶ[p] εἰς ἀντιλογίαν χρώμενοι, καὶ μιμούμενοι τοὺς ἐξελέγχοντας αὐτοὶ ἄλλους ἐλέγχουσι, χαίροντες ὥς περ σκυλάκια τῷ ἕλκειν τε καὶ σπαράττειν τῷ λόγῳ τοὺς πλησίον ἀεί. Ὑπερφυῶς μὲν οὖν, ἔφη. Οὐκοῦν ὅταν δὴ πολλοὺς μὲν αὐτοὶ ἐλέγξωσιν,[q] ὑπὸ πολλῶν δὲ ἐλεγχθῶσι,[r] III. i. 372. σφόδρα καὶ ταχὺ ἐμπίπτουσιν εἰς τὸ μηδὲν ἡγεῖσθαι ὧν περ πρότερον· καὶ ἐκ τούτων δὴ αὐτοί τε καὶ τὸ ὅλον φιλοσοφίας πέρι εἰς τοὺς ἄλλους διαβέβληνται.[s] Ἀληθέστατα, ἔφη.[t] Ὁ[u] δὲ δὴ πρεσβύτερος, ἦν δ' ἐγώ, τῆς μὲν τοιαύτης μανίας οὐκ ἂν ἐθέλοι μετέχειν, τὸν δὲ διαλέγεσθαι ἐθέλοντα καὶ σκοπεῖν τἀληθὲς μᾶλλον μιμήσεται[v] ἢ τὸν παιδιᾶς[w] χάριν παίζοντα καὶ ἀντιλέγοντα, καὶ αὐτός τε μετριώτερος ἔσται καὶ τὸ ἐπιτήδευμα τιμιώτερον[x] ἀντὶ ἀτιμοτέρου ποιήσει. Ὀρθῶς, ἔφη. Οὐκοῦν καὶ τὰ προειρημένα τούτου ἐπ' εὐλαβείᾳ πάντα προείρηται, τὸ τὰς φύσεις κοσμίους[y] εἶναι καὶ στασίμους οἷς τις μεταδώσει τῶν λόγων, καὶ μή, ὡς νῦν ὁ τυχὼν καὶ οὐδὲν[z] προσήκων ἔρχεται ἐπ' αὐτό; Πάνυ μὲν οὖν, ἔφη. Ἀρκεῖ δὴ ἐπὶ λόγων μεταλήψει μεῖναι ἐνδελεχῶς[a] καὶ ξυντόνως μηδὲν ἄλλο πράττοντι, ἀλλ' ἀντιστρόφως γυμναζομένῳ τοῖς περὶ τὸ σῶμα γυμνα-

—[m] λόγῳ r.—[n] οὐδεμία Φm.—[o] παιδία Π.—[p] ἀεὶ om Ξ.—[q] ἐλέγξωσιν ΑΘΠΦDKq mr : ἐξελέγξωσιν [s]Σ.—[r] ἐλεγχθῶσι ΑΘΠΦDKmr : ἐξελεγχθῶσι [s]Σ.—[s] βέβληνται pr Ξ.—[t] ἔφης ΘΠr.—[u] οὐκοῦν Θ.—[v] μεμνήσεται γρ rc A.—[w] παιδίας Π, παιδείας τ Θ.—[x] μετριώτερον DKq.—[y] φύσεις τε κοσμίους υ.—[z] μηδὲν Ξ.—[a] ἐνδελεχῶς υ.—

ἕλκειν κ. σπαράτ.] Respexit Plutarch. de Profect. in Virtut. Sent. t. ii. p. 78. F. οἱ δ', ὥσπερ τὰ σκυλάκια, φησὶν ὁ Πλάτων τῷ ἕλκειν καὶ σπαράττειν χαίροντες, ἐπὶ τὰς ἔριδας καὶ τὰς ἀπορίας καὶ τὰ σοφίσματα χωροῦσιν. Ceterum ἕλκειν verbum est de canibus solemne. Homer. Il. X. 335. σὲ μὲν κύνες ἠδ' οἰωνοὶ Ἑλκήσουσ' ἀϊκῶς. Eurip. Herc. F. 567. Sic et σπαράττειν v. Wyttenbach. ad Plutarch. de S. N. V. p. 11. Asr.

ἡγεῖσθαι] ἡγῆσθαι Ald. Bas. 1. 2. Asr.

τὸ ὅλον φιλοσοφίας πέρι] *Universa philosophiæ res* s. sors, i. e. universa philosophia; ponitur enim περὶ cum genitivo ita, ut sortem et conditionem significet, ut τὰ περὶ τινός. vid. Wetsten. et Raphel. ad Luc. xxiv. 19. Dorvill. ad Charit. p. 92. Sequens ἐς est *apud, coram*, v. nostra ad Sympos. p. 216. Asr.

ἀτιμοτέρου] Cod. Monac. Ald. Bas. 1. et 2. ἀτιμωτέρου. Asr.

καὶ μή] Opinor καὶ ex εἰ enatum, et hoc fere modo legendum esse: εἰ δὲ μὴ (*sin minus, alioquin*) ὡς νῦν, ὁ τυχὼν— ἐπ' αὐτό. Asr.

αὐτὸ] Vide annon potius scribendum sit αὐτούς. Steph. Non opus. Asr.

ἀντιστρόφως] Non est *vicissim*, ut Ficinus vertit, sed *e contrario*, igitur: *qui se exercet aliis, quam corporis, exercitationibus*, scil. exercitationibus mentis. Hinc τότε, quod corporis exercitationes respicit, v. cap. 16. init. ἡνίκα— τῶν ἀναγκαίων γυμνασίων μεθίενται. οὗτος γὰρ ὁ χρόνος, ἐάν τε δύο ἐάν τε τρία ἔτη γίγνηται, ἀδύνατός τι ἄλλο πρᾶξαι·

σίοις, ἔτη[b] διπλάσια ἢ τότε; Ἔξ, ἔφη, ἢ τέτταρα λέγεις; Ἀμέλει, εἶπον, πέντε θές. μετὰ γὰρ τοῦτο καταβιβαστέοι[c] ἔσονταί σοι εἰς τὸ σπήλαιον πάλιν ἐκεῖνο, καὶ ἀναγκαστέοι[d] ἄρχειν τά τε περὶ τὸν πόλεμον καὶ ὅσαι νέων ἀρχαί, ἵνα
III. i. 373. μηδ' ἐμπειρίᾳ ὑστερῶσι τῶν ἄλλων. καὶ ἔτι καὶ ἐν τού-
II. 540. τοις βασανιστέοι,[e] εἰ ἐμμενοῦσιν[f] ἑλκόμενοι πανταχόσε ἢ[g] τι καὶ παρακινήσουσιν. Χρόνον δέ,[h] ἦ δ' ὅς, πόσον τοῦτον[i] τίθης;[k] Πεντεκαίδεκα ἔτη,[l] ἦν δ' ἐγώ. γενομένων δὲ[m] πεντηκοντούτων[n] τοὺς διασωθέντας καὶ ἀριστεύσαντας πάντα πάντῃ ἐν[o] ἔργοις τε[p] καὶ ἐπιστήμαις πρὸς τέλος ἤδη ἀκτέον, καὶ ἀναγκαστέον ἀνακλίναντας τὴν τῆς[q] ψυχῆς[r] αὐγὴν[s] εἰς αὐτὸ ἀποβλέψαι τὸ πᾶσι φῶς παρέχον, καὶ ἰδόντας τὸ ἀγαθὸν αὐτό, παραδείγματι χρωμένους ἐκείνῳ, καὶ πόλιν καὶ ἰδιώτας καὶ ἑαυτοὺς κατακοσμεῖν[t] τὸν ἐπίλοιπον βίον ἐν μέρει ἑκάστους, τὸ μὲν πολὺ πρὸς φιλοσοφίαν διατρίβοντας, ὅταν δὲ τὸ μέρος ἥκῃ, πρὸς πολιτικοῖς ἐπιταλαιπωροῦντας καὶ ἄρχοντας ἑκάστους τῆς πόλεως ἕνεκα, οὐχ ὡς καλόν τι ἀλλ' ὡς ἀναγκαῖον πράττοντας, καὶ οὕτως ἄλλους ἀεὶ παιδεύσαντας τοιούτους, ἀντικαταλιπόντας τῆς πόλεως φύλακας, εἰς μακάρων νήσους ἀπιόντας οἰκεῖν· μνημεῖα δ' αὐτοῖς καὶ θυσίας τὴν πόλιν δημοσίᾳ ποιεῖν, ἐὰν καὶ ἡ Πυθία ξυναναιρῇ,[u] ὡς δαίμοσιν, εἰ δὲ μή, ὡς εὐ-
III. i. 374. δαίμοσί τε καὶ θείοις. Παγκάλους, ἔφη, τοὺς ἄρχοντας, ὦ Σώκρατες, ὥς περ ἀνδριαντοποιὸς[v] ἀπείργασαι. Καὶ τὰς ἀρχούσας γε, ἦν δ' ἐγώ, ὦ Γλαύκων. μηδὲν γάρ τι[w] οἴου[x] με περὶ ἀνδρῶν εἰρηκέναι μᾶλλον ἃ[q] εἴρηκα ἢ περὶ

[b] ἔτι Ξ.—[c] καταβιβαστέα Κ.—[d] ἀναγκαστέον Κ.—[e] βασανιστέον Κ.—[f] εἰ μένουσιν DKq, ἐν μένουσιν Π, μένουσιν Θr.—[g] εἴ qm.—[h] δὲ om v.—[i] τοῦτο ΘΞΦr.—[k] τιθεῖς DKr.—[l] ἔτι ΘΠ: ἔτη post ἐγὼ ponit v.—[m] δὲ om v.—[n] πεντηκοντούτων Φm, πεντήκοντα τούτων Ξ.—[o] ἐν om r.—[p] τε om q.—[q] τῆς om Κ.—[r] ψυχῆς εἰς r.—[s] αὐγὴν ΑΘΞΠΦDqvmr, αὐτὴν Κ: ἀκτῖνα s.—[t] κοσμεῖν ΑΞΦvm.—[u] ξυναιρῇ Am, ξυναίρῃ ΘΠr.—[v] lacunam Θ, ἀνδριάντας οἶμαι r, τοποιὸς Π, ἀνδριάντας τοποιὸς Ξ, περιττοποιὸς (omisso περ) DKq.

κόποι γὰρ καὶ ὕπνοι μαθήμασι πόλεμοι. Ast.

πεντηκοντούτων] Ald. Bas. 1. et 2. πεντήκοντα τούτων. Ast.

ἀνακλίναντας] *Quasi aperientes*, quo sensu præcipue Homerus verbum ἀνακλίνειν usurpavit, v. c. Il. v. 751. ubi v. Eustath. Pro ἀκτῖνα Cod. Mon. exhibet αὐγὴν, quo ducit Cod. Regii scriptura, τὴν ψυχὴν αὐτήν. Ficinus agnoscit vulgatam lectionem. Ast.

ἥκῃ] Ald. Bas. 1. et 2. ἥκοι. Ast.

ἡ Πυθία ξυναναιρῇ] Laudat Aristid. Orat. de Rhetor. t. ii. p. 11. et Thom. Mag. v. ἀνεῖλεν. p. 67. Ast.

γυναικῶν,[y] ὅσαι ἂν αὐτῶν[z] ἱκαναὶ τὰς φύσεις ἐγγίγνωνται. Ὀρθῶς, ἔφη, εἴ περ ἴσα γε πάντα[a] τοῖς ἀνδράσι κοινωνήσουσιν, ὡς διήλθομεν. Τί οὖν; ἔφην· ξυγχωρεῖτε[b] περὶ τῆς πόλεώς τε[c] καὶ πολιτείας μὴ παντάπασιν ἡμᾶς εὐχὰς εἰρηκέναι, ἀλλὰ χαλεπὰ μέν, δυνατὰ δέ πῃ, καὶ οὐκ ἄλλῃ ἢ εἴρηται,[d] ὅταν οἱ ὡς ἀληθῶς φιλόσοφοι δυνάσται, ἢ πλείους ἢ εἷς, ἐν πόλει γενόμενοι τῶν μὲν νῦν τιμῶν καταφρονήσωσιν, ἡγησάμενοι ἀνελευθέρους εἶναι καὶ οὐδενὸς ἀξίας, τὸ δὲ ὀρθὸν περὶ πλείστου ποιησάμενοι καὶ τὰς ἀπὸ τούτου τιμάς, μέγιστον δὲ[e] καὶ ἀναγκαιότατον τὸ δίκαιον, καὶ τούτῳ[f] δὴ ὑπηρετοῦντές τε[g] καὶ αὔξοντες αὐτὸ διασκευωρήσωνται[h] τὴν ἑαυτῶν πόλιν; Πῶς; ἔφη. Ὅσοι μὲν ἄν, ἦν δ' ἐγώ, πρεσβύτεροι τυγχάνωσι δεκετῶν[i] ἐν τῇ πόλει, πάντας ἐκπέμψουσιν[k] εἰς τοὺς ἀγρούς, τοὺς δὲ παῖδας αὐ- II. 541.
τῶν παραλαβόντες ἐκτὸς τῶν νῦν ἠθῶν, ἃ[l] καὶ οἱ γονῆς[m]
ἔχουσι,[n] θρέψωνται[o] ἐν τοῖς σφετέροις[p] τρόποις[q] καὶ νόμοις, III. i. 375.
οὕσιν οἵοις διεληλύθαμεν τότε. καὶ οὕτω τάχιστά τε καὶ ῥᾷστα πόλιν τε[r] καὶ πολιτείαν, ἣν[s] ἐλέγομεν,[t] καταστᾶσαν αὐτήν τε εὐδαιμονήσειν καὶ τὸ ἔθνος, ἐν ᾧ ἂν ἐγγένη-

—[w] τοι q.—[x] οἵει v.—[y] περὶ καὶ γυναικῶν v.—[z] αὐταὶ r.—[a] εἰς ἅπαντα γε v.—[b] ξυγχωρεῖ-τε A, ξυγχωρεῖν τε ΘΠr, ξυγχωρεῖτε Φq, ξυγχωρεῖς τε Kνm et corr D.—[c] τε om v.—[d] ἄλλῃ ἢ εἴρηται AΦm, ἄλλῃ ἢ ᾗ εἴρηται q, κακῶς εἴρηται Ξ: ἄλλῃ εἴρηται *s.—[e] γε v.—[f] τοῦτο ΘΞm.—[g] τε om r.—[h] διασκευωρίσωνται DK, διασκευωρήσονται Ξr.—[i] δέκ' ἐτῶν AΦm et corr D, δὲ καὶ τῶν Kq.—[k] ἐκπέμψωσιν AΘΠ ΦDKqνmr: ἐκπέμψουσιν s.—[l] καὶ ἃ DKq.—[m] οἱ γονῆς A et pr Π, οἱ γονεῖς Φνm, οἰκογενῆ q: οἰκογενεῖς *s.—[n] ἔχωσι r.—[o] θρέψονται AΘΞΠΦDmr: θρέψονται *s.—[p] σαφεστέροις ΘΞ.—[q] τρόποισι v.—[r] τε om m.—[s] εἶναι q.—[t] λέγομεν qm.—

περὶ τῆς πόλεως] Laudat Stob. xli. p. 260. ubi scriptum est χαλεπὸν μὲν οὖν πόλεώς τε—omisso ἡμᾶς—χαλεπόν. Ast.

καὶ οὐκ ἄλλῃ] Invenitur et hæc lectio καὶ οὐ κακῶς εἴρηται; Steph.

ἢ ὡς εἴρηται] Sic de conjectura scripsimus, sensu postulante. Vulgo καὶ οὐκ ἄλλῃ, εἴρηται, Bas. 2. καὶ οὐ κακῶς εἴρηται, in quo ὡς latet; Stobæus autem καὶ οὐκ ἄλλῃ πῃ εἴρηται, ubi πῃ ex ἢ enatum esse apparet, quod exhibet Cod. Monac. Similiter Ficinus vertit, *ea duntaxat ratione*, qua diximus, *quando scilicet*. Ante ὅταν particula explicativa de more omissa est. Mox Stob. οἱ ἀληθῶς—ἀξίους—διασκευωρήσωται τὴν ἑαυτοῦ πόλις. Ast.

δεκετῶν] Stob. exhibet δέκα, Cod. Reg. vero δὲ καὶ τῶν, unde conjicere possis scribendum esse δέκα ἐτῶν, quo tamen non opus est. Mox Stob. et Cod. Monac. ἐκπέμψωσιν, et συνήθων. Stob. pro νῦν ἠθῶν (Bas. 2. simpliciter ἠθῶν). Ast.

γονεῖς] Attice γονῆς, ut scribi oportebat. Hoc Codici Monac. et Stobæo debemus, quod Ficinus quoque expressit vertens, *quibus hodie parentes utuntur*; unde conjicias eum legisse, ἐκ τῶν ἠθῶν, ἃ νῦν οἱ γονεῖς ἔχουσι. Vulgo οἰκογενεῖς. In vulgata scriptura καὶ pro explicativa particula habendum esset. Ast.

εὐδαιμονήσειν] Repetendum est εἴρηται ex antecedentibus, et ad ἐγγένηται intellige ἡ πολιτεία. Ast.

ται, πλεῖστα[u] ὀνήσειν. Πολύ γ', ἔφη· καὶ ὡς[v] ἂν γένοιτο, εἴ πέρ ποτε γίγνοιτο, δοκεῖς μοι, ὦ Σώκρατες, εὖ εἰρηκέναι. Οὐκοῦν ἄδην[w] ἤδη, εἶπον[x] ἐγώ, ἔχουσιν ἡμῖν οἱ λόγοι[y] περί τε τῆς πόλεως ταύτης καὶ τοῦ ὁμοίου ταύτῃ ἀνδρός; δῆλος[z] γάρ που καὶ οὗτος, οἷον φήσομεν δεῖν αὐτὸν εἶναι. Δῆλος, ἔφη· καὶ ὃ πέρ ἐρωτᾷς, δοκεῖ μοι τέλος ἔχειν.

[u] γένηται πλείονα r.—[v] ὥσγ' v.—[w] ἄδην ΑΘΞm, ἄδην ΠΦ: ἄδδην *s.—[x] εἶπον ἤδη Φ.—[y] ὀλίγοι ΘΠ.—[z] δῆλον qm.

ΠΟΛΙΤΕΙΑ,

Η.

§. 1. Εἶεν· ταῦτα μὲν δὴ[a] ὡμολόγηται, ὦ Γλαύκων, τῇ μελλούσῃ ἄκρως οἰκεῖν πόλει κοινὰς μὲν γυναῖκας,[b] κοινοὺς δὲ παῖδας εἶναι καὶ πᾶσαν παιδείαν, ὡσαύτως δὲ τὰ ἐπιτηδεύματα κοινὰ ἐν πολέμῳ τε καὶ εἰρήνῃ,[c] βασιλέας δὲ[d] αὐτῶν εἶναι τοὺς ἐν φιλοσοφίᾳ τε καὶ πρὸς τὸν πόλεμον γεγονότας ἀρίστους. Ὡμολόγηται, ἔφη. Καὶ μὴν καὶ τάδε ξυνεχωρήσαμεν, ὡς ὅταν δὴ καταστῶσιν οἱ ἄρχοντες, ἄγοντες τοὺς στρατιώτας κατοικιοῦσιν εἰς οἰκήσεις οἵας προείπομεν, ἴδιον μὲν οὐδὲν[e] οὐδενὶ ἐχούσας, κοινὰς δὲ πᾶσι. πρὸς δὲ ταῖς τοιαύταις οἰκήσεσι καὶ τὰς κτήσεις, εἰ μνημονεύεις,[f] διωμολογησάμεθά[g] που οἵαι[h] ἔσονται αὐτοῖς. Ἀλλὰ μνημονεύω, ἔφη, ὅτι γε[i] οὐδὲν οὐδένα ᾠόμεθα[k] δεῖν[l] κεκτῆσθαι ὧν[m] νῦν οἱ ἄλλοι, ὥς περ δὲ ἀθλητὰς τε[n] πολέμου καὶ φύλακας, μισθὸν τῆς φυλακῆς δεχομένους εἰς ἐνιαυτὸν τὴν εἰς ταῦτα τροφὴν παρὰ τῶν ἄλλων, αὐτῶν τε δεῖν

Steph. II. 543. — Bek. III. i. 376.

III. i. 377.

[a] τῇ δή, altero η rc, Θ.—[b] μὲν γυναῖκας ΑΘΠqvr: μὲν δὴ γυναῖκας s.—[c] καὶ ἐν εἰρήνη v.—[d] δὲ ΘΞΠΦDKq: δὴ *s.—[e] οὐδὲν om Θr, post ἐχούσας ponit K.—[f] ἦν μνημονεύῃς q.—[g] διωμολογησά Θ.—[h] ποι οἷαι D, πῃ οἷαι Kq, πόσαι ἂν v.—[i] γε om r.—[k] οἰώμεθα v.—[l] νῦν r.—[m] ὧν ΑΞΦm: ὡς *s.—[n] τε om r.—[o] ἔφη Φv.—[p] ἀλλ'

§. 1. εἶεν ταῦτα] Laudat Stob. xli. p. 264. usque ad v. πᾶσι, ubi scribitur κοινὰς μὲν γυναῖκας—βασιλέας τε (Ald. Bas. 1. et 2. δή. Ficinus, *reges autem*—) ἴδιον δὲ οὐδὲν—Pro οἰκήσεις Ald. et Bas. 1. οἰκίσεις, vitiose. Ast.

καὶ τῆς ἄλλης πόλεως ἐπιμελεῖσθαι. Ὀρθῶς, ἔφην,[o] λέγεις. Ἀλλ' ἄγε,[p] ἐπειδὴ τοῦτ'[q] ἀπετελέσαμεν, ἀναμνησθῶμεν πόθεν δεῦρο ἐξετραπόμεθα, ἵνα πάλιν τὴν αὐτὴν ἴωμεν. Οὐ χαλεπόν, ἔφη. σχεδὸν γάρ, καθά περ νῦν, ὡς[r] διεληλυθὼς[s] περὶ τῆς πόλεως τοὺς λόγους ἐποιοῦ, λέγων ὡς[t] ἀγαθὴν μὲν τὴν τοιαύτην οἵαν τότε διῆλθες[u] τιθείης[v] πόλιν καὶ[w] ἄνδρα τὸν ἐκείνῃ ὅμοιον, καὶ ταῦτα, ὡς ἔοικας,[x] καλ-
II. 544. λίω ἔτι ἔχων[y] εἰπεῖν πόλιν τε καὶ ἄνδρα.[z] ἀλλ' οὖν δὴ τὰς ἄλλας ἡμαρτημένας ἔλεγες, εἰ αὖτη ὀρθή. τῶν δὲ λοιπῶν πολιτειῶν ἔφησθα, ὡς μνημονεύω, τέτταρα εἴδη εἶναι, ὧν καὶ πέρι λόγον[a] ἄξιον εἴη[b] ἔχειν[c] καὶ ἰδεῖν αὐτῶν τὰ ἁμαρτήματα καὶ τοὺς ἐκείναις αὖ ὁμοίους,[d] ἵνα πάντας αὐτοὺς ἰδόντες, καὶ ὁμολογησάμενοι[e] τὸν ἄριστον καὶ τὸν κάκιστον[f] ἄνδρα, ἐπισκεψαίμεθα[g] εἰ ὁ ἄριστος εὐδαιμονέστατος καὶ ὁ κάκιστος ἀθλιώτατος, ἢ ἄλλως ἔχει.[h] καὶ ἐμοῦ ἐρομένου τίνας λέγοις[i] τὰς[k] τέτταρας πολιτείας, ἐν τούτῳ ὑπέλα-
III. i. 378. βε Πολέμαρχός τε καὶ Ἀδείμαντος· καὶ οὕτω δὴ σὺ ἀναλαβὼν[l] τὸν λόγον δεῦρο[m] ἀφῖξαι. Ὀρθότατα, εἶπον, ἐμνημόνευσας. Πάλιν τοίνυν, ὥς περ παλαιστής, τὴν αὐτὴν[n] λαβὴν πάρεχε, καὶ τὸ αὐτὸ[o] ἐμοῦ ἐρομένου πειρῶ εἰπεῖν ἅ περ τότε ἔμελλες λέγειν. Ἐάν περ, ἦν δ' ἐγώ, δύνωμαι. Καὶ μήν, ἦ δ' ὅς, ἐπιθυμῶ καὶ αὐτὸς ἀκοῦσαι τίνας ἔλεγες τὰς τέτταρας[p] πολιτείας. Οὐ χαλεπῶς, ἦν

ἄγε vel ἀλλ' ἄγ' ΘΠDKqr, ἀλλάγ' vm : ἀλλά γε s.—[q] ταῦτ' vm.—[r] ὡς add ΑΘΠΦ DKvm.—[s] διεληλυθὼς AΦm, διεληλυθᾶς v : διελήλυθας *s.—[t] ὅτι δῆ v.—[u] διῆλθες τότε Ξ.—[v] τιθείης om r.—[w] καὶ...ἄνδρα om DK.—[x] ἔοικας ΑΘΞΠΦvmr : ἔοικεν *s.—[y] ἔχεις v.—[z] ἄνδρα τὸν ἐκείνῃ Θ, ἄνδρα τὸν ἐκείνῃ ὅμοιον Π, ἀνδρα ὅμοιον r.—[a] λόγον πέρι v.—[b] οἴει Ξm.—[c] ἔχειν ὧν καὶ δεῖν ἐπιμνησθῆναί τε q.—[d] αὖ ὁμοίους ΑΞΦKqm et pr Θ, ὁμοίους mg D : ἀνομοίους s.—[e] ἀνομολογησάμενοι vr.—[f] κάλλιστον DK.—[g] ἐπισκεψώμεθα r.—[h] ἔχει ΘΞqr, ταῦτα ἔχοι Φ : ἔχοι *s.—[i] λέγοις ΑΠΦ, ἔφης DKq : λέγεις s.—[k] τὰς om Φ.—[l] δὴ συναναλαβὼν ΘΠDqr.—[m] δεῦρ' vmr.—[n] αὐτῶν D.—[o] αὐτοῦ m.—[p] τέτταρας ΑΘΞΠΦKqvmr : τέσσαρας s.—

σχεδὸν γὰρ] V. Stob. l. l. p. 265. Ast.

ἀνομοίους] Ita quidem et in præc. edit. legitur καὶ τοὺς ἐκείναις ἀνομοίους : sed non dubium est quin substituenda sit lectio ex vet. libro petita, καὶ τοὺς ἐκείναις ἄνδρας ὁμοίους. Pro κάκιστον autem quod habes statim post, perperam in iisdem scriptum est κάλλιστον. Steph.

αὖ ὁμοίους] Sic cod. Reg. ut Ficinus vertit, *et homines ipsarum similes declarare*. Cf. Morgenstern. Commentat. p. 46. not. 69. Vulgo et apud Stob. ἀνομοίους. Mox Bas. 1. et 2. ἰδόντας, et Bas. 1. cum cod. Reg. κάλλιστον pro κάκιστον. Ast.

λαβὴν πάρεχε] Vid. nostra ad Phædr. p. 251. Ast.

δ' ἐγώ, ἀκούσει.[q] εἰσὶ γὰρ ἃς λέγω αἳ περ[r] καὶ[s] ὀνόματα ἔχουσιν, ἥ τε ὑπὸ τῶν πολλῶν ἐπαινουμένη, ἡ Κρητικὴ τι καὶ Λακωνικὴ αὕτη· καὶ δευτέρα καὶ δευτέρως ἐπαινουμένη, καλουμένη δ' ὀλιγαρχία, συχνῶν γέμουσα κακῶν πολιτείαν· ἥ τε ταύτῃ διάφορος καὶ ἐφεξῆς γιγνομένη δημοκρατία, καὶ ἡ γενναία δὴ τυραννὶς καὶ πασῶν[t] τούτων διαφέρουσα,[u] τέταρτόν τε καὶ ἔσχατον πόλεως νόσημα. ἢ[v] τίνα ἄλλην ἔχεις ἰδέαν πολιτείας, ἥ τις[w] καὶ ἐν εἴδει διαφανεῖ τινὶ[x] κεῖται; δυναστεῖαι γὰρ καὶ ὠνηταὶ βασιλεῖαι καὶ τοιαῦταί τινες πολιτεῖαι μεταξύ τι[y] τούτων πού εἰσιν, εὖροι δ' ἄν τις αὐτὰς οὐκ ἐλάττους περὶ τοὺς βαρβάρους ἢ τοὺς Ἕλληνας. Πολλαὶ γοῦν καὶ ἄτοποι, ἔφη, λέγονται. [§. 2.] Οἶσθ' οὖν,[z] ἦν δ' ἐγώ, ὅτι καὶ[a] ἀνθρώπων εἴδη τοσαῦτα ἀνάγκη τρόπων[b] εἶναι, ὅσα περ[c] καὶ πολι- III. i. 379.
τειῶν; ἢ οἴει ἐκ δρυός ποθεν ἢ ἐκ πέτρας τὰς πολιτείας γίγνεσθαι, ἀλλ' οὐχὶ[d] ἐκ τῶν ἠθῶν τῶν[e] ἐν ταῖς πόλεσιν, οἳ ἂν[f] ὥς περ ῥέψαντα[g] τἆλλα ἐφελκύσηται;[h] Οὐδαμῶς

[q] ἀκούσει D, ἀκοῦσαι v.—[r] τε Ξ.—[s] καὶ τὰ Ξm.—[t] καὶ ἡ πασῶν ΑΦm, ἐκ πασῶν q.—[u] διαφεύγουσα ΑΘΠΦDKqmr.—[v] εἴ Κ.—[w] εἴ τις ΘΠ.—[x] τινι om Κ.—[y] τοι Φ, om ΘΠDKqmr.—[z] οὖν Κ.—[a] καὶ ὅτι v.—[b] τρόπων ΑΦm: τρόπον s. quod addebatur τινα, omisi cum ΑΦm et pr Π, ante τρόπον ponit v.—[c] ὥσπερ Θ.—[d] οὐκ Φ, οὐχὶ καὶ r.—[e] τῶν ante ἐν om pr Α.—[f] ἃ ἂν ΑΘΠΦvmr, ἐὰν DKq.—[g] ῥέψαντα ΑΘ ΠDKvr, ῥήψαντα q: ῥεύσαντα *s.—[h] ἀφελκύσηται Ξ, ἀφελκύσηται m.—[i] ἔφη

ἡ Κρητική τε καὶ Λακωνική] Plato igitur quinque reipublicæ formas ponit; unam, quæ vera est civitas (ἀριστοκρατία) in qua sapientia sive plurium sive unius regnat, et quatuor alias a vera deficientes, quæ sunt 1. Timocratia (Cretensium et Laconum respublica, in qua φιλοτιμία prævalet;) 2. Oligarchia, in qua πλοῦτος regnat; 3. Democratia, in qua ἐλευθερία dominatur; et 4. Tyrannis, in qua perfecta grassatur injustitia. Cf. cum his Aristotel. Polit. iii. 5. iv. 2. 4. 8. Alii tres reipublicæ formas statuunt: 1. Monarchiam, cujus depravatio tyrannis: 2. Aristocratiam s. oligarchiam, et 3. Democratiam. Vid. Isocratis Panathen. p. 259. Dio Chrysostom. Orat. de Regno iii. p. 43. et 44. B. C. Cf. Perizon. ad Ælian. V. H. ii. 20. et Coray ad Isocrat. p. 196. De Cretensi et Laconica civitate vide quæ collegerunt Platonis judicia Morgenstern. p. 306. ut De-Geer Diatrib. p. 113. Ast. qui sic in Corrigend. 'De civitatum origine variisque earum formis vid. Polyb. vi. 6.'

ταύτῃ διάφορος] Ni fallor, corrigendum est ταύτης. Ast.

§. 2. ἀνθρώπων εἴδη] V. Maxim. Tyr. Diss. xxii. 4. 5. p. 266. Ast.

ἐκ δρυὸς ποθὲν ἢ ἐκ πέτρας] Proverbialiter hæc dicuntur de iis, quæ nullam habere originem et quasi ex nihilo orta esse videntur, ἀγενεαλογήτως, ut Eustathius recte explicat ad Iliad. X. p. 1360, 38. Cf. nostra ad Phædr. p. 385. Vario autem modo Homerica illa οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου, οὐδ' ἀπὸ πέτρης a serioribus usurpata sunt. Ast.

οἳ ἂν—ἐφελκύσηται] Locus manifesto depravatus. Bas. 2. pro ῥεύσαντα exhibet ῥέψαντα, unde conjicio, hoc fere mo-

ἔγωγ', ἔφη,[i] ἄλλοθεν[k] ἢ ἐντεῦθεν. Οὐκοῦν εἰ τὰ τῶν πόλεων πέντε, καὶ αἱ τῶν ἰδιωτῶν κατασκευαὶ τῆς ψυχῆς πέντε[l] ἂν εἶεν. Τί μήν; Τὸν μὲν[m] δὴ[n] τῇ ἀριστοκρατίᾳ ὅμοιον διεληλύθαμεν ἤδη·[o] ὃν ἀγαθόν τε καὶ δίκαιον ὀρ-
II. 545. θῶς[p] φαμὲν[q] εἶναι. Διεληλύθαμεν. Ἆρ' οὖν τὸ μετὰ τοῦτο διιτέον[r] τοὺς χείρους, τὸν φιλόνεικόν τε καὶ φιλότιμον;[s] κατὰ τὴν Λακωνικὴν ἑστῶτα πολιτείαν, καὶ ὀλιγαρχικὸν αὖ καὶ δημοκρατικὸν καὶ τὸν[t] τυραννικόν, ἵνα τὸν ἀδικώτατον ἰδόντες ἀντιθῶμεν τῷ δικαιοτάτῳ καὶ ἡμῖν τελέα[u] ἡ σκέψις ᾖ, πῶς ποτὲ ἡ ἄκρατος[v] δικαιοσύνη πρὸς ἀδικίαν τὴν ἄκρατον[w] ἔχει εὐδαιμονίας τε πέρι τοῦ ἔχοντος καὶ ἀθλιότητος,[x] ἵνα ἢ Θρασυμάχῳ πειθόμενοι διώκωμεν ἀδικίαν ἢ τῷ νῦν προφαινομένῳ λόγῳ δικαιοσύνην;[y] Παντάπασι μὲν οὖν, ἔφη, οὕτω ποιητέον. Ἆρ' οὖν ὥς περ ἠρξάμεθα ἐν ταῖς πολιτείαις πρότερον σκοπεῖν τὰ ἤθη ἢ ἐν τοῖς ἰδιώταις, ὡς ἐναργέστερον ὄν, καὶ νῦν οὕτω πρῶτον μὲν τὴν[z] φιλότιμον σκεπτέον πολιτείαν—ὄνομα γὰρ οὐκ ἔχω
III. i. 380. λεγόμενον ἄλλο· ἢ τιμοκρατίαν ἢ τιμαρχίαν αὐτὴν κλητέον—, πρὸς δὲ ταύτην[a] τὸν τοιοῦτον ἄνδρα σκεψόμεθα,[b] ἔπειτα ὀλιγαρχίαν καὶ ἄνδρα ὀλιγαρχικόν, αὖθις δὲ εἰς δημοκρατίαν ἀποβλέψαντες θεασόμεθα[c] ἄνδρα δημοκρατικόν, τὸ δὲ τέταρτον εἰς τυραννουμένην πόλιν ἐλθόντες καὶ ἰδόντες, πάλιν εἰς τυραννικὴν ψυχὴν βλέποντες, πειρασόμεθα[d] περὶ ὧν προὐθέμεθα ἱκανοὶ κριταὶ γενέσθαι; Κατὰ λόγον γέ τοι ἄν, ἔφη, οὕτω γίγνοιτο[e] ἥ τε θέα καὶ ἡ κρίσις.

ἔγωγε Φ.—[k] ἄλλοθι Ξ.—[l] πέντ' ν.—[m] μὲν om Θτ.—[n] γὰρ q.—[o] δὴ pr A.—[p] ὀρθῶς om τ, post φαμὲν ponit K.—[q] ἔφαμεν ν.—[r] διανοητέον ν.—[s] φιλόνεικον K.—[t] τὸν om ν.—[u] τελεία q.—[v] ἀκρατῶς ΘΠDKτ.—[w] ἀκρότατον Θ.—[x] καὶ ἀθλιότητος om q.—[y] δικαιοσύνης Θ.—[z] τὴν om s.—[a] ταύτῃ Φm et corr A.—[b] σκεψώμεθα ΘKν δ τ.—[c] θεασώμεθα ΠDντ, θεασωμεθα K.—[d] πειρασώμεθα ν.—[e] λόγον ἔφη ἂν γένοιτο

do legendum esse : ἃ, οἷ ἂν ῥέψωσιν, ὥσπερ ῥεύματα, τἄλλα ἐφελκύεται (vel ἐφελκύσηται). Similiter Ficinus vertit : *ex civium moribus, qui, quocunque fluxerint, cætera secum rapiunt.* Ast.

τὸν φιλόνεικον] Vid. Maxim. Tyr. Dissert. xxii. 4. Themist. Orat. ii. 35. B. Ast.

ἡ ἄκρατος δικαιοσύνη] *Exacta, summa justitia ;* v. Gataker. Advers. Misc. Post. p. 450. Ast.

πρῶτον μὲν τὴν] Sic Cod. Reg. Ald. Bas. 1. et 2. in Steph. τὴν deest. Ast.

ἢ τιμοκρατίαν] Suspicor Plat. scripsisse, εἰ μὴ τιμοκρ. ut ὄνομα ἄλλο intelligamus nomen aliud quam τὴν φιλότιμον πολιτείαν. Steph. ἢ est *alioqui*. Ast.

ἔφη οὕτω γίγνοιτο] Bas. 2. ἔφη ἂν

Φέρε τοίνυν, ἦν δ' ἐγώ, πειρώμεθα λέγειν τίνα τρόπον τιμοκρατία γένοιτ' ἂν ἐξ ἀριστοκρατίας. ἢ τόδε μὲν ἁπλοῦν, ὅτι πᾶσα πολιτεία μεταβάλλει ἐξ αὐτοῦ τοῦ[f] ἔχοντος τὰς ἀρχάς, ὅταν ἐν αὐτῷ τούτῳ στάσις ἐγγένηται; ὁμονοοῦντος δέ, κἂν πάνυ ὀλίγον ᾖ, ἀδύνατον κινηθῆναι; Ἔστι γὰρ οὕτως. Πῶς οὖν δή, εἶπον,[g] ὦ Γλαύκων,[h] ἡ πόλις ἡμῖν κινηθήσεται, καὶ πῇ[i] στασιάσουσιν οἱ ἐπίκουροι καὶ οἱ ἄρχοντες[k] πρὸς ἀλλήλους τε καὶ πρὸς ἑαυτούς; ἢ βούλει, ὥς περ Ὅμηρος, εὐχώμεθα ταῖς Μούσαις εἰπεῖν ἡμῖν ὅπως δὴ πρῶτον[l] στάσις ἔμπεσε,[m] καὶ φῶμεν αὐτὰς τραγικῶς,[n] ὡς πρὸς παῖδας ἡμᾶς παιζούσας καὶ ἐρεσχηλούσας,[o] ὡς δὴ[p] σπουδῇ λεγούσας, ὑψηλολογουμένας λέγειν; Πῶς; Ὧδέ πως. χαλεπὸν μὲν κινηθῆναι πόλιν οὕτω ξυστᾶσαν· ἀλλ' ἐπεὶ γενομένῳ παντὶ φθορά ἐστιν, οὐδ' ἡ τοιαύτη ξύστασις τὸν ἅπαντα μενεῖ[q] χρόνον ἀλλὰ λυθήσεται. λύσις δὲ ἥδε. οὐ μόνον φυτοῖς ἐγγείοις ἀλλὰ καὶ ἐν ἐπιγείοις ζώοις φορὰ[r] καὶ[s] ἀφορία[t] ψυχῆς τε καὶ σωμάτων γίγνονται,[u] ὅταν περιτροπαὶ ἑκάστοις[v] κύκλων[w] περιφορὰς ξυνάπτωσι,[x] βραχυβίοις μὲν[y] βραχυπόρους,[z] ἐναντίοις δὲ ἐναντίας.[a] γένους

οἷ

εἰ οὕτω γίγνοιτο Θτ.—[f] τοῦ om v.—[g] ἦν δ' ἐγώ q.—[h] ὦ Γλαύκων om τ.—[i] πῇ Κ.—[k] καὶ ἄρχοντες v.—[l] πρῶτον om Θτ.—[m] ἐπεσε Θ, ἐμπέση v.—[n] αὐτὰς μὴ τραγικῶς corr q.—[o] ἐρεσχηλούσας A et pr Π: ἐρεσχελούσας *s.—[p] δὲ q.—[q] μένει Ξm.—[r] φορά τε Κ.—[s] καὶ om v.—[t] ἀφθορία v.—[u] γίγνονται ΑΠΦDKqvm: γίγνεται s.—[v] ἑκάστοις ΑΠm et corr Θ: ἑκάστης *s.—[w] κύκλον m.—[x] ξυμπίπτωσι DKq.

δ

—[y] μὲν καὶ v.—[z] βραχύποροι q.—[a] ἐναντίαι v.—[b] ἡμετέρου ΘΞνπτ, ἡμετέρου Κ.

γένοιτο εἰ οὕτω γίγνοιτο. Ficinus simpliciter vertit, *recte in hunc modum inspectio judiciumque procedet.* Mox πειρώμεθα in Ald. Bas. 1. et 2. vitiose. Ast.

ἁπλοῦν] *Absque ulla exceptione verum;* vid. ad Phædr. p. 277. Ast.

ἔμπεσε] Bas. 2. ἐνέπεσε. Ast.

ὡς δὴ σπουδῇ λεγούσας] *Quasi scilicet* (ironice) *serio dicant* s. simulantes, serio se dicere. Ast.

φορὰ καὶ ἀφορία ψυχῆς] Vid. Procl. in Tim. p. 50. Ast.

ἑκάστοις κύκλων περιφορὰς] In his verbis Ficinum secutus sum, ut qui verterit, *quando revolutiones singulis circulorum conjunxerint ambitus.* Vulgo scribitur ἑκάστης κύκλων περιφορᾶς. Ad ἑκάστοις int. φύτοις et ζώοις. Mox pro ξυνάπτωσι Cod. Reg. et Bas. 1. ξυμπίπτωσι, Ald. ξυμπίπωσι; ξυνάπτωσι confirmat Ficinus et sequentes accusativi βραχυπόρους et ἐναντίας (int. περιφορὰς) postulant. Eadem est Schneideri sententia de hoc loco, v. ad Aristot. Polit. v. 10. p. 358. Scribere quoque possis ἑκάσται: in quovis circuitu, qui orbium ambitus conjungit, h. e. orbes finit ac claudit. Ceterum sententiam, de industria a Platone obscure expositam, respexit Cicero de Divinat. ii. 2. 'Id enim ipsum a Platone philosophiaque didiceram, naturales esse quasdam conversiones rerum publicarum, ut eæ tum a principibus tenerentur, tum a populis, aliquando a singulis.' Cf. Polyb. vi. 9. et Schneider. ad Aristot. Polit. l. l. Ast.

δὲ ὑμετέρου[b] εὐγονίας τε καὶ ἀφορίας, καί περ ὄντες σοφοί, οὓς ἡγεμόνας πόλεως[c] ἐπαιδεύσασθε, οὐδὲν μᾶλλον λογισμῷ[d] μετ' αἰσθήσεως τεύξονται, ἀλλὰ πάρεισιν αὐτοὺς[e] καὶ γεννήσουσι παῖδάς ποτε οὐ δέον. ἔστι δὲ θείῳ μὲν γεννητῷ[f] περίοδος ἣν ἀριθμὸς περιλαμβάνει τέλειος, ἀνθρωπείῳ δὲ ἐν ᾧ πρώτῳ αὐξήσεις[g] δυνάμεναί τε καὶ δυναστευόμεναι τρεῖς ἀποστάσεις,[h] τέτταρας δὲ ὅρους λαβοῦσαι ὁμοιούντων τε καὶ ἀνομοιούντων καὶ αὐξόντων[i] καὶ φθινόντων, πάντα[k] προσήγορα καὶ ῥητὰ πρὸς ἄλληλα ἀπέφηναν· ὧν[l] ἐπίτριτος πυθμὴν πεμπάδι[m] συζυγεὶς[n] δύο ἁρμονίας
III. i. 382. παρέχεται[o] τρὶς αὐξηθείς, τὴν μὲν ἴσην ἰσάκις, ἑκατὸν[p] τοσαυτάκις, τὴν δὲ[q] ἰσομήκη μέν, τῇ προμήκει[r] δέ, ἑκατὸν μὲν ἀριθμῶν ἀπὸ διαμέτρων ῥητῶν πεμπάδος,[s] δεομένων ἑνὸς ἑκάστων, ἀῤῥήτων δὲ δυεῖν,[t] ἑκατὸν δὲ κύβων τριάδος. ξύμπας δὲ οὗτος ἀριθμὸς γεωμετρικός, τοιούτου κύριος,[u] ἀμεινόνων τε καὶ χειρόνων γενέσεων, ἃς ὅταν ἀγνοήσαντες

—[c] πόλεως ΑΞm et pr Π : non liquet D : πόλεων *s.—[d] λογισμοῦ v.—[e] αὐτοῖς D Kqr.—[f] γεννητῶ ΞΦm.—[g] αὐξήσει q.—[h] ἀποστάσεις ΑΘΞΠφπτ.—[i] αὐξανόντων K.—[k] πάντων r.—[l] ὡς K.—[m] πεντάδι Kr.—[n] συζυγὴς Dq, συμμιγεὶς r, ξυζυγεὶς v.—[o] παρέχεται ΘΞΠΦKνπτ : παρέχηται *s.—[p] ἕκαστον ΠKqv et pr Θ.—[q] δ' v.—[r] προμήκη ΑΠ.—[s] πεμπάδος ΑΘΞΦπ, πεντάδος r : πεμπάδων *s.—[t] δυεῖν ΑΠ :

ὧν ἐπίτριτος πυθμὴν] Laudat Aristot. Polit. v. 12. (c. 10. §. 1. Schneid.) ubi v. not. p. 358. ibique laudata. Plutarch. de Anim. Procreat. 1017. C. Aristid. Quintil. de Music. iii. p. 152. τούτου δὴ καὶ Πλάτων φησὶν ἐπίτριτον πυθμένα πεντάδι (sic codd. Aristid. Vid. Meibom. not. p. 331.) συζυγέντα. Iamblich. vit. Pythagor. xxvii. p. 110. Küst. Cf. Bœckh. in Stud. t. iii. p. i. p. 44. Pro παρέχηται scripsimus παρέχεται. Ast.

ἰσομήκη] Suspicor scribendum, ἰσομήκη μὲν αὐτῇ, προμήκη δὲ, ἑκ. Legitur autem in præcedent. edit. ἕκαστον μὲν ἀριθμὸν ἀπὸ διαμ. Steph. qui sic in Not. 'Hujus loci alia etiam affertur lectio : hæc nimirum, τὴν δὲ ἰσομήκη μὲν οὐ, προμήκη δὲ, ἑκατὸν μὲν ἀριθμῶν, ἀπὸ διαμέτρων ῥητῶν πεμπάδων δεομένου ἑνὸς ἑκάστων. In sequentibus autem, ante δυοῖν et ante τριάδος ponendæ hypostigmæ fuerint.'

ἕκατον] Ald. et Bas. 1. ἕκαστον (Sic et Cod. Reg.)—ἀριθμὸν (ut et Bas. 2.) pro ἑκατὸν ἀριθμῶν. Cornarius hunc locum ita corrigi volebat : τὴν δὲ ἰσομήκη μὲν οὐ, προμήκη δὲ, ἑκατὸν μὲν ἀριθμῶν, ἀπὸ διαμέτρων ῥητῶν πεμπάδων δεομένου ἑνὸς ἑκάστων ἀῤῥήτων δὲ, δυοῖν· ἑκατὸν δὲ κύβων, τριάδος, et vertit : *alteram vero æqualis quidem longitudinis non, ex altera tamen parte longam, centum quidem numerorum, ita ut a diametris dictarum quinariarum singulis unum desit, ab his autem, quæ dici non possunt, duo, a centum vero cubis, ternarius.* Nostram scripturam expressit Ficinus ; unum in ea offendit τῇ προμήκει, quod cum Cornario facile in προμήκη mutari posset, nisi Ficinus obstaret, qui vertit, *alteram vero æqualis quidem longitudinis, sed oblongiori* (versio emendata habet *oblongioris*), et ipsa hujus loci, ne a veteribus quidem, ut videtur, intellecti (vid. Cicer. ad Attic. vii. 12.) obscuritas. Ast.

ἀριθμὸς γεωμετρικὸς] Respectu ad nuptias ; vid. Schneid. ad Aristot. Polit. p. 360. Ast.

ὑμῖν[v] οἱ φύλακες συνοικίζωσι νύμφας νυμφίοις παρὰ καιρόν, οὐκ εὐφυεῖς οὐδ' εὐτυχεῖς παῖδες ἔσονται. ὧν καταστήσονται[w] μὲν τοὺς ἀρίστους οἱ πρότεροι, ὅμως δὲ ὄντες ἀνάξιοι, εἰς τὰς τῶν πατέρων αὖ δυνάμεις ἐλθόντες, ἡμῶν[x] πρῶτον ἄρξονται ἀμελεῖν φύλακες ὄντες, παρ' ἔλαττον τοῦ δέοντος ἡγησάμενοι τὰ μουσικῆς, δεύτερον δὲ τὰ γυμναστικῆς. ὅθεν ἀμουσότεροι γενήσονται ὑμῖν[y] οἱ νέοι. ἐκ δὲ τούτων ἄρχοντες οὐ πάνυ φυλακικοὶ καταστήσονται πρὸς τὸ δοκιμάζειν τὰ Ἡσιόδου τε καὶ τὰ παρ' ὑμῖν[z] γένη, χρυ- II. 547.
σοῦν τε καὶ ἀργυροῦν καὶ χαλκοῦν καὶ σιδηροῦν, ὁμοῦ δὲ μιγέντος σιδήρου[a] ἀργύρῳ[b] καὶ χαλκοῦ χρυσῷ ἀνομοιότης ἐγγενήσεται καὶ ἀνωμαλία ἀνάρμοστος, ἃ γενόμενα, οὗ ἂν ἐγγένηται,[c] ἀεὶ τίκτει[d] πόλεμον καὶ ἔχθραν. ταύτης τοι[e] III. i. 383.
γενεῆς[f] χρὴ φάναι εἶναι στάσιν, ὅπου ἂν γίγνηται ἀεί. Καὶ ὀρθῶς γ', ἔφη, αὐτὰς ἀποκρίνασθαι[g] φήσομεν.[h] Καὶ γάρ, ἦν δ' ἐγώ, ἀνάγκη Μούσας γε[i] οὔσας. [§. 3.] Τί οὖν, ἦ δ' ὅς, τὸ μετὰ τοῦτο λέγουσιν αἱ Μοῦσαι; Στάσεως, ἦν δ' ἐγώ, γενομένης εἰλκέτην[k] ἄρα ἑκατέρω τὼ γένη,[l] τὸ μὲν σιδηροῦν καὶ χαλκοῦν ἐπὶ χρηματισμὸν καὶ γῆς κτῆσιν καὶ οἰκίας χρυσίου[m] τε καὶ ἀργύρου,[n] τὸ δ' αὖ[o] χρυσοῦν τε καὶ ἀργυροῦν,[p] ἅτε οὐ πενομένω ἀλλὰ φύσει ὄντε πλουσίω, τὰς ψυχὰς ἐπὶ τὴν ἀρετὴν καὶ τὴν ἀρχαίαν κατάστασιν ἠγέτην. βιαζομένων δὲ καὶ ἀντιτει-

δυοῖν *s.—[u] κύριον q.—[v] ἡμῖν Ξ Φν.—[w] καταστήσουσι ν.—[x] ἡμῶν D, ὑμῶν q.—[y] ἡμῖν ΑΞΦm.—[z] ὑμῖν ΑΘΠΦDKqrτ, ἡμῖν m: ἡμῖν s.—[a] σιδηροῦ Φm.—[b] ἀργυρῷ ΞΦm, ἀργυροῦ ν, ἀργύρου r.—[c] γίνηται ν.—[d] τίκτει ΑΘΠΦDKqνmr: ἐντίκτει s.—[e] τῆς q.—[f] γενεᾶς ΑΘΠDKντ.—[g] ἀποκρίνεσθαι ΑΞΦqνm et corr Θ.—[h] φήσωμεν A.—[i] γε om r.—[k] ἕλκετ' Θ, εἵλκεται Π, ἕλκεται DKqr.—[l] γένε Φm, γένεε corr ΑΠ.—[m] χρυσοῦ ΞΦm.—[n] ἀργυρίου ΘKr.—[o] αὐτὸ ΑΠΦm, αὖ corr Ξ.—[p] ἀργύρειον ΘD

παρ' ἔλαττον ἡγησάμενοι] Sic Xenoph. Anabas. vi. 6. 11. *καὶ ἔνιοι μὲν αὐτῶν παρ' ὀλίγον ἐποιοῦντο τὸν Κλέανδρον.* Ast.

ὑμῖν οἱ νέοι] Sic Ald. Bas. 1. *ὑμῖν*, ut in sequentibus Cod. Reg. *παρ' ὑμῖν* pro *παρ' ἡμῖν*. Musæ vero loquuntur. Sic etiam in prægressis *γένους—ὑμετέρου—ἐπαιδεύσασθε — ὑμῖν οἱ φύλακες* etc. Præcedens *ἡμῶν* ad Musas ipsas referendum est, quod interpretes non recte intellexerunt. Ficinus enim vertit, *tamen—in ipsis magistratibus subjectos negligent*, Comarius vero ita, ac si *ὑμῶν* legisset. Ast.

ἀνωμαλία ἀνάρμοστος] Respexit Plutarch. de fratr. amor. p. 484. B. Ast.

ταύτης τοι γενεῆς] Ald. *γενεῇ*. Bas. 1. *γενεῇ*. Cod. Reg. *γενεᾶς*. Exordium hæc verba videntur esse versus heroici. Mox Ald. Bas. 1. et 2. *γίγνεται*. Ast.

§. 3. τὼ γένη] Ut *τὼ σκέλη*, apud Aristoph. Pac. 820. Ast.

πενομένω] Ald. Bas. 1. et 2. *πενομένῳ*, Ald. et Bas. 1. *οὔτε*, et Ald. Bas. 1. et 2. *πλουσίῳ*. Ast.

νόντων ἀλλήλοις εἰς μέσον ὡμολόγησαν γῆν μὲν καὶ οἰκίας κατανειμαμένους ἰδιώσασθαι, τοὺς δὲ πρὶν φυλαττομένους ὑπ' αὐτῶν ὡς ἐλευθέρους, φίλους τε καὶ τροφέας, δουλωσάμενοι τότε περιοίκους τε καὶ οἰκέτας ἔχοντες, αὐτοὶ πολέμου τε καὶ φυλακῆς αὐτῶν ἐπιμελεῖσθαι. Δοκεῖ μοι, ἔφη, αὕτη[q] ἡ μετάβασις ἐντεῦθεν γίγνεσθαι. Οὐκοῦν, ἦν δ' ἐγώ, ἐν μέσῳ τις ἂν εἴη ἀριστοκρατίας τε[r] καὶ ὀλιγαρχίας αὕτη ἡ πολιτεία; Πάνυ μὲν οὖν.

III. i. 384. Μεταβήσεται[s] μὲν δή[t] οὕτω· μεταβᾶσα δὲ πῶς οἰκήσει; ἢ φανερὸν ὅτι τὰ[u] μὲν μιμήσεται τὴν προτέραν πολιτείαν, τὰ δὲ τὴν ὀλιγαρχίαν, ἅτ' ἐν μέσῳ οὖσα,[v] τὸ δέ τι καὶ αὐτῆς ἕξει ἴδιον; Οὕτως, ἔφη.[w] Οὐκοῦν τῷ[x] μὲν τιμᾶν τοὺς ἄρχοντας καὶ γεωργιῶν ἀπέχεσθαι τὸ προπολεμοῦν αὐτῆς καὶ χειροτεχνιῶν[y] καὶ τοῦ ἄλλου χρηματισμοῦ, ξυσσίτια δὲ κατεσκευάσθαι[z] καὶ γυμναστικῆς τε καὶ τῆς τοῦ πολέμου ἀγωνίας ἐπιμελεῖσθαι, πᾶσι τοῖς τοιούτοις τὴν προτέραν μιμήσεται; Ναί.[a] Τὸ[b] δέ γε[c] φοβεῖσθαι τοὺς σοφοὺς ἐπὶ τὰς ἀρχὰς ἄγειν, ἅτε οὐκέτι[d] κεκτημένη[e] ἁπλοῦς τε καὶ ἀτενεῖς[f] τοὺς[g] τοιούτους ἄνδρας ἀλλὰ μικτούς, ἐπὶ δὲ τοὺς[h] θυμοειδεῖς τε καὶ ἁπλουστέρους ἀποκλί-

Κr, ἀργύρεον ν, ἀργύριον Π, ἀργυροῦν ὂν Φm.—[q] αὕτη ἔφη ϒ.—[r] τε om ϒ.—[s] μεταβ λ βηθήσεται Πr, μεταβηθήσεται Θ, μεταβληθήσεται DKq.—[t] δὴ om ϒ.—[u] τοῦ ν.—[v] οὖσαν ΘΦrmr.—[w] ἔφη om Θ.—[x] τὸ ΘΠDKmr.—[y] ἄρχοντας καὶ προπολεμεῖν αὐτῆς καὶ γεωργιῶν ἀπέχεσθαι καὶ χειροτεχνιῶν Φ.—[z] κατεσκευάσθαι ΑΞΦDKqm, κατεσκευᾶσθαι ν : κατασκευάσασθαι *ϛ.—[a] Ναί om ϒ.—[b] τῷ ΑΠΦDKqrmr et pr Θ.—[c] γε om Θr.—[d] οὐ ϒ.—[e] κεκτημένην ΘΞΦDKqmr.—[f] ἀγεννεῖς Κ.—[g] τοὺς om A

ἔχοντες, αὐτοὺς] Vulgo ἔχοντες, αὐτοὶ—ἐπιμελεῖσθαι ; in quo αὐτοὶ locum habere nequit, quum accusativus cum infinitivo, suspensus ille e verbo ὡμολόγησαν, requiratur. Sensus perspicuus est: 'urbis custodes in civitatis perversione possessiones sibi privatas acquirunt (communitate soluta), quos custodiverant, eos tanquam amicos et nutritores sibi subjiciunt, et custodiæ bellique labores ipsis injungunt.' Participium ἔχοντες explicationis gratia prægresso δουλωσάμενοι adjectum est: 'tunc sibi subjiciunt, ita ut eos pro subditis servisque habeant (ἔχοντες).' Περίοικοι dicebantur incolæ urbium vicinarum, imperio metropolis subjecti, ut apud Lacedæmonios, vid. Duker. ad Thucyd. viii. 22. et Valckenar. ad Herodot. ix. 11.—Pro αὐτῶν scribendum videri possit αὑτῶν : ut dicantur illi, quorum curam custodes antea habuerint, nunc se ipsi custodire ; sed gravius est αὑτῶν, quo comprehenduntur non solum subditi, sed ipsi quoque, qui nunc regnant, custodes. Ast.

ἀτενεῖς] *Viros propositi tenaces*, constantes, v. Ruhnken. ad Tim. p. 53. In præcedentibus Ald. et Bas. 1. τοῦ—φοβεῖσθαι exhibent, et Cod. Reg. κεκτημένην—ἀγεννεῖς (e solemni vocum ἀγεννὴς et ἀτενὴς permutatione, vid. Ruhnken. ad Tim. l. l.) Ast.

ἁπλουστέρους] Locum hic habere nequit; namque ut θυμοειδῆς, *iracundus*, qui a cupiditate, ira, aliis facile se abripi patitur, opponitur homini constanti (is est ἀτενὴς), ita simplici (qui ἁπλοῦς dicitur) opponi debet vitiositas quædam.

νειν τοὺς πρὸς πόλεμον μᾶλλον πεφυκότας ἢ πρὸς εἰρήνην, καὶ τοὺς περὶ ταῦτα[i] δόλους τε καὶ μηχανὰς ἐντίμως ἔχειν, II. 548.
καὶ πολεμοῦσα[k] τὸν ἀεὶ χρόνον διάγειν αὐτὴ[l] ἑαυτῇ[m] αὖ, τὰ[n] πολλὰ τῶν τοιούτων ἴδια[o] ἕξει; Ναί. Ἐπιθυμηταὶ δέ γε,[p] ἦν δ' ἐγώ,[q] χρημάτων οἱ τοιοῦτοι ἔσονται,[r] ὥς περ οἱ ἐν ταῖς ὀλιγαρχίαις, καὶ τιμῶντες ἀγρίως ὑπὸ σκότου[s] χρυσόν[t] τε καὶ ἄργυρον, ἅτε κεκτημένοι ταμιεῖα καὶ οἰκείους θησαυρούς, οἷ[u] θέμενοι ἂν αὐτὰ κρύψειαν, καὶ αὖ περιβόλους οἰκήσεων, ἀτεχνῶς νεοττιὰς[v] ἰδίας, ἐν αἷς ἀναλίσκοντες γυναιξί τε καὶ οἷς ἐθέλοιεν ἄλλοις πολλὰ ἂν δαπανῷντο. Ἀληθέστατα, ἔφη. Οὐκοῦν καὶ φειδωλοὶ III. i. 385.
χρημάτων, ἅτε τιμῶντες καὶ οὐ[w] φανερῶς κτώμενοι, φιλαναλῶται[x] δὲ ἀλλοτρίων δι' ἐπιθυμίαν, καὶ λάθρᾳ τὰς ἡδονὰς καρπούμενοι, ὥς περ παῖδες[y] πατέρα[z] τὸν νόμον ἀποδιδράσκοντες, οὐχ ὑπὸ πειθοῦς ἀλλ' ὑπὸ βίας πεπαιδευμένοι διὰ τὸ τῆς ἀληθινῆς[a] Μούσης τῆς μετὰ λόγων τε καὶ φιλοσοφίας[b] ἠμεληκέναι καὶ πρεσβυτέρως γυμναστικὴν μουσικῆς τετιμηκέναι. Παντάπασιν, ἔφη, λέγεις μεμιγμένην πο-

Φ.—[h] τοὺς om m.—[i] ταυτοῦ q.—[k] πολεμοῦσαν corr q.—[l] αὖτη K, αὐτὴν corr q.—[m] ἑαυτῇ Ar: ἑαυτῆς *s.—[n] αὖ τὰ AΞΦνπ, τὰ Θr: αὐτὰ *s.—[o] ἰδία r.—[p] δέ γε om Θr.—[q] ἐγὼ om Π.—[r] ἔσονται οἱ τοιοῦτοι K.—[s] σκότους K.—[t] χρυσοῦν r.—[u] οὗ v, οἱ m.—[v] νεοττιὰς A, νεοττείας Ξr: νεοττίας *s.—[w] οὐ om Φm, erasit A.—[x] φιλαναλῶται ΘΠDKr: φιλαναλωταὶ s.—[y] παῖδας v.—[z] παρὰ K.—[a] ἀληθοῦς Θr.

Quocirca opinor, pro ἁπλουστέρους scribendum fortasse esse ἀλλοκοτέρους (nisi malis αὐστήρους): aliquanto insolentiores et iniquiores, ut lib. vi. 3. p. 487. D. καὶ πάνυ ἀλλοκότους γιγνομένους, ἵνα μὴ παμπονήρους εἴπωμεν. Protag. 346. A. οἷον ἀνδρὶ πολλάκις ξυμβῆναι μητέρα ἢ πατέρα ἀλλόκοτον. ἢ πατρίδα ἢ ἄλλο τι τῶν τοιούτων. Cf. Ruhnken. ad Tim. p. 24. Ast. qui sic in Corrigend. 'Αὐστήρους in hunc locum non convenit; esset enim idem fere quod ἀτενεῖς. Pro ἁπλουστέρους etiam conjicere possis αὐθαδεστέρους. Librorum Mss. erit, quid verum sit, indicare.'

αὐτὰ πολλὰ] Mutandum puto αὐτὰ in αὖ τὰ. Steph.

αὐτὰ πόλλα] Malim καὶ ἄλλα πολλὰ, ut orationis nexus sit: τὸ δέ γε—φοβεῖσθαι (i. e. ὅτι—φοβεῖται) ἐπὶ δὲ τ. θ.—ἀποκλίνειν, καὶ ἔχειν καὶ—διάγειν (ὅτι—ἔχει καὶ διάγει—), (τοῦτο) καὶ ἄλλα πολλὰ τῶν τοιούτων αὐτὴ ἑαυτῆς ἴδια ἕξει. Ast.

νεοττιὰς] Vulgo νεοττίας, (quod esset *pullorum exclusiones*) *domicilia*, cubicula, ut Latinorum *nidus*. Sic Horat. Epist. i. 10. 6. 'Tu nidum servas.' Od. iii. 4. 14. Respexisse videtur Ammonius v. φωλεὸς p. 145. locum nostrum, quum dicat: ἐπὶ τῶν ὀρνέων (ῥητέον) τὸ νεοσσεύειν· ὁ γοῦν λέγων νεοσσιὰν τὴν τέκνων, ἀκυρολογεῖ· τέκνα μὲν γὰρ ἀνθρώπων, νεοσσοὶ δ' ὀρνίθων. Sed vid. Valckenaer. ad Herodot. p. 252. Ast.

οὐχ ὑπὸ πειθοῦς, ἀλλ' ὑπὸ βίας] Quæ frequenter sibi opponuntur, vid. Wyttenbach. ad Julian. Orat. i. p. 36. Jacobs. ad Anth. Græc. t. ii. p. i. p. 16. Ast.

πρεσβυτέρως] *Antiquius*, h. e. magis; ut πρεσβεύειν, *nihil antiquius habere*, i. e. maxime colere, v. Pollux ii. 12. interpp. ad Thom. Mag. p. 737. Krebs. ad Plutarch. de Aud. Poet. c. 12. et F. Gronov. ad Liv. i. 32. Ast.

μουσικῆς] Pro μούσης ita correximus;

λιτείαν ἐκ κακοῦ τε καὶ ἀγαθοῦ. Μέμικται γάρ, ἦν δ' ἐγώ· διαφανέστατον δ' ἐν αὐτῇ ἐστὶν ἕν τι μόνον[e] ὑπὸ τοῦ θυμοειδοῦς κρατοῦντος, φιλονεικίαι[d] καὶ φιλοτιμίαι.[e] Σφόδρα γε, ἦ δ' ὅς. Οὐκοῦν, ἦν δ' ἐγώ, αὕτη[f] μὲν ἡ πολιτεία οὕτω γεγονυῖα καὶ τοιαύτη ἂν τις[g] εἴη, ὡς λόγῳ σχῆμα πολιτείας ὑπογράψαντα μὴ ἀκριβῶς ἀπεργάσασθαι διὰ τὸ ἐξαρκεῖν μὲν ἰδεῖν καὶ[h] ἐκ τῆς ὑπογραφῆς τόν τε δικαιότατον καὶ τὸν ἀδικώτατον, ἀμήχανον δὲ μήκει ἔργον[i] εἶναι πάσας μὲν πολιτείας, πάντα δὲ[k] ἤθη[l] μηδὲν παραλιπόντα διελθεῖν; Καὶ ὀρθῶς, ἔφη.

§. 4. Τίς οὖν ὁ κατὰ ταύτην[m] τὴν πολιτείαν ἀνήρ;
III. i. 386. πῶς τε γενόμενος, ποῖός τέ τις ὤν; Οἶμαι μέν, ἔφη ὁ Ἀδείμαντος, ἐγγύς τι αὐτὸν[n] Γλαύκωνος τουτουΐ τείνειν ἕνεκά γε φιλονεικίας.[o] Ἴσως, ἦν δ' ἐγώ, τοῦτό γε· ἀλλά μοι δοκεῖ τάδε οὐ κατὰ τοῦτον πεφυκέναι. Τὰ ποῖα; Αὐθαδέστερόν τε δεῖ αὐτόν, ἦν δ' ἐγώ, εἶναι καὶ ὑποαμουσότερον,[p] φιλόμουσον δέ, καὶ φιλήκοον μέν, ῥητορικὸν δ' οὐ-
II. 549. δαμῶς.[q] καὶ δούλοις μέν τισιν[r] ἄγριος[s] εἴη ὁ τοιοῦτος, οὐ καταφρονῶν δούλων[t] ὥς περ ὁ ἱκανῶς πεπαιδευμένος, ἐλευθέροις δὲ ἥμερος, ἀρχόντων δὲ σφόδρα ὑπήκοος, φίλαρχος δὲ[u] καὶ φιλότιμος, οὐκ ἀπὸ τοῦ[v] λέγειν ἀξιῶν ἄρχειν οὐδ' ἀπὸ τοιούτου οὐδενός, ἀλλὰ[w] ἀπὸ[x] ἔργων τῶν τε πολεμικῶν[y] καὶ τῶν περὶ τὰ πολεμικά, φιλογυμναστὴς τέ[z] τις ὢν καὶ φιλόθηρος. Ἔστι γάρ, ἔφη, τοῦτο τὸ ἦθος ἐκείνης τῆς πολιτείας. Οὐκοῦν καὶ χρημάτων, ἦν δ' ἐγώ, ὁ τοι-

—[b] σοφίας Θ.—[c] ἔντιμον ὂν r.—[d] φιλονικίαι q, φιλονεικία v.—[e] φιλοτιμία v.—[f] αὐτὴ v.—[g] τις ἂν Φ.—[h] καὶ om K.—[i] ἔργον τε Φ.—[k] δὲ om pr Θ.—[l] εἴδη r.—[m] κατ' αὐτὴν v.—[n] αὐτοῦ s.—[o] φιλονικίας q.—[p] ὑποαμουσότερον K.—[q] οὔ r.—[r] τις Φm et corr A, τις ἂν (quod malim) v.—[s] ἀγρίοις m.—[t] δοῦλον Ξ, δοῦλον Φm.—[u] δὲ om v.—[v] τούτου r.—[w] ἀλλ' vmr.—[x] πρὸ ΘΠD.—[y] πολεμικῶν ΑΘΠΦDKqv

sic Ficinus, *veram musicam—neglexérint*. Vid. iii. 18. et de hac musicæ notione cf. nostra ad Phædr. p. 274. Monuit etiam Heind. ad Phædon. §. 12. Ast.

§. 4. αὐτοῦ] Scribendum puto αὐτόν. Steph.

αὐτὸν] Cum Stephano correximus pro αὐτοῦ. Heind. ad Phædon. §. 25. legi jubebat αὐτὸν τοῦ Γλαύκωνος. Ast.

ἀπὸ τοιούτου] ἀπὸ est *per, propter, beneficio*, ut 551. C. εἰ νεῶν οὕτω τις ποιοῖτο κυβερνήτας ἀπὸ τιμημάτων. Vid. Valckenar. ad Herodot. p. 414. Fischer. ad Weller. t. iii. p. ii. p. 107. Ast.

πηλακίζοντες ἐκβάλλουσι, μετριότητα δὲ καὶ κοσμίαν δαπάνην ὡς[l] ἀγροικίαν καὶ ἀνελευθερίαν οὖσαν πείθοντες ὑπερορίζουσι μετὰ πολλῶν καὶ ἀνωφελῶν ἐπιθυμιῶν. Σφόδρα γε. Τούτων δέ γε[m] που κενώσαντες καὶ καθήραντες[n] τὴν τοῦ κατεχομένου τε ὑπ' αὐτῶν καὶ τελουμένου ψυχὴν μεγάλοισι[o] τέλεσι, τὸ μετὰ τοῦτο ἤδη ὕβριν καὶ ἀναρχίαν καὶ ἀσωτίαν[p] καὶ ἀναίδειαν λαμπρὰς[q] μετὰ πολλοῦ χοροῦ κατάγουσιν ἐστεφανωμένας ἐγκωμιάζοντες καὶ ὑπο-
III. i. 408. κοριζόμενοι, ὕβριν μὲν εὐπαιδευσίαν[r] καλοῦντες, ἀναρχίαν δὲ ἐλευθερίαν, ἀσωτίαν[s] δὲ μεγαλοπρέπειαν, ἀναίδειαν δὲ
II. 561. ἀνδρίαν. ἆρ' οὐχ οὕτω πως, ἦν δ' ἐγώ, νέος ὢν[t] μεταβάλλει ἐκ τοῦ[u] ἀναγκαίοις[v] ἐπιθυμίαις τρεφομένου[w] τὴν[x] τῶν μὴ ἀναγκαίων καὶ ἀνωφελῶν ἡδονῶν ἐλευθέρωσίν[y] τε καὶ ἄνεσιν;[z] Καὶ μάλα[a] γ', ἦ δ' ὅς, ἐναργῶς. Ζῇ δή,[b] οἶμαι, μετὰ ταῦτα ὁ τοιοῦτος οὐδὲν μᾶλλον εἰς ἀναγκαίους ἢ μὴ ἀναγκαίους[c] ἡδονὰς ἀναλίσκων καὶ χρήματα καὶ πόνους καὶ διατριβάς· ἀλλ' ἐὰν εὐτυχὴς[d] ἢ καὶ μὴ πέρα[e] ἐκβακχευθῇ, ἀλλά τι[f] καὶ πρεσβύτερος γενόμενος[g] τοῦ πολλοῦ θορύβου παρελθόντος μέρη τε καταδέξηται

οὔτε πρεσβυτέρων ν.—[i] αἰδὼ Κ.—[k] ἀτίμως ἔξω ν.—[l] ὡς om DKqτ.—[m] γε om DKq.—[n] καθ' ἅραντες Ξ.—[o] μεγάλοις νσ.—[p] ἀσωτείαν Θ.—[q] λαμπρὰ τ.—[r] εὐπαιδευσίαν ΑΞΦνm, ἀπαιδευσίαν ΘΠτ: παίδευσιν *σ.—[s] ἀσωτείαν Θ.—[t] νέος ὢν ἦν δ' ἐγὼ οἶς Φ.—[u] τοῦ ἐν ΠDKqν.—[v] ἀναγκαίαις Dm, ἀνάγκαις Κ, ἀναγκαίαις τ.—[w] μεταβαλλομένου Θτ, κατεχομένου Ξ.—[x] τὴν ΑΦm: εἰς τὴν *σ.—[y] ἀνελευθέρωσιν Θ.—[z] ἄνυσιν Κ.—[a] μάλα ΑΦm: μάλιστά *σ.—[b] δὲ Ξ.—[c] ἀναγκαίας Κ.—[d] εὐτυχῇ (omisso ᾖ) ΘDKqτ: om etiam Π.—[e] πέραι Α, τέρας Θ.—[f] ἀλλ' ἔτι καὶ σ.—[g] γινό-

ὑπερορίζουσι μετὰ—ἐπιθυμιῶν] Mancam esse orationem et sensus docet et Ficini versio prodit, quæ habet: *modestiam quoque — penitus detestantur et fugant, et ipsæ una cum multis futilibusque cupiditatibus invalescunt.* In præcedentibus Cod. Reg. omittit *ὡς*; sed *ὡς* cum participio pro infinitivo positum est, vid. ad i. 1. Ast.

τελουμένου] Quod jam præcedentia *καθήραντες* et *κατεχομένου* manifestant, imago sumta est a mysteriorum initiatione; in sacris enim Eleusiniis post lustrationes privataque sacrificia primum minora mysteria (*μικρὰ τέλη*) tradebantur mystis et post sex menses majora (*τὰ μεγάλα*) contemplanda præbebantur epoptis; vid. Scaliger. ad Euseb. Chron. p. 197. Salmas. ad Spart. Hadrian. c. 12. p. 120. et Bulliald. ad Theon. Mathemat. p. 215. 221. sq. Hinc *λαμπρὰς μετὰ πολλοῦ χόρου κατάγουσιν ἐστεφανωμένας* cet. Epoptis s. perfectis mystis splendidæ ac divinæ visiones exhibebantur spectandæ. Vid. St. Croix de Myster. p. 183. vers. Lenz. et nostra ad Phædr. p. 318. ibique laudatis adde Dion. Chrysostom. Orat. xii. p. 201. C. 211. A. Ast.

ἐν ἀναγκαίοις] Præpositionem *ἐν* e cod. Reg. adjecimus, ubi scriptum est *ἐν ἀνάγκαις ἐπιθυμίαις*. Ast.

ἐκβακχευθῇ] Respectu ad magnorum mysteriorum imaginem. Ast.

τοῦ πολλοῦ θορύβου παρελθόντος] Hæc verba a Ficino male intellecta, bene

τῶν ἐκπεσόντων καὶ τοῖς ἐπεισελθοῦσι μὴ ὅλον ἑαυτὸν[h] ἐνδῷ,[i] εἰς ἴσον δή[k] τι[l] καταστήσας τὰς ἡδονὰς διάγει,[m] τῇ παραπιπτούσῃ ἀεὶ ὡς περ λαχούσῃ τὴν ἑαυτοῦ ἀρχὴν παραδιδούς, ἕως ἂν πληρωθῇ, καὶ αὖθις ἄλλῃ,[n] οὐδεμίαν ἀτιμάζων ἀλλ' ἐξ ἴσου τρέφων. Πάνυ μὲν οὖν. Καὶ λόγον γ',[o] ἦν δ' ἐγώ, ἀληθῆ οὐ προσδεχόμενος οὐδὲ παριεὶς εἰς τὸ φρούριον, ἐάν τις λέγῃ ὡς αἱ μέν εἰσι τῶν καλῶν τε[p] καὶ ἀγαθῶν ἐπιθυμιῶν ἡδοναί, αἱ δὲ τῶν πονηρῶν, καὶ τὰς μὲν χρὴ ἐπιτηδεύειν καὶ τιμᾶν, τὰς δὲ κολάζειν τε καὶ δουλοῦσθαι· ἀλλ' ἐν πᾶσι τούτοις ἀνανεύει τε,[q] καὶ ὁμοίας III. i. 409.
φησὶν ἁπάσας εἶναι καὶ τιμητέας ἐξ ἴσου. Σφόδρα γάρ, ἔφη, οὕτω διακείμενος τοῦτο δρᾷ. Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ διαζῇ τὸ καθ' ἡμέραν οὕτω χαριζόμενος τῇ προσπιπτούσῃ ἐπιθυμίᾳ, τοτὲ[r] μὲν μεθύων καὶ καταυλούμενος, αὖθις δὲ ὑδροποτῶν καὶ κατισχναινόμενος, τοτὲ δ' αὖ γυμναζόμενος, ἔστι δ' ὅτε ἀργῶν καὶ πάντων ἀμελῶν, τοτὲ δ' ὡς[s] ἐν φιλοσοφίᾳ διατρίβων· πολλάκις δὲ πολιτεύεται, καὶ ἀναπηδῶν ὅ τι ἂν τύχῃ λέγει τε καὶ πράττει· κἂν ποτέ τινας πολεμικοὺς ζηλώσῃ, ταύτῃ[t] φέρεται, ἢ χρηματιστικούς, ἐπὶ τοῦτ' αὖ.[u] καὶ οὔ τέ τις τάξις οὔτε ἀνάγκη[v] ἔπεστιν[w] αὐτοῦ τῷ βίῳ, ἀλλ' ἡδύν τε δὴ καὶ ἐλευθέριον καὶ μακάριον καλῶν τὸν βίον τοῦτον[x] χρῆται αὐτῷ διὰ παντός. Παντάπασιν, ἦ δ' ὅς, διελήλυθας βίον ἰσονομικοῦ[y] τινὸς ἀνδρός. Οἶμαι δέ γε, ἦν δ' ἐγώ, καὶ παντοδαπόν[z] τε[a] καὶ πλείστων ἠθῶν μεστὸν, καὶ τὸν καλόν[b] τε καὶ ποικίλον,[c] ὥς περ ἐκείνην τὴν πόλιν, τοῦτον τὸν ἄνδρα εἶναι· ὃν πολλοὶ ἂν καὶ πολλαὶ ζηλώσειαν τοῦ βίου, παραδείγματα

μενος v.—[h] ἑαυτωῖ A.—[i] ἐκδῷ Ξσ.—[k] δή om ΘDKqr, erasit Π.—[l] τε DK.—[m] διάγῃ DK.—[n] ἄλλην Θr.—[o] δὲ v, om Kr.—[p] τε om Φm.—[q] ἀνανεύῃ τε DK, ἀνανεύεται Θ.—[r] τὸ A.—[s] ὡς om v.—[t] καὶ ταύτῃ Θ.—[u] ταυτοῦ v.—[v] οὔτε τις ἀνάγκη Θr.—[w] ἔπεστιν Ξ.—[x] τούτῳ Θr.—[y] ἴσον νομικοῦ DK.—[z] παντοδαπῶν Θr.—[a] γε Kr.—[b] τὸν καλόν ΑΘΞΠDKqvmr, τῶν καλῶν Φ: καλόν s.—[c] ποικίλων Φ.—[d] ἑαυ-

vertit Cornarius sic: *immo etiam ubi senior fit, multo tumultu præterito et elapsarum voluptatum partes admiserit.* Τί post ἀλλὰ est *forte, interdum.* Ast.

ἐνδῷ] E cod. Reg. reposui pro ἐκδῷ: ἐνδοῦναι (i. q. παραδοῦναι) est *se dedere:* Phædr. p. 241. C. εἰ δὲ μὴ, ἀναγκαῖον εἶναι, ἐνδοῦναι ἑαυτὸν ἀπίστῳ cet. Cf. Ruhnken. ad Tim. p. 101. Ast.

πολιτειῶν τε καὶ τρόπων πλεῖστα ἐν αὐτῷ[d] ἔχοντα. Οὕ-
II. 562. τω[e] γάρ, ἔφη, ἐστίν. Τί οὖν; τετάχθω ἡμῖν κατὰ[f] δημο-
III. i. 410. κρατίαν ὁ τοιοῦτος ἀνήρ, ὡς δημοκρατικὸς ὀρθῶς ἂν προσ-
αγορευόμενος; Τετάχθω, ἔφη.

§. 13. Ἡ[g] καλλίστη δή,[h] ἦν δ' ἐγώ, πολιτεία τε καὶ ὁ κάλλιστος ἀνὴρ λοιπὰ ἂν ἡμῖν εἴη διελθεῖν, τυραννίς τε καὶ τύραννος. Κομιδῇ[i] γ', ἔφη. Φέρε δή, τίς τρόπος τυραννίδος, ὦ φίλε ἑταῖρε, γίγνεται; ὅτι μὲν γὰρ ἐκ δημοκρατίας μεταβάλλει, σχεδὸν δῆλον. Δῆλον. Ἆρ' οὖν τρόπον τινὰ τὸν αὐτὸν ἔκ τε ὀλιγαρχίας δημοκρατία γίγνεται καὶ[k] ἐκ δημοκρατίας τυραννίς; Πῶς; Ὃ προὔθετο,[l] ἦν δ' ἐγώ, ἀγαθόν, καὶ δι' οὗ ἡ[m] ὀλιγαρχία καθίστατο. τοῦτο δ' ἦν ὑπέρπλουτος.[n] ἦ γάρ; Ναί. Ἡ πλούτου τοίνυν ἀπληστία καὶ ἡ τῶν ἄλλων ἀμέλεια διὰ χρηματισμὸν αὐτὴν[o] ἀπώλλυ.[p] Ἀληθῆ,[q] ἔφη. Ἆρ' οὖν καὶ ὃ δημοκρατία ὁρίζεται ἀγαθόν, ἡ τούτου ἀπληστία καὶ ταύτην καταλύει; Λέγεις δ' αὐτὴν τί ὁρίζεσθαι;[r] Τὴν ἐλευθερίαν, εἶπον. τοῦτο γάρ που ἐν δημοκρατουμένῃ πόλει ἀκούσαις[s] ἂν ὡς ἔχει τε[t] κάλλιστον καὶ διὰ ταῦτα ἐν μόνῃ ταύτῃ[u] ἄξιον οἰκεῖν ὅς τις φύσει ἐλεύθερος. Λέγεται γὰρ δή, ἔφη, καὶ πολὺ τοῦτο τὸ ῥῆμα. Ἆρ' οὖν, ἦν δ' ἐγώ, ὅ περ ἦα νῦν δὴ ἐρῶν, ἡ[v] τοῦ τοιούτου ἀπληστία
III. i. 411. καὶ ἡ τῶν ἄλλων[w] ἀμέλεια καὶ ταύτην τὴν πολιτείαν μεθίστησί τε καὶ παρασκευάζει τυραννίδος δεηθῆναι; Πῶς; ἔφη. Ὅταν, οἶμαι, δημοκρατουμένη[x] πόλις ἐλευθερίας

τῷ Θτ.—[e] οὗτος ΘΠDKqrτ.—[f] καὶ K.—[g] ἡ om v.—[h] δὲ Kv.—[i] κομιδῇ...πῶς om Θτ.—[k] καὶ om v.—[l] προὔθεντο AΦrm.—[m] ἡ om Φm.—[n] δ' ἦν γίγνεσθαι ὑπέρπλουτος Ξs, δ' ἦν ἐπὶ πλοῦτος v.—[o] αὐτὴν om τ.—[p] ἀπώλλυ AΦDq, ἀπόλλυ Πm, ἀπώλυ K : ἀπόλλυσιν s.—[q] ἀληθῶς q.—[r] αὖ v.—[s] ἀκούεις q.—[t] τὸ DKq.—[u] ταῦτα AΘΠDKqvτ, τοῦτο Φ, ταύτη m : ταύτην s.—[v] ἡ om q.—[w] καλῶν τ.—[x] δημοκρα-

§. 13. *τοῦτο δ' ἦν*] δὲ quasi protasin facit, *quod ad bonum illud attinet, quod proponebatur—hoc erat.* Ast.

ὑπέρπλουτος] Non dubito quin scribendum sit *γίγνεσθαι ὑπέρπλουτον.* Steph. Posuimus quod jam Stephanus monuerat. Ast.

ἦα νῦν δὴ ἐρῶν] Leg. *ἦα*, quod cum participio futuri more Homerico conjungitur. Cf. Theag. p. 129. A. *ἡνίκα ἀποθανούμενος ἦει.* Theæt. *ὅπερ ἦα*, iterum *ἦα, ἐρῶν* p. 180. B. Interdum *ἔρχομαι* ponitur. Ita quoque Dionys. Halicarn. Antiquit. Rom. l. iii. 2. *περὶ ὧν ἔρχομαι λέξων.* Theæt. *ὅταν ἀριθμήσων ἴῃ ὁ ἀριθμητικὸς*, et *πάλιν ἔρχεται μαθησόμενος* p. 198. E. Faehse.

ὅπερ ἦα—ἐρῶν] *Quod dicturus eram.* Sic Theæt. 180. B. *ὅπερ ἦα ἐρῶν*, ubi cf. Heind. Vulgo *ἦα*, vitiose. Ast.

διψήσασα κακῶν οἰνοχόων προστατούντων τύχῃ, καὶ πορρωτέρω τοῦ δέοντος ἀκράτου αὐτῆς[y] μεθυσθῇ, τοὺς ἄρχοντας δή,[z] ἂν μὴ πάνυ πρᾶοι ὦσι[a] καὶ πολλὴν παρέχωσι τὴν ἐλευθερίαν, κολάζει αἰτιωμένη ὡς μιαροὺς[b] τε καὶ ὀλιγαρχικούς. Δρῶσι γάρ, ἔφη, τοῦτο.[c] Τοὺς δέ γε, εἶπον, τῶν ἀρχόντων κατηκόους προπηλακίζει ὡς ἐθελοδούλους τε[d] καὶ οὐδὲν ὄντας, τοὺς δὲ ἄρχοντας μὲν[e] ἀρχομένοις,[f] ἀρχομένους δὲ[g] ἄρχουσιν ὁμοίους ἰδίᾳ τε καὶ δημοσίᾳ ἐπαινεῖ τε καὶ τιμᾷ. ἆρ' οὐκ[h] ἀνάγκη ἐν τοιαύτῃ πόλει ἐπὶ πᾶν τὸ τῆς ἐλευθερίας ἰέναι; Πῶς γὰρ οὔ; Καὶ καταδύεσθαί γε, ἦν δ' ἐγώ, ὦ[i] φίλε, εἰς τε τὰς ἰδίας οἰκίας καὶ τελευτᾶν[k] μέχρι τῶν θηρίων τὴν ἀναρχίαν ἐμφυομένην.[l] Πῶς, ἦ δ' ὅς, τὸ τοιοῦτον[m] λέγομεν; Οἷον, ἔφην, πατέρα μὲν ἐθίζεσθαι παιδὶ ὅμοιον γίγνεσθαι καὶ φοβεῖσθαι τοὺς υἱεῖς, υἱὸν δὲ πατρί, καὶ μήτε αἰσχύνεσθαι μήτε δεδιέναι τοὺς γονέας, ἵνα δὴ ἐλεύθερος ᾖ· μέτοικον δὲ ἀστῷ καὶ ἀστὸν[n] μετοίκῳ ἐξισοῦσθαι, καὶ ξένον ὡσαύτως. Γίγνεται γὰρ οὕτως, ἔφη. Ταῦτά τε, ἦν δ' ἐγώ, καὶ σμικρὰ τοιάδε ἄλλα γίγνεται. διδάσκαλός τε ἐν τῷ τοιούτῳ φοιτητὰς[o] φοβεῖται καὶ θωπεύει,[p] φοιτηταί τε διδασκάλων ὀλιγωροῦσιν, οὕτω δὲ καὶ παιδαγωγῶν. καὶ ὅλως οἱ μὲν νέοι πρεσβυτέροις ἀπεικάζονται καὶ διαμιλλῶνται[q] καὶ ἐν λόγοις καὶ ἐν ἔργοις, οἱ δὲ γέροντες ξυγκαθίεντες[r] τοῖς νέοις εὐτραπελίας τε καὶ χαριεντισμοῦ ἐμπίπλανται,[s] μιμούμενοι τοὺς νέους, ἵνα δὴ[t] μὴ δοκῶσιν ἀηδεῖς εἶναι μηδὲ δεσποτικοί. Πάνυ μὲν οὖν, ἔφη. Τὸ δέ γε, ἦν δ' ἐγώ, II. 563. III. i. 412.

τουμένην πόλιν Π.—[y] αὐτοῦ ΠΔΚ*q*: om Θ*r*.—[z] δὴ om *r*.—[a] πρᾶοι ὦσι πάνυ *v*.—[b] μικρούς *r*, μικρούς Θ, πικρούς Ξ.—[c] τοῦτο om Φ*m*.—[d] τε om *q*.—[e] μὲν ἐν Ξ et rc Θ.—[f] ἀρχομένοις om *q*.—[g] δὲ ἐν Ξ et rc Θ.—[h] οὐκ ἄρα Θ*r*, οὐκ ἄρ' οὐκ ΠΔΚ, ἆρ' οὖν οὐκ *q*.—[i] ὦ om Θ*r*.—[k] τελευτᾷ *v*, τελευτῶν *r*.—[l] φυομένην Θ*r*, εὐφυομένην ΠΔ Κ.—[m] τοιοῦτο ΘΠΦΚ*r*.—[n] αὐτῷ καὶ αὐτὸν ΔΚ.—[o] φοιτήσας ΠΚ*r* et pr ΘD.—[p] θεραπεύει *v* et pr *m*.—[q] ἀμιλλῶνται ΘΦ*m* et pr Ξ.—[r] ξυγκαθιέντες ΑΘΞΠΦD*qvm r*, συγκατιέντες Κ: συγκαθίζοντες *s*. corrige accentum.—[s] ἐμπίμπλανται Κ.—[t] δὴ

ἀκρατοῦ αὐτῆς μεθυσθῇ] Similiter Livius xxxix. 26. 'ex diutina siti nimis avide meram haurientes libertatem.' Vid. Plutarch. Probl. Græc. Quæst. 18. Athen. x. p. 433. F. ubi cf. Casaubon. Vid. Gataker. Advers. Miscell. p. 450. Asr.

ἐμφυομένην] Cod. Reg. Ald. et Bas. 1. εὖ φυομένην. Asr.

ἔσχατον, ὦ φίλε, τῆς ἐλευθερίας τοῦ πλήθους, ὅσον γίγνεται ἐν τῇ τοιαύτῃ πόλει, ὅταν δὴ οἱ ἐωνημένοι καὶ αἱ ἐωνημέναι μηδὲν ἧττον ἐλεύθεροι[u] ὦσι τῶν[v] πριαμένων. ἐν γυναιξὶ δὲ πρὸς ἄνδρας καὶ ἀνδράσι πρὸς γυναῖκας ὅση ἡ[w] ἰσονομία καὶ ἐλευθερία γίγνεται, ὀλίγου ἐπελαθόμεθ' εἰπεῖν. Οὐκοῦν κατ' Αἰσχύλον, ἔφη, ἐροῦμεν ὅ τι νῦν ἦλθ'[x] ἐπὶ στόμα; Πάνυ γε,[y] εἶπον. καὶ ἔγωγε οὕτω λέγω.[z] τὸ μὲν γὰρ τῶν θηρίων τῶν ὑπὸ τοῖς ἀνθρώποις ὅσῳ ἐλευθερώτερά[a] ἐστιν ἐνταῦθα[b] ἢ ἐν ἄλλῃ, οὐκ ἄν τις πείθοιτο ἄπειρος. ἀτεχνῶς γὰρ αἵ τε κύνες κατὰ τὴν παροιμίαν οἷαί περ αἱ δέσποιναι γίγνονταί τε δή,[c] καὶ ἵπποι καὶ ὄνοι πάνυ ἐλευθέρως καὶ σεμνῶς εἰθισμένοι πορεύεσθαι, κατὰ τὰς[d] ὁδοὺς ἐμ-
III. i. 413. βάλλοντες τῷ ἀεὶ ἀπαντῶντι, ἐὰν[e] μὴ ἐξίστηται· καὶ τἆλλα πάντα οὕτω μεστὰ[f] ἐλευθερίας γίγνεται. Τὸ ἐμόν γ',[g] ἔφη, ἐμοὶ λέγεις ὄναρ· αὐτὸς γὰρ εἰς ἀγρὸν πορευόμενος θαμὰ αὐτό[h] πάσχω. Τὸ δὲ δὴ κεφάλαιον, ἦν δ' ἐγώ, πάντων τούτων ξυνηθροισμένων[i] ἐννοεῖς, ὡς ἀπαλὴν τὴν ψυχὴν τῶν πολιτῶν ποιεῖ, ὥστε κἂν ὁτιοῦν δουλείας τις προσφέρηται, ἀγανακτεῖν καὶ μὴ ἀνέχεσθαι; τελευτῶντες γάρ που οἶσθ' ὅτι οὐδὲ τῶν νόμων φροντίζουσι γεγραμμένων ἢ ἀγράφων, ἵνα δὴ μηδαμῇ[k] μηδεὶς αὐτοῖς

οι
om Θτ.—[u] ἐλεύθεραι τ.—[v] τῶν om v.—[w] ἡ om Θτ.—[x] ἦλθεν ΞΦ.—[y] γ' v.—[z] λέγων ΘΠτ.—[a] ἐλευθερώτερόν v.—[b] ἐν ταύτῃ Ξs.—[c] τε δὴ om v.—[d] τοὺς v.—[e] εἰ Θτ.—[f] μετὰ Θτ.—[g] γ' om s.—[h] τοῦτο τ.—[i] ξυνηθροισμένον v.—[k] μὴ pr Ξ.

ὅ τι νῦν ἦλθ' ἐπὶ στόμα] *Quod in buccam venerit*, illustravit P. Victor. Var. Lect. xi. 16. Ast.

ἐλευθερώτερα] Respicit hoc nomen *θηρίων*, etsi præcedat *τὸ τῶν θηρίων*. Sic Phileb. 45. E. *τὸ δὲ τῶν ἀφρόνων— ἡ σφόδρα ἡδονὴ κατέχουσα περιβοήτους ἀπεργάζεται*. De Legg. ii. p. 657. D. *τὸ δὲ τῶν πρεσβυτέρων ἡμῶν, ἐκείνους αὖ θεωροῦντες, διάγειν ἠγούμεθα πρεπόντως*. Vid. Matthiæ Gr. Gr. p. 395. Ast.

γίγνονταί τε δὴ καὶ] Malim ita scribere, *γίγνονταί τε, καὶ δὴ καὶ ἵπποι*. Vel potius, *γίγνονται, καὶ δὴ* etc. absque vocula *τε*, quippe quæ præcedat. Steph.

γίγνονταί τε δὴ] Vulgo legitur *δέσποιναι, γίγνονταί τε δὴ καὶ* cet. quæ Stephanus corrigere tentabat scribendo: *γίγνονταί τε καὶ δὴ καὶ* vel *γίγνονται, καὶ δὴ καί*. Lenius esset scribere *δὲ δή*, quod frequentissimum apud Platonem aliosque scriptores (vid. Lexic. Xenoph. t. i. p. 657. et Boissonad. ad Philostrat. Heroic. p. 308.); sed ne hoc quidem opus est; *τε* post *γίγνονται* respondet præcedenti, et locus sanatur interpunctione mutata; *γίγνονται* enim cum adverbiis conjungendum *ἐλευθέρως* et *σεμνῶς*, de quo supra monuimus, ut sequentia uberiori inserviant explicationi. Ad præcedens vero *αἵ τε κύνες* intelligendum est *εἰσί*. Ast.

τὸ ἐμὸν—ὄναρ] *Meam ipsius sententiam*, v. nostra ad Phædr. p. 392. Ast.

ἀγράφων] *νόμος ἄγραφος* dicebatur veteribus lex tradita hominibusque in-

ἢ δεσπότης. Καὶ μάλα,[l] ἔφη, οἶδα. [§. 14.] Αὕτη μὲν τοίνυν, ἦν δ' ἐγώ, ὦ Φίλε, ἡ ἀρχὴ οὕτωσὶ καλὴ καὶ νεανική, ὅθεν[m] τυραννὶς φύεται, ὡς ἐμοὶ δοκεῖ. Νεανικὴ δῆτα, ἔφη· ἀλλὰ τί τὸ μετὰ τοῦτο; Ταὐτόν, ἦν δ' ἐγώ, ὅ περ ἐν τῇ ὀλιγαρχίᾳ νόσημα ἐγγενόμενον ἀπώλεσεν αὐτήν, τοῦτο καὶ ἐν ταύτῃ πλέον τε καὶ ἰσχυρότερον ἐκ τῆς ἐξουσίας ἐγγενόμενον καταδουλοῦται δημοκρατίαν. καὶ τῷ ὄντι τὸ ἄγαν τι ποιεῖν μεγάλην φιλεῖ εἰς τοὐναντίον μεταβολὴν ἀνταποδιδόναι, ἐν[n] ὥραις τε καὶ ἐν φυτοῖς καὶ II. 564.
ἐν σώμασι, καὶ δὴ[o] καὶ ἐν[p] πολιτείαις οὐχ ἥκιστα. Εἰκός, ἔφη.[q] Ἡ γὰρ ἄγαν[r] ἐλευθερία ἔοικεν οὐκ εἰς ἄλλο τι ἢ εἰς ἄγαν δουλείαν μεταβάλλειν καὶ ἰδιώτῃ καὶ πόλει. Εἰκὸς γάρ.[s] Εἰκότως τοίνυν, εἶπον, οὐκ ἐξ ἄλλης πολιτείας τυραννὶς καθίσταται ἢ ἐκ δημοκρατίας, ἐξ, III. i. 414.
οἶμαι, τῆς ἀκροτάτης ἐλευθερίας δουλεία πλείστη τε[t] καὶ ἀγριωτάτη. Ἔχει γάρ, ἔφη, λόγον. Ἀλλ' οὐ τοῦτ' οἶμαι, ἦν δ' ἐγώ, ἠρώτας, ἀλλὰ ποῖον νόσημα ἐν ὀλιγαρχίᾳ τε φυόμενον ταὐτὸν καὶ ἐν δημοκρατίᾳ δουλοῦται αὐτήν. Ἀληθῆ,[u] ἔφη, λέγεις. Ἐκεῖνο τοίνυν, ἔφην,[v] ἔλεγον τὸ τῶν ἀργῶν τε καὶ δαπανηρῶν ἀνδρῶν γένος, τὸ μὲν ἀνδρειότατον, ἡγούμενον αὐτῶν,[w] τὸ δ' ἀνανδρότατον[x] ἑπόμενον· οὓς δὴ ἀφωμοιοῦμεν[y] κηφῆσι, τοὺς μὲν κέντρα ἔχουσι,[z] τοὺς δὲ ἀκέντροις.[a] Καὶ ὀρθῶς γ', ἔφη. Τούτω[b] τοίνυν, ἦν δ' ἐγώ,

—[l] μάλ' vmr.—[m] ὅθεν...νεανικὴ om ΘΠDKqr.—[n] ἐν ante φυτοῖς om r.—[o] καὶ δὴ om Aφqm.—[p] ἐν ταῖς K.—[q] εἰκὸς ἔφη om Φ.—[r] ἄγαν om q.—[s] ἔφη Φ.—[t] τε om Φm.—[u] ἀληθῶς K.—[v] ἔφην om DKq.—[w] αὐτὸν αὐτῶν ἡγούμενον Θ, αὐτῶν ἡγούμενον ΠDKqr.—[x] ἀνανδρότερον AΘΞΠφvm.—[y] ἀφομοιοῦμεν AΘΠΦDvmr.—
[z] ἔχουσι D, ἔχοντας Kq.—[a] ἀκέντρους DKqm.—[b] τοῦτο Φ.—[c] ταράττεται r.—

nata, h. e. communis hominum sententia consuetaque opinio, vid. nostra ad Phædr. p. 238. ibique laudatis adde Artemidor. iv. 2. τῶν δὲ νενομισμένων ἃ μὲν συνθέμενοι ἀλλήλοις οἱ ἄνθρωποι αὐτοὶ ἑαυτοῖς πράττουσι, καὶ καλεῖται τὸ τοιοῦτον ἔθος. ἔστι δὲ, ὡς ἡ φήμη λέγει, νόμος ἄγραφος. ubi v. Reiff. p. 442. Dio Chrysostom. Orat. lxxvi. p. 648. A. ἔστι δὲ τὸ ἔθος γνώμη μὲν τῶν χρωμένων κοινὴ, νόμος δὲ ἄγραφος ἔθνους ἢ πόλεως, δίκαιον δὲ ἑκούσιον, καὶ ταῦτα πᾶσιν ἀρέσκον, εὕρημα δὲ ἀνθρώπων οὐδενὸς, ἀλλὰ βίου καὶ χρόνου. Cf. Sophocl. Antig. 450. Xenoph. Mem. Socr. iv. 4. 19. Diogen. L. iii. p. 238. ed. Casaub. Ast.

§. 14. ἡ γὰρ ἄγαν ἐλευθερία] Laudat Stob. xli. p. 265. usque ad δημοκρατίας. Ast.

ἐξ, οἶμαι, τ. ἀκροτ. ἐλευθερίας] Tmesis haud infrequens. Sic Demosth. in Leptin. 4. ἐν, οἶμαι, πολλοῖς cet. Ast.

ἀφωμοιοῦμεν] Ald. Bas. 1. et 2. ἀφομοιοῦμεν. Ficin. vero, *comparavimus*. Ast.

ταράττετον[c] ἐν πάσῃ πολιτείᾳ ἐγγινομένῳ, οἷον περὶ σῶμα φλέγμα τε καὶ χολή. ὧ δὴ καὶ δεῖ[d] τὸν ἀγαθὸν[e] ἰατρόν τε καὶ νομοθέτην πόλεως, μὴ ἧττον ἢ σοφὸν μελιτουργόν,[f] πόρρωθεν εὐλαβεῖσθαι, μάλιστα μὲν ὅπως μὴ ἐγγενήσεσθον,[g] ἂν δὲ ἐγγένησθον,[h] ὅπως[i] ὅτι τάχιστα ξὺν[k] αὐτοῖσι τοῖς[l] κηρίοις ἐκτετμήσεσθον.[m] Ναὶ μὰ Δία,[n] ἦ δ' ὅς, παντάπασί γε. [§. 15.] Ὧδε τοίνυν, ἦν δ' ἐγώ, λάβωμεν, ἵν' εὐκρινέστερον ἴδωμεν ὃ βουλόμεθα. Πῶς; Τριχῇ[p] διαστησώμεθα[q] τῷ λόγῳ δημοκρατουμένην πόλιν, ὥς περ οὖν καὶ ἔχει. ἓν μὲν γάρ που τὸ τοιοῦτον[r] γένος ἐν αὐ-
III. i. 415. τῇ ἐμφύεται δι' ἐξουσίαν, οὐκ ἔλαττον ἢ ἐν τῇ ὀλιγαρχουμένῃ. Ἔστιν οὕτως. Πολὺ δέ γε[s] δριμύτερον ἐν ταύτῃ ἢ ἐν ἐκείνῃ. Πῶς; Ἐκεῖ μὲν διὰ τὸ μὴ ἔντιμον εἶναι, ἀλλ' ἀπελαύνεσθαι τῶν ἀρχῶν ἀγύμναστον καὶ οὐκ ἐρρωμένον γίγνεται. ἐν δημοκρατίᾳ δὲ τοῦτό που τὸ[t] προεστὸς[u] αὐτῆς, ἐκτὸς ὀλίγων. καὶ τὸ μὲν δριμύτατον αὐτοῦ λέγει τε καὶ πράττει, τὸ δ' ἄλλο περὶ τὰ βήματα προσίζον βομβεῖ τε καὶ οὐκ ἀνέχεται τοῦ ἄλλα λέγοντος, ὥστε πάντα ὑπὸ τοῦ τοιούτου διοικεῖται ἐν τῇ τοιαύτῃ πολιτείᾳ, χωρίς τινων ὀλίγων. Μάλα γε, ἦ δ' ὅς. Ἄλλο τοίνυν τοιόνδε ἀεὶ[v] ἀποκρίνεται ἐκ τοῦ πλήθους. Τὸ ποῖον; Χρηματιζομένων που[w] πάντων οἱ κοσμιώτατοι φύσει ὡς τὸ πολὺ πλουσιώτατοι γίγνονται. Εἰκός. Πλεῖστον δή, οἶμαι, τοῖς κηφῆσι μέλι[x] καὶ εὐπορώτατον[y] ἐντεῦθεν βλύττει.[z]

[d] δεῖ καὶ Θτ.—[e] ἀγαθόν τε Θ.—[f] μελιττουργὸν pr A: μελιττουργὸν s.—[g] ἐγγενήσεσθον AΦνm et pr Π, ἐγγίγνησθον q: ἐγγένησθον *s.—[h] ἂν δὲ ἐγγενήσεσθον ν, εἰ δ' οὖν K, εἰ δὲ rc Θ, εἰ δὲ μὴ q: om ΠDτ et pr Θ.—[i] μή πως Θτ, ἢ ὅπως rc D.—[k] ξὺν AΘΞΠΦνmτ.—[l] αὐτοῖς Θντs.—[m] ἐκτετμήσεσθον AΦνm, ἐκτετμήσθων ν: ἐκτετμῆσθον *s.—[n] δῆ mτ.—[p] τριχῇ δὲ ν.—[q] διαστησόμεθα Ξ.—[r] τοιοῦτο Φτ.—[s] γε om Θ, δέ om τ.—[t] τὸ om K.—[u] προεστὸς Πν cum pr A et corr Θ: προεστὼς *s.—[v] δὴ ν.—[w] που οὐ q.—[x] μέλι post καὶ εὐπορ. ponit Θτ.—[y] εὐ-

ὧ δῆ] Ald. et Bas. 1. ᾧ Bas. 2. ὦ. Mox Ald. Bas. 1. 2. μελιττουργόν. Ast.

ὅπως] Post ὅπως ut interponatur ἂν, conjunctivus ἐκτετμῆσθον postulat. Ast.

αὐτοῖς] Ald. Bas. 1. et 2. αὐτοῖσι, quæ forma Ionica, quum sæpius in Platonis occurrat libris, haud scio an immerito a Stephano rejecta fuerit. Mox ἐκτετμῆσθον; *excisa sint*, de qua perfecti vi jam monuimus. Ast.

§. 15. οὐκ ἀνέχεται τοῦ ἄλλα λέγοντος] ἀνέχεσθαι *ferre, pati* cum genitivo constructum, ut Æschin. Axioch. c. 15. τὰ δὲ παθήματα σοφισμάτων οὐκ ἀνέχεται. Vid. Matthiæ Gr. Gr. p. 460. et Addend. p. xxxi.—Pro τοῦ reposuimus encliticum, Ficinum secuti, qui vertit, *si quis alia dixerit*. Ast.

Πῶς γὰρ ἄν, ἔφη, παρά γε τῶν σμικρὰ[a] ἐχόντων τις[b] βλύσειεν;[c] Πλούσιοι δή, οἶμαι, οἱ τοιοῦτοι καλοῦνται κηφήνων βοτάνη. Σχεδόν τι, ἔφη. Δῆμος δ' ἂν εἴη τρίτον γένος, II. 565. ὅσοι αὐτουργοί τε καὶ ἀπράγμονες, οὐ πάνυ πολλὰ κεκτημένοι· ὃ δὴ πλεῖστόν τε καὶ κυριώτατον ἐν δημοκρατίᾳ, ὅταν περ ἀθροισθῇ.[d] Ἔστι γάρ, ἔφη. ἀλλ' οὐ θαμὰ[e] ἐθέ- III. i. 416. λει[f] ποιεῖν τοῦτο, ἐὰν μὴ μέλιτός τι[g] μεταλαμβάνῃ. Οὐκοῦν μεταλαμβάνει, ἦν δ' ἐγώ, ἀεί, καθ' ὅσον δύνανται οἱ προεστῶτες, τοὺς ἔχοντας τὴν οὐσίαν ἀφαιρούμενοι, διανέμοντες τῷ[h] δήμῳ τὸ πλεῖστον αὐτοὶ ἔχειν. Μεταλαμβάνει γὰρ οὖν, ἦ δ' ὅς, οὕτως. Ἀναγκάζονται δή, οἶμαι, ἀμύνεσθαι, λέγοντές τε ἐν τῷ δήμῳ καὶ πράττοντες ὅπῃ δύνανται, οὗτοι ὢν ἀφαιροῦνται. Πῶς γὰρ οὔ; Αἰτίαν δὴ ἔσχον ὑπὸ τῶν ἑτέρων, κἂν μὴ ἐπιθυμῶσι νεωτερίζειν, ὡς ἐπιβουλεύουσι τῷ δήμῳ καί εἰσιν ὀλιγαρχικοί. Τί μήν; Οὐκοῦν καὶ τελευτῶντες, ἐπειδὰν ὁρῶσι τὸν δῆμον οὐχ ἑκόντα, ἀλλ' ἀγνοήσαντά τε καὶ ἐξαπατηθέντα ὑπὸ τῶν διαβαλλόντων[i] ἐπιχειροῦντα σφᾶς ἀδικεῖν, τότ' ἤδη, εἴτε βούλονται[k] εἴτε μή, ὡς ἀληθῶς ὀλιγαρχικοὶ γίγνονται, οὐχ[l] ἑκόντες, ἀλλὰ καὶ τοῦτο τὸ κακὸν ἐκείνος[m] ὁ κηφὴν ἐντίκτει κεντῶν αὐτούς. Κομιδῇ μὲν οὖν. Εἰσαγγελίαι δὴ[n] καὶ κρίσεις καὶ ἀγῶνες περὶ[o] ἀλλήλων γίγνονται. Καὶ μάλα. Οὐκοῦν ἕνα τινὰ ἀεί[p] ὁ[q] δῆμος εἴωθε διαφερόντως[r] προΐστασθαι ἑαυτοῦ, καὶ τοῦτον τρέφειν τε καὶ αὔξειν[s] μέ-

πορώτατα Κ.—[z] βλίττει ΑΦτm et pr Π, βλίττεται Ruhnken. Tim. p. 63.—[a] σμικρὰ ΑΞΦ: σμικρὸν *ς.—[b] τις om Θ, τι Φη et corr Ξ.—[c] βλύσειεν ΘΞDKqr, βλίσειε m, βλύσσειεν (corr in r) Π, βλίσσειεν ΑΦν.—[d] ὅταν περιαθροισθῇ ν.—[e] ἔφη τὸ ἀλλ' οὐχ ἅμα ν.—[f] ἐθέλειν Φ.—[g] τι om Θr.—[h] τῷ Θr.—[i] διαβαλόντων ς.—[k] εἴτε τι βούλονται ν.—[l] οὐχ...γίγνονται om Θr.—[m] ἐκείνοις Φ, ἐκείνους Ξm.—[n] δὲ DK.—[o] παρὰ Φ.—[p] δ δῆμος ἀεὶ Θr.—[q] δ om ΑΠΦDKνm.—[r] διαφερόντως εἴωθε Θr.—

σμικρὸν ἐχόντων] Legitur etiam *σμικρα ἐχόντων*. Sed quod sequitur *βλύσει*, mutandum fuerit in *βλίσει*, (vel *βλίσειε*) et quod præcedit *βλύττει*, itidem in *βλίττει*, vulgarem scripturam sequendo. Steph.

βλίττεται] Ita pro *βλύττει* cum Schol. p. 187. et Ruhnkenio ad Tim. p. 63. scripsimus. Schol. l. l. *ἀφαιρεῖται τὸ μέλι ἀπὸ τῶν κηρίων*. Sic et Ficinus, *exprimitur*. Vir doctus in Miscell. Observat. vol. v. t. iii. p. 81. *βλύττει* pro *βλύζει* accipiebat.—Mox Bas. 2. *σμικρὰ ἐχόντων*. Deinde *βλίσειε*, Stephano etiam suadente, pro *βλίσει* scripsimus. Ast.

διανέμοντες] Participium instrumentum indicat: *in opibus populo distribuendis*. Ast.

αἰτίαν—ἔσχον] *αἰτίαν ἔχειν, accusari*, v. nostra ad Phædr. p. 314. et Wernsdorf. ad Himer. p. 211. Ast.

γαν;[t] Εἴωθε γάρ. Τοῦτο μὲν ἄρα,[u] ἦν δ' ἐγώ, δῆλον, ὅτι ὅταν περ φύηται[v] τύραννος, ἐκ προστατικῆς[w] ῥίζης καὶ οὐκ
III, i. 417. ἄλλοθεν ἐκβλαστάναι. Καὶ μάλα δῆλον. Τίς ἀρχὴ οὖν μεταβολῆς ἐκ προστάτου ἐπὶ τύραννον; ἢ δῆλον ὅτι ἐπειδὰν ταὐτὸν ἄρξηται δρᾶν ὁ προστάτης τῷ ἐν τῷ μύθῳ ὃς περὶ τὸ ἐν Ἀρκαδίᾳ τοῦ[x] Διὸς τοῦ Λυκαίου ἱερὸν λέγεται; Τίς; ἔφη. Ὡς ἄρα ὃς[y] γευσάμενος τοῦ ἀνθρωπίνου σπλάγχνου, ἐν ἄλλοις ἄλλων ἱερείων ἑνὸς ἐγκατατετμημένου,[z] ἀνάγκη δὴ τούτῳ λύκῳ γενέσθαι. ἢ οὐκ ἀκήκοας τὸν λόγον; Ἔγωγε. Ἆρ' οὖν οὕτω καὶ ὃς ἂν δήμου προεστὼς,[a] λαβὼν σφόδρα πειθομένου ὄχλου, μὴ ἀπόσχηται ἐμφυλίου αἵματος, ἀλλ' ἀδίκως ἐπαιτιώμενος οἷα δὴ φιλοῦσιν, εἰς δικαστήρια ἄγων μιαιφονῇ, βίον ἀνδρὸς ἀφανίζων, γλώττῃ τε καὶ στόματι ἀνοσίῳ γευόμενος[b] φόνου ξυγγενοῦς, καὶ
II. 566. ἀνδρηλατῇ καὶ ἀποκτιννύῃ καὶ ὑποσημαίνῃ χρεῶν τε ἀποκοπὰς καὶ γῆς[c] ἀναδασμόν, ἆρα τῷ τοιούτῳ[d] ἀνάγκη δὴ τὸ μετὰ τοῦτο καὶ εἱμαρται ἢ ἀπολωλέναι ὑπὸ τῶν ἐχθρῶν ἢ τυραννεῖν καὶ λύκῳ ἐξ ἀνθρώπου[e] γενέσθαι; Πολλὴ ἀνάγκη,[f] ἔφη. Οὗτος δή, ἔφην, ὁ στασιάζων γίγνεται πρὸς τοὺς ἔχοντας τὰς οὐσίας; Οὗτος.[g] Ἆρ' οὖν ἐκπεσὼν μὲν

[s] αὐξεῖν ΘΠ.—[t] μέγα ΞΦmr.—[u] μὲν οὖν ἄρα Θ, μέν γ' ἄρα r.—[v] περιφύηται v.—[w] προστακτικῆς corr q.—[x] τὸ om Θr.—[y] ὃ om v.—[z] ἐγκατατετμημένου ΑΘΞΠΦvm r: ἐγκαταμεμιγμένου s.—[a] προσεστὼς Π.—[b] φθεγγόμενος r.—[c] γῆς τε v.—[d] τῷ τοιούτῳ ἄρα Φ.—[e] ἀνθρώπων DKq.—[f] ἀνάγκη add ΑΞΦvm.—[g] : οὗτος : omnes

αὔξειν μέγαν] Prægnans verbum; est enim *alendo reddere* s. alere, ut fiat magnus, ut διδάσκειν, παιδεύειν, τρέφειν usurpantur. Epist. vii. p. 333. B. θρέψαι βασιλέα τῆς ἀρχῆς ἄξιον. Vid. ad iv. 2. p. 421. E. Ast.

Διὸς τ. Λυκαίου] Jupiter Lycæus dictus est a Lycaone, Pelasgi filio, qui ludos Lycæos traditur instituisse. Pausan. viii. 2. t. ii. p. 350. ed. Fac. Λυκάων δὲ ἐπὶ τὸν βωμὸν τοῦ Λυκαίου Διὸς βρέφος ἤνεγκεν ἀνθρώπου καὶ ἔθυσε τὸ βρέφος, καὶ ἔσπεισεν ἐπὶ τοῦ βωμοῦ τὸ αἷμα· καὶ αὐτὸν αὐτίκα ἐπὶ τῇ θυσίᾳ γενέσθαι λύκον φασὶν ἀντὶ ἀνθρώπου. Lycææ, Arcadiæ urbe, barbarus ille humanas victimas immolandi mos remansit (v. Böttiger. in Curt. Sprengelii Beitr. z. Gesch. der Medicin. t. i. p. ii. n. 1.). Cf. Boeckh. in Min. p. 55. Attigit etiam Creuzer. Symbol. et Mythol. t. ii. p. 132. Ast.

ὡς ἄρα ὁ γευσάμενος—ἀνάγκη τούτῳ] Nominativus participii absolute positus, pro ὃς ἐγεύσατο, *si quis gustaverit*. Sic de Legib. iii. p. 686. D. ἀποβλέψας γὰρ —ἔδοξέ μοι. vi. 769. C. ξυννοεῖς ὅτι, θνητὸς ὢν—σμικρόν τινα χρόνον αὐτῷ πόνος παραμενεῖ πάμπολυς. Vid. Valckenar. ad Eurip. Phœniss. p. 102. ad Ammon. p. 188. Kœn. ad Gregor. p. 33. Matthiæ Gr. Gr. p. 817. et nostra ad Phædr. p. 269. Ast.

γῆς ἀναδασμὸν] Vid. Themist. Orat. vii. p. 91. C. Ast.

οὗτος ἆρ' οὖν] Ficinus videtur legisse Οὗτος. Ἆρ' οὖν cet. Vertit enim: *Hic quidem adversus opulentos homines seditiosus. Certe. Nonne—tyrannus effectus revertitur.* Quod vulgatæ scrip-

καὶ κατελθὼν βίᾳ τῶν ἐχθρῶν τύραννος ἀπειργασμένος κατέρχεται; Δῆλον. Ἐὰν δὲ[h] ἀδύνατοι ἐκβάλλειν αὐτὸν ὦσιν ἢ ἀποκτεῖναι διαβάλλοντες τῇ πόλει, βιαίῳ δὴ θανάτῳ ἐπιβουλεύουσιν ἀποκτιννύναι λάθρᾳ. Φιλεῖ γοῦν, ἦ δ' ὅς, οὕτω γίγνεσθαι. [§. 16.] Τὸ δὴ τυραννικὸν αἴτημα τὸ πολυθρύλητον[i] ἐπὶ τούτῳ πάντες οἱ εἰς τοῦτο προβεβηκότες ἐξευρίσκουσιν, αἰτεῖν τὸν δῆμον φύλακάς τινας τοῦ σώματος, ἵνα σῶς αὐτοῖς ᾖ ὁ τοῦ δήμου βοηθός. Καὶ μάλ', ἔφη. Διδόασι δή, οἶμαι, δείσαντες μὲν ὑπὲρ ἐκείνου, θαῤῥήσαντες[k] δὲ ὑπὲρ ἑαυτῶν. Καὶ μάλα. Οὐκοῦν τοῦτο ὅταν ἴδῃ ἀνὴρ χρήματα ἔχων καὶ μετὰ τῶν χρημάτων αἰτίαν μισόδημος[l] εἶναι, τότε δὴ οὗτος, ὦ ἑταῖρε, κατὰ τὸν Κροίσῳ γενόμενον χρησμὸν

πολυψήφιδα[m] παρ' Ἕρμον

φεύγει, οὐδὲ μένει, οὐδ' αἰδεῖται κακὸς εἶναι.

Οὐ γὰρ ἄν, ἔφη, δεύτερον αὖθις αἰδεσθείη. Ὁ δέ γε, οἶμαι, ἦν δ' ἐγώ, καταληφθεὶς[n] θανάτῳ δίδοται. Ἀνάγκη. Ὁ δὲ δὴ προστάτης ἐκεῖνος αὐτὸς[o] δῆλον[p] δὴ ὅτι μέγας[q] μεγαλωστὶ οὐ κεῖται, ἀλλὰ καταβαλὼν ἄλλους πολλοὺς ἕστηκεν ἐν τῷ δίφρῳ τῆς πόλεως, τύραννος ἀντὶ προστάτου ἀποτετελεσμένος.[r] Τί δ' οὐ μέλλει; ἔφη. III. i. 418.

præter Θτ, qui οὕτως :—[h] δὴ m.—[i] πολυθρύλητον ΑΠ : πολυθρύλλητον *s.—[k] θαρσήσαντες Φ.—[l] μεσόδημος Φm.—[m] πολυψήφιδα ΑΘΦm, πολυψηφίδα ΞΚ : πολυψηφίδα *s.—[n] καταλειφθεὶς ΞΦm.—[o] αὐτὸς ἐκεῖνος v.—[p] τῆς πόλεως δῆλον Ξs.—

turæ multis præstat nominibus. Monuit id etiam De-Geer. Diatrib. p. 155. not. Ast.

§. 16. πολυψηφίδα] Vid. Herodot. i. 55. Ast.

καταληφθεὶς] Ald. Bas. 1. et 2. καταλειφθεὶς; Ficinus vero, *comprehensus fuerit*. Ast.

θανάτῳ δίδοται] Latinorum *leto datur*, v. nostra ad Phædr. p. 335. Ast.

μέγας μεγαλ. οὐ κεῖται] Magnitudine sua et magnificentia contentus nihilque præterea appetens; κεῖσθαι est, ut καθῆσθαι (v. ad iv. 1.) *desidere*. Ast. qui sic in Corrigend. 'Non recte cepi verba μέγας μεγαλωστὶ οὐ κεῖται, quæ ex Homero Il. xvi. 776. sumta sunt, ubi de Cebrione, Hectoris auriga, quem Patroclus prostraverat, ita poeta : ὁ δ' ἐν στρο-φάλιγγι κονίης Κεῖτο μέγας μεγαλωστὶ, λελασμένος ἱπποσυνάων. Lenis quædam irrisio in verbis μέγας μεγαλωστὶ κεῖται inest; dicitur enim μέγας μεγαλωστὶ κεῖσθαι, qui in longum (nos Græco convenienter dicimus *die Länge lang*) ita porrectus jacet, ut nullum corporis membrum moveat. Sic etiam Od. xxiv. 39. 40. Apte vero hæc Homerica Plato ad tyrannum accommodavit, qui, postquam alios prostravit, sicuti Patroclus Cebrionem prostraverat (v. 742. ὃ δ' ἄρ' κάππεσ' ἀπ' εὐεργέος δίφροιο), ipse ἕστηκεν ἐν τῷ δίφρῳ τῆς πόλεως. Civitatis princeps auriga comparatur; hinc τὰς ἡνίας ἔχειν (v. Dorvill. ad Charit. p. 556.) dicitur.' Ast.

καταβαλὼν] *Dejiciens, deturbans*, respectu ad μέγας; proprie enim arces et

Διέλθωμεν δὴ τὴν εὐδαιμονίαν, ἣν δ' ἐγώ, τοῦ τε ἀνδρὸς
III. i. 419. καὶ τῆς πόλεως ἐν ᾗ ἂν ὁ τοιοῦτος βροτὸς ἐγγένηται; Πάνυ μὲν οὖν, ἔφη, διέλθωμεν. Ἆρ' οὖν, εἶπον, οὐ[s] ταῖς μὲν πρώταις ἡμέραις τε καὶ χρόνῳ προσγελᾷ τε καὶ ἀσπάζεται πάντας, ὧ ἂν περιτυγχάνῃ; καὶ οὔτε τύραννός φησιν εἶναι, ὑπισχνεῖταί τε πολλὰ καὶ ἰδίᾳ καὶ[t] δημοσίᾳ, χρεῶν τε ἠλευθέρωσε, καὶ γῆν διένειμε δήμῳ τε καὶ τοῖς περὶ ἑαυτόν, καὶ πᾶσιν ἵλεώς τε καὶ πρᾶος[u] εἶναι προσποιεῖται;[v] Ἀνάγκη, ἔφη. Ὅταν δέ γε, οἶμαι,[w] πρὸς τοὺς ἔξω ἐχθροὺς τοῖς μὲν καταλλαγῇ, τοὺς δὲ καὶ διαφθείρῃ, καὶ[x]
II. 567. ἡσυχία ἐκείνων γένηται, πρῶτον μὲν πολέμους τινὰς ἀεὶ κινεῖ, ἵν' ἐν χρείᾳ ἡγεμόνος ὁ δῆμος ᾖ. Εἰκός γε.[y] Οὐκοῦν καὶ ἵνα χρήματα εἰσφέροντες, πένητες γιγνόμενοι,[z] πρὸς τῷ καθ' ἡμέραν ἀναγκάζωνται εἶναι καὶ ἧττον αὐτῷ ἐπιβουλεύωσιν; Δῆλον.[a] Καὶ ἄν γέ[b] τινας, οἶμαι,[c] ὑποπτεύῃ ἐλεύθερα φρονήματα ἔχοντας μὴ ἐπιτρέψειν αὐτῷ ἄρχειν, ὅπως ἂν τούτους[d] μετὰ προφάσεως ἀπολλύῃ,[e] ἐνδοὺς τοῖς πολεμίοις; τούτων πάντων ἕνεκα τυράννῳ ἀεὶ[f] ἀνάγκη[g] πόλεμον ταράττειν; Ἀνάγκη. Ταῦτα δὴ ποιοῦντα ἕτοιμον μᾶλλον ἀπεχθάνεσθαι τοῖς πολίταις; Πῶς γὰρ οὔ;[h] Οὐκοῦν καί τινας τῶν ξυγκαταστησάντων καὶ ἐν[i] δυνάμει
III. i. 420. ὄντων παῤῥησιάζεσθαι καὶ πρὸς αὐτὸν καὶ πρὸς ἀλλήλους; ἐπιπλήττοντας τοῖς γιγνομένοις, οἳ ἂν τυγχάνωσιν ἀνδρι-

q μέγας om q.—r ἀντιτετελεσμένος Π, τετελεσμένος ΘDKqr.—s οὐχ ὁ τύραννος b, qui hinc ad 142, 18. μεταμπισχόμενος.—t καὶ ante ἰδίᾳ om ΘDKqr.—u πατρῷος s.—v προσποιεῖται εἶναι r.—w γε οἶμαι om b.—x κἀν v.—y εἰκός γε om v.—z πένητες γιγνόμενοι om b. τῶι ΑΞΦm: τὸ *s.—a δῆλον om b.—b τε v, om b.—c οἶμαι om b.—d τούτων v.—e ἀπολυθῇ v.—f ἀεὶ ΑΘΞΠΦ.—g ἀνάγκη om b.—h Πῶς γὰρ οὔ

quæ alta ac magnifica sunt, καταβάλλεσθαι, *dejici*, dicuntur, v. Lambin. ad Horat. Epist. ii. 2. 30. Ast.

ἐπὶ τῷ δίφρῳ τῆς πόλεως] Sedere dicitur imperans, quoniam δίφρος proprie *sedes est aurigæ in curru*; v. ad lib. i. 2. Ast.

πάντας, ᾧ ἂν] Simonides in Platon. Protag. 345. D. πάντας—φιλέω—ὅστις ἔρδῃ μηδὲν αἰσχρόν. Aristoph. Nub. 348. γίγνονται πάνθ' ὅ τι βούλονται. Vid. Brunck. ad Soph. Aj. 760. et Matthiæ Gr. Gr. p. 656. Ast.

πρᾷος] Genuinam hanc scripturam, quam et Ficinus expressit vertendo, *mansuetus et mitis esse simulat*, suppeditavit Cod. Reg. Vulgo πατρῷος. Ast.

πρὸς τὰ καθ' ἡμέραν—εἶναι] *Quotidianis necessitatibus occupatos esse.* Τὰ καθ' ἡμέραν ut τὰ καθ' ἡμέραν apud Xenoph. Hier. iv. 9. Εἶναι s. γίγνεσθαι vero πρός τι vel πρὸς τινὶ est *aliqua re occupatum esse*; ut lib. x. 6. γίγνεσθαι πρὸς τὸ ἰᾶσθαι. Vid. Wyttenbach. ad Plutarch. de S. N. V. p. 21. Boissonad. ad Philostrat. p. 310. De sententia ipsa, cf. Aristotel. Polit. v. 11. (c. 9. §. 5. ed. Schneid.) Ast.

κώτατοι ὄντες; Εἰκός γε.[k] Ὑπεξαιρεῖν[l] δὴ τούτους πάντας δεῖ[m] τὸν τύραννον, εἰ μέλλει ἄρξειν, ἕως ἂν μήτε φίλων μήτ' ἐχθρῶν[n] λίπῃ μηδένα ὅτου τι ὄφελος. Δῆλον.[o] Ὀξέως ἄρα δεῖ ὁρᾷν αὐτὸν τίς[p] ἀνδρεῖος, τίς μεγαλόφρων, τίς φρόνιμος, τίς πλούσιος· καὶ οὕτως εὐδαίμων ἐστὶν ὥστε τούτοις ἅπασιν ἀνάγκη αὐτῷ, εἴτε βούλεται εἴτε μή, πολεμίῳ εἶναι καὶ ἐπιβουλεύειν ἕως ἂν καθήρῃ τὴν πόλιν. Καλόν[q] γε,[r] ἔφη, καθαρμόν. Ναί, ἦν δ' ἐγώ, τὸν ἐναντίον[s] ἢ οἱ ἰατροὶ τὰ σώματα· οἱ μὲν γὰρ τὸ χείριστον ἀφαιροῦντες λείπουσι τὸ βέλτιστον, ὁ δὲ τοὐναντίον. Ὡς[t] ἔοικε γάρ, αὐτῷ, ἔφη, ἀνάγκη, εἴ περ ἄρξει. [§. 17.] Ἐν μακαρίᾳ ἄρα, εἶπον ἐγώ, ἀνάγκῃ δέδεται, ἣ προστάττει αὐτῷ[u] ἢ μετὰ φαύλων[v] τῶν πολλῶν οἰκεῖν, καὶ ὑπὸ τούτων μισούμενον, ἢ μὴ ζῇν. Ἐν[w] τοιαύτῃ, ἦ δ' ὅς. Ἆρ' οὖν οὐχὶ ὅσῳ ἂν μᾶλλον τοῖς πολίταις ἀπεχθάνηται[x] ταῦτα δρῶν,[y] τοσούτῳ πλειόνων καὶ πιστοτέρων[z] δορυφόρων δεήσεται; Πῶς[a] γὰρ οὔ; Τίνες οὖν οἱ πιστοί; καὶ πόθεν αὐτοὺς μεταπέμψεται; Αὐτόματοι, ἔφη, πολλοὶ ἥξουσι πετόμενοι, ἐὰν τὸν μισθὸν διδῷ. Κηφῆνας,[b] ἦν δ' ἐγώ, νὴ[c] τὸν κύνα, δοκεῖς αὖ[d] τινάς μοι λέγειν ξενικούς τε[e] καὶ παντοδαπούς. Ἀληθῆ γάρ, ἔφη, δοκῶ σοι. Τοὺς[f] δὲ αὐτόθεν ἆρ'[g] οὐκ ἂν[h] ἐθελήσειεν; Πῶς;[i] Τοὺς δούλους ἀφελόμενος

III. i. 421.

om d.—[l] καὶ ἐν ΑΘΠDKqvd: καὶ τῶν ἐν *ς.—[k] εἰκός γε om d.—[l] ὑπεξαίρειν r.—[m] δεῖ πάντας Ξ.—[n] φίλον μήτ' ἐχθρὸν Θ.—[o] δῆλος Θr, om d.—[p] τίς ante φρόνιμος et πλούσιος om d.—[q] Καλόν...ἐγὼ om d.—[r] γ' m.—[s] τῶν ἐναντίων Ξm, τὸ ἐναντίον dr.—[t] Ὡς...ἀνάγκῃ] ἀνάγκῃ γὰρ d.—[u] αὐτὸν Θr.—[v] φίλων DK.—[w] Ἐν...ἂν] ὅσω οὖν d.—[x] ἀπεχθάνεται d.—[y] ταῦτα δρῶν om d.—[z] ἀπιστοτέρων Θr.—[a] Πῶς... ἥξουσι] καὶ ἥξουσιν αὐτῷ πολλοὶ d.—[b] Κηφῆνας...Καὶ om d.—[c] μὰ r.—[d] αὖ om q.—[e] τε om Φ.—[f] τίς ΑΘΞΦDKvmr, τί q.—[g] ἄρ' om ΘΞr.—[h] ἂν om DKq.—[i] ἐθε-

καλόν γε—καθαρμὸν] Contulit hæc cum Ciceron. Epist. ad Attic. vi. 1. Victorius Var. Lect. xxi. 22. Ast.

§. 17. ἐν μακαρίᾳ—ἀνάγκῃ δέδεται] δεῖν s. δῆσαι c. ἐκ vel ἐν conjungitur, vid. Lexic. Xenophont. vol. i. p. 636. Heind. ad Cratyl. p. 71. Ceterum haud dubie respexit h. l. Cicero Tuscul. Quæst. v. 20. ubi de Dionysio dicit: 'ita propter injustam dominatus cupiditatem in carcerem quodammodo ipse se incluserat.' Vid. P. Victor. Var. Lectt. xi. 13. Ast.

πετόμενοι] *Volantes*, de celeri adventu, illustravit P. Victor. Var. Lect. xxiii. 17. Ast.

ξενικούς τε καὶ παντοδαποὺς] Sic Cicero l. l. de Dionysio: 'credebat eorum nemini, sed iis, quos ex familiis locupletum servos delegerat, quibus nomen servitutis ipse detraxerat, et quibusdam convenis et feris barbaris corporis custodiam committebat.' Cf. et Aristotel. Polit. v. 11. (c. 9. §. 6. ed. Schneid.) Ast.

τοὺς πολίτας, ἐλευθερώσας, τῶν[k] περὶ ἑαυτὸν δορυφόρων ποιήσασθαι. Σφόδρα γε,[l] ἔφη, ἐπεί τοι καὶ πιστότατοι αὐτῷ οὗτοι εἰσίν. Ἦ μακάριον, ἦν δ' ἐγώ, λέγεις τυράν-
II. 568. νου χρῆμα, εἰ τοιούτοις φίλοις τε καὶ πιστοῖς ἀνδράσι χρῆται τοὺς προτέρους ἐκείνους ἀπολέσας. Ἀλλὰ μήν, ἔφη, τοιούτοις γε χρῆται. Καὶ θαυμάζουσι δή, εἶπον, οὗτοι οἱ ἑταῖροι αὐτὸν[m] καὶ ξύνεισιν οἱ νέοι πολῖται, οἱ δ' ἐπιεικεῖς μισοῦσί τε καὶ φεύγουσιν;[n] Τί[o] δ' οὐ μέλλουσιν; Οὐκ ἐτός, ἦν δ' ἐγώ, ἥ τε τραγῳδία ὅλως σοφὸν δοκεῖ εἶναι καὶ ὁ Εὐριπίδης διαφέρων ἐν αὐτῇ. Τί δή; Ὅτι καὶ τοῦτο πυκνῆς διανοίας ἐχόμενον ἐφθέγξατο, ὡς ἄρα σοφοὶ τύραννοί εἰσι τῇ[p] σοφῶν συνουσίᾳ. καὶ ἔλεγε δῆλον ὅτι τούτους εἶναι τοὺς σοφοὺς οἷς ξύνεστιν. Καὶ ὡς ἰσόθεόν γ', ἔφη, τὴν τυραννίδα ἐγκωμιάζει, καὶ ἕτερα πολλά, καὶ οὗτος καὶ οἱ ἄλλοι ποιηταί. Τοιγάρτοι,[q] ἔφην,[r] ἅτε σοφοὶ ὄντες
III. i. 422. οἱ τῆς τραγῳδίας ποιηταὶ συγγιγνώσκουσιν[s] ἡμῖν τε καὶ ἐκείνοις, ὅσοι ἡμῶν ἐγγὺς πολιτεύονται, ὅτι αὐτοὺς εἰς τὴν πολιτείαν οὐ παραδεξόμεθα ἅτε τυραννίδος ὑμνητάς. Οἶμαι ἔγωγ',[t] ἔφη, ξυγγιγνώσκουσιν[u] ὅσοι πέρ γε αὐτῶν κομψοί. Εἰς δέ γε, οἶμαι, τὰς ἄλλας περιιόντες[v] πόλεις, ξυλλέγοντες τοὺς ὄχλους, καλὰς φωνὰς καὶ μεγάλας καὶ πιθανὰς μισθωσάμενοι, εἰς τυραννίδας τε καὶ δημοκρατίας[w] ἕλκουσι τὰς πολιτείας. Μάλα γε. Οὐκοῦν καὶ προσέτι τούτων μισθοὺς λαμβάνουσι καὶ τιμῶνται,

λήσειέ πως; Ξ.—[k] τε om Ξ.—[l] γ' νm.—[m] αὐτῶν ν.—[n] θαυμάζουσιν οὖν αὐτὸν οἱ ἑταῖροι καὶ νέοι πολῖται, μισοῦσι δ' οἱ ἐπιεικεῖς καὶ φεύγουσιν δ.—[o] Τί...141, 5. ἐξέβημεν om δ.—[p] τῶν ΑΘΞΠΦεmr.—[q] Τοιγάρτοι...ποιηταὶ om r.—[r] ἔφη m.—[s] καὶ συγγιγνώσκουσι Ξν.—[t] ἔγωγ' om m.—[u] ξ. ΑΘΞΠΦεmr.—[v] περιόντες ν.—[w] δημοκρατίαν ν.

σοφοὶ τύραννοι] Versum hunc, qui etiam a Theagis auctore (p. 125. B.) Euripidi adscribitur, alii ex Sophoclis Ajace Locro sumtum esse asserunt, ut Aristides Orat. Platon. ii. p. 288. t. ii. οὐδέ γε Εὐριπίδου φήσομεν, οἶμαι, τὸ ἰαμβεῖον εἶναι τὸ Σοφοῖ—συνουσίᾳ, οὐδ' εἴ τις οὕτω τῶν σοφῶν εἴρηκεν· ἔστι γὰρ ἐξ Αἴαντος Σοφοκλέους, Αἴαντος τοῦ Λοκροῦ. Cf. Aul. Gellii Noct. Attic. xiii. 18. Gataker. Advers. Miscell. i. 1. Sophocl. Fragm. t. ii. p. 198. ed. Musgr. et Eurip. Fragm. t. ii. p. 483. ed. Beck. Vid. Boeckhius de Græc. Tragœd. Principib. p. 247. Ceterum similis est Euripidis versus in Phœn. 527. Εἴπερ γὰρ ἀδικεῖν χρή, τυραννίδος πέρι Κάλλιστον ἀδικεῖν, τἄλλα δ' εὐσεβεῖν χρεών. Ast.

παραδεξόμεθα] Quum præcedat συγγινώσκουσιν, scribendum esse dico ὅτι οὐ παραδεχόμεθα. Steph.

μισθωσάμενοι] Mercede conducentes cantores ac musicos. Protagor. 347. D. ὑπὸ ἀπαιδευσίας τιμίας ποιοῦσι τὰς αὐλητρίδας πολλοῦ μισθούμενοι ἀλλοτρίαν φωνὴν τὴν τῶν αὐλῶν. Ast.

μάλιστα μέν, ὥς περ τὸ εἰκός, ὑπὸ τυράννων, δεύτερον δὲ ὑπὸ δημοκρατίας. ὅσῳ δ' ἂν ἀνωτέρω ἴωσι πρὸς τὸ ἄναντες τῶν πολιτειῶν, μᾶλλον ἀπαγορεύει αὐτῶν ἡ τιμή, ὡς περ[x] ὑπὸ ἄσθματος ἀδυνατοῦσα πορεύεσθαι.[y] Πάνυ μὲν οὖν. Ἀλλὰ δή, εἶπον, ἐνταῦθα μὲν ἐξέβημεν.[z] λέγωμεν[a] δὲ πάλιν ἐκεῖνο τὸ τοῦ τυράννου στρατόπεδον, τὸ καλόν τε καὶ πολὺ καὶ[b] ποικίλον καὶ οὐδέποτε ταὐτόν, πόθεν[c] θρέψεται. Δῆλον, ἔφη, ὅτι ἐάν τε ἱερὰ χρήματα ᾖ ἐν τῇ πόλει, ταῦτα ἀναλώσει, ὅποι[d] ποτὲ ἂν ἀεὶ ἐξαρκῇ[e] τὰ τῶν ἀποδομένων,[f] ἐλάττους εἰσφορὰς ἀναγκάζων τὸν δῆμον εἰσφέρειν. Τί δ' ὅταν δὴ ταῦτα ἐπιλίπῃ;[g] Δῆλον, ἔφη, ὅτι ἐκ τῶν πατρῴων θρέψεται αὐτός τε[h] καὶ οἱ συμπόται[i] τε[k] καὶ ἑταῖροι[l] καὶ ἑταῖραι. Μανθάνω, ἦν[m] δ' ἐγώ, ὅτι ὁ δῆμος ὁ γεννήσας τὸν τύραννον θρέψει αὐτόν τε καὶ ἑταίρους.[n] Πολλὴ αὐτῷ, ἔφη,[o] ἀνάγκη. Πῶς δὲ[p] λέγεις; εἶπον· ἐάν τε[q] ἀγανακτῇ τε καὶ λέγῃ ὁ δῆμος ὅτι οὔτε δίκαιον τρέφεσθαι ὑπὸ πατρὸς υἱὸν ἡβῶντα,[r] ἀλλὰ τοὐναντίον ὑπὸ υἱέος πατέρα, οὔτε[s] τούτου αὐτὸν[t] ἕνεκα ἐγέννησέ τε καὶ κατέστησεν,[u] II. 569.

III. i. 423.

—[x] ἡ ὥσπερ Αν, ἢ ὥσπερ Φm.—[y] πορεύσασθαι r.—[z] λέγωμεν...142, 14. λεγόμενον] θρέψεται δὲ τὸ στρατόπεδον ἀπὸ τῶν ἱερῶν χρημάτων τῶν ἐν τῇ πόλει. ὅταν δὲ ταῦτα ἐπιλείπῃ, ἐκ τῶν πατρῴων θρέψεται. θρέψει δ' αὐτὸν καὶ τοὺς ἑταίρους ὁ γεννήσας δῆμος. ἐὰν δὲ ἀγανακτῇ ὁ δῆμος, τολμήσει ὁ τύραννος τὸν πατέρα βιάζεσθαι καὶ τύπτειν, ἂν μὴ πείθηται, ἀφελόμενός γε τὰ ὅπλα. καὶ τὸ λεγόμενον b.—[a] λέγομεν m.—[b] καὶ post πολὺ om v.—[c] πότε r.—[d] καὶ ὅποι q.—[e] ἐξαρκοῖ qr.—[f] ἀπολυμέλει νων q.—[g] ἐπιλείπῃ ΑΠ, ἐπιλίπῃ Κ.—[h] τε om m.—[i] συμποται A, συμπολῖται ΞΦ.—[k] τε om Θvr.—[l] καὶ οἱ ἑταῖροι Κ.—[m] ἔφην ΘΠΔΚvr.—[n] ἑτέρους ΑΞD.—[o] αὐτῳῖ ἔφη ΑΘ, αὐτῶν ἔφη ΠΔΚr: ἔφη αὐτῷ *s.—[p] δὲ add ΑΘΠΦΔΚqmr.—[q] ἐὰν δὲ v, ἐάν τι q.—[r] ἡμῶν Κq, om r.—[s] ὅστε r.—[t] αὐτοῦ ΘΠΔΚqr.—[u] ἔθρεψεν ΘΞr.—

ὑπὸ ἄσθματος] Tragici, multitudini et imperitis blandientes, rerum politicarum acclivitatem (veræ civitatis ideam) assequi nequeunt, et si eam appetere audent, anhelantes progredi non possunt, honoremque, quo augebantur, amittunt. Ast.

ἐάν τε] τε respondet sequenti δὲ, de qua re jam monuimus. Ast.

ὅπου ποτὲ] *Ubicunque, si*; ὅποι i. q. ὅπου, ut usurpari solet. Ast. qui sic in Corrigend. 'Malim vero, id quod reposuimus, ὅπη ποτέ: *quomodocunque*, h. e. *prout s. si qua ratione.*'

τὰ τῶν ἀποδομένων] Scribendum puto, τὰ τῶν ἀποδιδομένων, vel τὰ ἐκ τῶν ἀποδιδομένων, ut significentur ea quæ ex venditionibus proveniunt. Quinetiam ὅπη ποτὲ paulo ante videtur debere scribi. Stephi.

τὰ τῶν ἀποδομένων] ἀποδίδοσθαι passive pro πωλεῖσθαι, *vendi*, rarius est. (vid. Boissonad. ad Philostrat. p. 288. s.) Similiter Thucyd. vi. 62. ἀποδιδόναι significatione medii posuit. In sequentibus ἐς φορᾶς vel εἰσφορᾶς, quod libri editi exhibent, vitiosum est. Ast.

κατέστησεν] Legitur etiam κατέστησε καὶ ἔθρεψεν, ἵνα ἐπειδὴ, etc. Item αὐ-

ἵνα ἐπειδὴ μέγας γένοιτο, τότε αὐτὸς[v] δουλεύων[w] τοῖς αὑτοῦ δούλοις τρέφοι[x] ἐκεῖνόν τε καὶ τοὺς δούλους μετὰ ξυγκλύδων[y] ἄλλων, ἀλλ' ἵνα ἀπὸ[z] τῶν πλουσίων τε καὶ καλῶν κἀγαθῶν λεγομένων ἐν τῇ πόλει ἐλευθερωθείη[a] ἐκείνου προστάντος· καὶ νῦν κελεύει ἀπιέναι ἐκ τῆς πόλεως αὐτόν τε καὶ τοὺς ἑταίρους,[b] ὥς περ πατὴρ υἱὸν ἐξ οἰκίας[c] μετὰ ὀχληρῶν ξυμποτῶν[d] ἐξελαύνων. Γνώσεταί γε[e] νὴ Δία,[f] ἢ δ' ὅς, τότ' ἤδη ὁ δῆμος οἷος οἷον θρέμμα γεννῶν ἠσπάζετό τε καὶ ἤῦξε,[g] καὶ ὅτι ἀσθενέστερος ὢν ἰσχυροτέρους ἐξελαύνει. Πῶς, ἦν δ' ἐγώ, λέγεις; τολμήσει[h] τὸν πατέρα βιάζεσθαι, κἂν μὴ πείθηται, τύπτειν, ὁ τύραννος; Ναί, ἔφη, ἀφελόμενός γε τὰ ὅπλα. Πατραλοίαν, ἦν δ' ἐγώ, λέγεις τύραννον καὶ χαλεπὸν γηροτρόφον, καὶ ὡς ἔοικε,

III. i. 424. τοῦτο δὴ ὁμολογουμένη[i] ἂν ἤδη τυραννὶς[k] εἴη, καὶ τὰ λεγόμενον, ὁ δῆμος φεύγων ἄν[l] καπνὸν δουλείας ἐλευθέρων[m] εἰς πῦρ δούλων[n] δεσποτείας ἂν[o] ἐμπεπτωκὼς εἴη, ἀντὶ τῆς πολλῆς ἐκείνης καὶ ἀναιρου[p] ἐλευθερίας τὴν χαλεπωτάτην τε[q] καὶ πικροτάτην δούλων[r] δουλείαν μεταμπισχόμενος. Καὶ μάλα, ἔφη, ταῦτα οὕτω γίγνεται. Τί οὖν, εἶπον, οὐκ ἐμμελῶς ἡμῖν εἰρήσεται, ἐὰν φῶμεν ἱκανῶς διεληλυθέναι ὡς

[v] αὐτοὺς ΘΠDKΣ et corr Ξ, αὐτὸν v.—[w] δουλεύειν ἀναγκάζων corr Ξ, δουλεύειν ἀναγκάζοι τ.—[x] τρέφει m, τρέφην v, καὶ τρέφειν τ et corr Ξ.—[y] ξυγκλείδων Φm.—[z] ἀπὸ q: ὑπὸ *s.—[a] ἐλευθερωθῇ Θτ.—[b] ἑτέρους Ξ.—[c] οἰκείας m.—[d] ξ. Κ.—[e] γὰρ Κ.—[f] δῆ m.—[g] ἤξεν v.—[h] τολμήσας Κ.—[i] τοῦτο ὁμολογημένη v.—[k] τυραννὶς ἤδη ὃ ἂν Φ.—[l] ἂν om Θ.—[m] ἐλευθέραν Θ, ἐλευθέραν Π, ἐλεύθερον DK.—[n] δούλων ΑΞΦqυ δm: δοῦλον s.—[o] ἂν δεσποτείας q.—[p] ἐκείνης καὶ ἀκαίρου om b.—[q] τε om b.—

τοὺς δουλεύειν ἀναγκάζων, pro his, αὐτὸς δουλεύων· quæ tamen lectio retinenda videtur, propter verbum sequens τρέφοι, cui non conveniret ille alter nominativus ἀναγκάζων. Steph.

κατέστησεν] Bas. 2. addit καὶ ἔθρεψεν. Ficinus simpliciter vertit: *neque se ad hoc eum creasse.* Post δουλεύων Bas. 2. adjicit ἀναγκάζων et pro αὐτὸς exhibet αὐτοὺς cum cod. Regio. Ast.

ξυγκλύδων] Valcken. ad Ammon. i. 7. p. 32. corrigebat ξυνηλύδων, sed vid. Fischer. ad Æschin. p. 123. et ad Weller. Gramm. Græc. t. ii. p. 52. Ast. qui sic in Corrigend. 'Adde Bast. ad Gregor. Corinth. p. 918.'

πῶς—λέγεις] Ald. Bas. 1. et 2. λέγοις. Ast.

ἐς πῦρ δοῦλον] Ni fallor, δούλων scribendum est, ut voci ἐλευθέρων respondeat, sicut δεσποτείας voci δουλείας. Nec aliter videtur Ficinus legisse vertens: *utque fertur, populus servitutis liberorum fugiens fumum, in flammam servorum dominationis incidit.* Libanius Epist. 554. p. 269. τί ἂν τις αἰτιῷτο φεύγοντα πῦρ; πυρὸς γὰρ οὐδὲν ἡ τῶν ἐνταῦθα διαφέρει φιλονεικία. Opponitur speciosa servitus (καπνὸς δουλείας) veræ tyrannidi (hoc est πῦρ δεσποτείας). Ast.

μεταβαίνει[s] τυραννὶς ἐκ δημοκρατίας γενομένη τε[t] οἵα ἐστίν; Πάνυ μὲν οὖν ἱκανῶς, ἔφη.

[r] δούλων om Κν.—[s] μεταβαίνειν Φm.—[t] τε καὶ ΘΠDΚr.

γενομένη τε καὶ οἵα] Ita cum Cod. Regio scripsimus; vulgo καὶ desideratur. Asτ. qui sic in Corrigend. 'Καὶ, quod cod. Reg. habet, rectius abest. Sic ix. 1. init. πῶς τε μεθίσταται—γενόμενός τε ποῖός τίς ἐστι.'

ΠΟΛΙΤΕΙΑ,

Θ.

Steph. II. 571. Bek. III. i. 425.

§. 1. Αὐτὸς δὴ λοιπός,[a] ἦν δ' ἐγώ, ὁ τυραννικὸς ἀνήρ, σκέψασθαι[b] πῶς τε μεθίσταται ἐκ δημοκρατικοῦ, γενόμενός[c] τε ποῖός τίς ἐστι καὶ τίνα τρόπον ζῇ, ἄθλιον ἢ μακάριον. Λοιπὸς[d] γὰρ οὖν ἔτι οὗτος, ἔφη. Οἶσθ' οὖν, ἦν δ' ἐγώ, ᾗ ποθῶ ἔτι; Τὸ ποῖον; Τὸ τῶν ἐπιθυμιῶν, οἵαί τε καὶ ὅσαι εἰσίν, οὗ μοι δοκοῦμεν[e] ἱκανῶς διῃρῆσθαι. τούτου δὲ[f] ἐνδεῶς ἔχοντος ἀσαφεστέρα ἔσται ἡ ζήτησις οὗ ζητοῦμεν. Οὐκοῦν, ἦ δ' ὅς, ἔτι[a] ἐν καλῷ;[b] Πάνυ μὲν οὖν· καὶ σκόπει γ'[c] ᾗ ἐν αὐταῖς[d] βούλομαι ἰδεῖν. ἔστι δὲ τόδε. τῶν μὴ ἀναγκαίων ἡδονῶν τε καὶ ἐπιθυμιῶν δοκοῦσί τινές μοι εἶναι παράνομοι, αἳ κινδυνεύουσι μὲν ἐγγίγνεσθαι παντί, κολαζόμεναι δὲ ὑπό[e] τε[f] τῶν νόμων καὶ τῶν βελτιόνων ἐπιθυμιῶν

[a] λοιπὸν υτ.—[b] σκέψασθε τ.—[c] γένος Θτ.—[d] λοιπὸν τ.—[e] δοκῶ Κ.—[f] δὴ ΑΘΞΠ Φυm.—[a] ἔτ' υm.—[b] ἐγκαλῶ DΚτ.—[c] γ' om τ.—[d] αὐτῇ Κ.—[e] ὑπό om pr Θ.—[f] τε

§. 1. *τὸ τῶν ἐπιθυμιῶν*] Admodum frequens est hæc periphrasis pro *τὰς ἐπιθυμίας*, vid. Duker. ad Thucyd. iv. 54. viii. 177. Markland. ad Lys. t. v. p. 445. ed. Reisk. Wernsdorf. ad Himer. p. 191. Fischer. ad Weller. t. i. p. 335. et Schäfer. Melet. Crit. p. 31. Ast.

διῃρῆσθαι] Rectius, ni fallor, scribitur *διειρῆσθαι*, quam *διῃρῆσθαι*. Vid. nostra ad Legg. vii. 14. Ast.

ἡ ζήτησις οὗ ζητοῦμεν] I. e. *ἡ ζήτησις τούτου, ὃ ζητοῦμεν*. Ast.

ἐν καλῷ] Est Latinorum *in loco*, i. e. commodum s. opportunum. Vid. Lamb. Bos. Ellips. p. 484. ubi cf. Schäfer. Sic *ἐς καλὸν ἥκειν*, *commode venire*, v. Boissonad. ad Philostrat. p. 614. Vitiose Bas. 2. *ἐγκαλῶ*. Ast.

τῶν μὴ ἀναγκαίων ἡδονῶν] Laudat Stob. Serm. v. p. 75. usque ad *ἔνδηλον*, ubi *μὲν* pro *μὴ—ἐμοὶ—ἐγγίγνεσθαι μὲν—λέγεις δὴ—λογικὸν* (Bas. 2.) *σίτου—ζητεῖ* (ut Ald. Bas. 1. et 2.) scribitur. Ast.

μετὰ λόγου ἐνίων μὲν ἀνθρώπων ἢ παντάπασιν ἀπαλλάττεσ- III. i. 426.
θαι ἢ ὀλίγαι[g] λείπεσθαι καὶ ἀσθενεῖς, τῶν δὲ ἰσχυρότεραι
καὶ πλείους. Λέγεις δὲ[h] καὶ[i] τίνας, ἔφη, ταύτας; Τὰς
περὶ τὸν ὕπνον, ἦν δ' ἐγώ, ἐγειρομένας,[k] ὅταν τὸ μὲν ἄλλο
τῆς ψυχῆς εὕδῃ, ὅσον λογιστικὸν[l] καὶ ἥμερον καὶ ἄρχον
ἐκείνου, τὸ δὲ θηριῶδές τε καὶ ἄγριον, ἢ σίτων[m] ἢ μέθης
πλησθέν, σκιρτᾷ τε καὶ ἀπωσάμενον τὸν ὕπνον ζητῇ[n] ἰέναι
καὶ ἀποπιμπλάναι τὰ αὐτοῦ ἤθη. οἶσθ' ὅτι[o] πάντα ἐν τῷ
τοιούτῳ[p] τολμᾷ ποιεῖν, ὡς ἀπὸ πάσης[q] λελυμένον τε καὶ
ἀπηλλαγμένον αἰσχύνης καὶ φρονήσεως. μητρί τε γὰρ
ἐπιχειρεῖν[r] μίγνυσθαι, ὡς οἴεται, οὐδὲν[s] ὀκνεῖ ἄλλῳ τε ὁτῳ-
οῦν ἀνθρώπων καὶ θεῶν καὶ θηρίων, μιαιφονεῖν τε ὁτιοῦν,
βρώματός τε ἀπέχεσθαι μηδενός· καὶ ἑνὶ λόγῳ οὔτε[t]
ἀνοίας οὐδὲν ἐλλείπει οὔτε ἀναισχυντίας. Ἀληθέστατα,
ἔφη, λέγεις. Ὅταν δέ γε,[u] οἶμαι, ὑγιεινῶς τις ἔχῃ αὐτὸς
αὑτοῦ καὶ σωφρόνως, καὶ εἰς τὸν ὕπνον ἴῃ τὸ λογιστικὸν[v]
μὲν ἐγείρας[w] ἑαυτοῦ καὶ ἑστιάσας λόγων καλῶν[x] καὶ
σκέψεων, εἰς σύννοιαν αὐτὸς αὑτῷ ἀφικόμενος, τὸ ἐπιθυ-
μητικὸν δὲ μήτε[y] ἐνδείᾳ δούς[z] μήτε[a] πλησμονῇ, ὅπως ἂν
κοιμηθῇ καὶ μὴ παρέχῃ θόρυβον τῷ βελτίστῳ χαῖρον ἢ III. i. 427.
λυπούμενον, ἀλλ' ἐᾷ[b] αὐτὸ καθ' αὑτὸ μόνον καθαρὸν σκο- II. 572.

om Θ.—[g] ὀλίγω m.—[h] λέγεις δὲ om v.—[i] καὶ add AΞΦm.—[k] ἐγγινομένας r.—[l] λογικὸν ΘΞ, λογιστικόν τε r.—[m] σιτῶν Φ.—[n] ζητεῖ K.—[o] οἶσθα δὴ ὅτι τε Θ.—[p] ἐν τῷ τοιούτῳ πάντα r.—[q] ὡς ἀπάσης ΞΦm.—[r] ἐπιχειρεῖ DKvm.—[s] οἴεται καὶ οὐδὲν v.—[t] οὔτ' vmr.—[u] γ' r.—[v] λογικὸν ΘΞ.—[w] ἀγείρας Φm.—[x] κακῶν Ξ.—[y] μήτ' r.—[z] ἐνδοὺς r.—[a] μὴ om Φ.—[b] ἐᾷ AΦqvm, ἐᾶν ΠD, ἐᾶν Kr: ἐῶν *s.—

λογιστικὸν] Legitur etiam λογικὸν, itidemque paulo post. Sed et supra, p. 550. eadem scripturæ diversitas fuit annotata. Paulo post pro ἀπὸ πάσης legitur ἀπάσης, in eodem libro vet. Steph.

ἀπὸ πάσης] Bas. 2. ἀπάσης, quod eodem redit. Verba enim solvendi ac liberandi tum cum simplice genitivo quam cum præpositionibus ἐκ et ἀπὸ construuntur (sic Phædon. 65. A. ἀπολύων—ἀπὸ); vid. Matthiæ Gr. Gr. p. 453. Ast.

ἐπιχειρεῖν] Sic Cod. Reg. Ald. Bas. 1. et 2. Stobæus vero ἐπιθυμεῖ ac si οὐδὲν ὀκνεῖ absint, quæ Ficinus quoque non expressit vertens, *ut aut cum matre corpus miscere videatur, aut cum quovis alio, vel homine vel deo, sæpe bellua.* De re ipsa cf. Soph. Œd. T. 981. Ast.

αὐτὸς αὑτοῦ] I. q. περὶ αὑτοῦ, ut viii. p. 545. A. πῶς ποτὲ ἡ—δικαιοσύνη—ἔχει εὐδαιμονίας τε πέρι. Verbo ἔχειν cum particulis conditionem indicantibus conjuncto sæpius simplex genitivus apponitur. Vid. Matthiæ Gr. Gr. p. 432. Ast.

τὸ λογιστικὸν] Bas. 2. τὸ λογικόν. Ast.

ἑστιάσας] Vid. nostra ad Phædr. p. 221. Mox pro αὐτῷ Cod. Reg. et Stob. αὐτοῦ exhibent. Ceterum expressit h. l. Cicero de divinat. i. 29. respexit Plutarch. de virtut. et vitio p. 101. A. et vertit Chalcid. in Tim. p. 370. t. ii. (Hippolyt. ed. Fabric.) Ast.

πεῖν καὶ ὀρέγεσθαι[c] τοῦ αἰσθάνεσθαι[d] ὃ μὴ οἶδεν, ἢ τι[e] τῶν γεγονότων ἢ ὄντων ἢ καὶ[f] μελλόντων, ὡσαύτως δὲ καὶ τὸ θυμοειδὲς πραΰνας καὶ μὴ τισιν εἰς ὀργὰς ἐλθὼν[g] κεκινημένῳ τῷ θυμῷ καθεύδῃ, ἀλλ' ἡσυχάσας μὲν τὼ δύο[h] εἴδη, τὸ τρίτον δὲ κινήσας ἐν ᾧ τὸ φρονεῖν ἐγγίγνεται, οὕτως ἀναπαύηται, οἶσθ' ὅτι τῆς τ'[i] ἀληθείας ἐν τῷ τοιούτῳ μάλιστα ἅπτεται καὶ ἥκιστα παράνομοι[k] τότε αἱ ὄψεις[l] φαντάζονται τῶν ἐνυπνίων; Παντελῶς μὲν οὖν, ἔφη, οἶμαι[m] οὕτως. Ταῦτα μὲν τοίνυν ἐπὶ πλέον ἐξήχθημεν εἰπεῖν· ὃ δὲ βουλόμεθα γνῶναι, τόδ' ἐστίν, ὡς ἄρα δεινόν τι καὶ ἄγριον[n] καὶ ἄνομον[o] ἐπιθυμιῶν εἶδος ἑκάστῳ ἔνεστι, καὶ πάνυ δοκοῦσιν ἡμῶν ἐνίοις μετρίοις[p] εἶναι. τοῦτο δὲ ἄρα ἐν τοῖς ὕπνοις γίγνεται ἔνδηλον.[q] εἰ οὖν τι δοκῶ λέγειν καὶ ξυγχωρεῖς,[r] ἄθρει. Ἀλλὰ ξυγχωρῶ. [§. 2.] Τὸν τοίνυν δημοτικὸν ἀναμνήσθητι οἷον ἔφαμεν εἶναι. ἦν δέ που γεγονὼς ἐκ νέου ὑπὸ φειδωλῷ πατρὶ τεθραμμένος,[s] τὰς χρηματιστικὰς[t] ἐπιθυμίας τιμῶντι μόνας, τὰς δὲ μὴ[u] ἀναγκαίους[v] ἀλλὰ παιδιᾶς τε καὶ καλλωπισμοῦ ἕνεκα γιγνομένας
III. i. 428. ἀτιμάζοντι.[w] ἦ γάρ; Ναί. Συγγενόμενος[x] δὲ κομψοτέροις ἀνδράσι καὶ μεστοῖς ὧν ἄρτι διήλθομεν ἐπιθυμιῶν, ὁρμήσας εἰς ὕβριν τε πᾶσαν καὶ τὸ ἐκείνων εἶδος μίσει τῆς

[c] ὀρέγεσθαί του ΞΦm et rc A : pr enim om του.—[d] καὶ αἰσθάνεσθαι ΑΞΦm.—[e] ἤτοι m.—[f] καὶ ante μελλόντων om ΞΦm.—[g] ἐλθὸν Am.—[h] δύ' v.—[i] τ' om Θr.—[k] παρανομεῖ DKqr.—[l] τότε ὅτε αἱ ὄψεις K, αἵτε ὄψεις τότε q.—[m] οἶμαι om Θr.—[n] καὶ ον ἄγριον post καὶ ἄνομον ponit r.—[o] ἄγνωμον Ξ, ἀνόμοιον m.—[p] μετρίως Φ.—[q] : εὔδηλον : K.—[r] ξ. DK.—[s] τεθραμμένας Π.—[t] χρηματιστικὰς ΑΞΦrm : χρηματικὰς *s.—[u] δὲ δὴ μὴ m.—[v] ἀναγκαίας K.—[w] ἀτιμάζοντες K.—[x] συγγενόμενοι Φ.—

ἐς ὀργὰς] Stob. ὀργήν. Mox τὰ δύο εἴδη et τῆς ἀληθείας. Ast.

§. 2. ἦν—γεγονὼς] Ut c. 8. γεγονὼς ἔσται. Herodot. vi. 65. ἦν ἐχθρὸς—μάλιστα γεγονώς. Solet enim verbum εἰμὶ participio alius verbi ita jungi, ut modi finiti illius verbi circumlocutioni inserviat, ut h. l. ἦν γεγονὼς pro γέγονε positum est. Qui exempla quærit, larga ea manu suppeditata reperiet in Fischeri Anim. in Weller. t. iii. p. ii. p. 4. Cetetum respicitur locus ille lib. viii. c. 10. τοῦ φειδωλοῦ ἐκείνου καὶ ὀλιγαρχικοῦ γένοιτ' ἄν, οἶμαι, υἱὸς, ὑπὸ τῷ πατρὶ τεθραμμένος ἐν τοῖς ἐκείνου ἤθεσιν. Ni fallor autem, post γεγονὼς inserendum est καὶ vel τε καὶ, ut ad γεγονὼς ex sequentibus intelligatur φειδωλοῦ πατρός· natus erat patre parco et inde a teneris ab eo educatus. Ast.

τεθραμμένος] Scribendum puto τεθραμμένου. Pro χρηματικὰς autem legitur et χρηματιστικάς. quam lectionem malo, quum etiam quodam p. 558. loco (qui huc pertinet) confirmetur. Steph.

χρηματιστικὰς] E. Bas. 2. reposuimus pro χρηματικάς. Sic viii. 10. qui locus hic respicitur, χρηματιστικαὶ ἡδοναὶ memorantur.—Mox Cod. Reg. Bas. 1. et 2. ἀναγκαίας. Ast.

τοῦ πατρὸς φειδωλίας, φύσιν[y] δὲ τῶν διαφθειρόντων βελτίω ἔχων, ἀγόμενος ἀμφοτέρωσε κατέστη εἰς μέσον ἀμφοῖν τοῖν τρόποιν, καὶ μετρίως[z] δή, ὡς ᾤετο, ἑκάστων[a] ἀπολαύων[b] οὔτε ἀνελεύθερον οὔτε παράνομον βίον ζῇ, δημοτικὸς[c] ἐξ ὀλιγαρχικοῦ[d] γεγονώς. Ἦν γάρ, ἔφη, καὶ ἔστιν αὕτη ἡ δόξα περὶ τὸν τοιοῦτον. Θὲς τοίνυν, ἦν δ' ἐγώ, πάλιν τοῦ τοιούτου ἤδη πρεσβυτέρου γεγονότος νέον υἱὸν ἐν τοῖς τούτου[e] αὖ ἤθεσι τεθραμμένον. Τίθημι. Τίθει τοίνυν καὶ τὰ αὐτὰ ἐκεῖνα περὶ αὐτὸν γιγνόμενα ἅ περ[f] καὶ[g] περὶ τὸν πατέρα αὐτοῦ, ἀγόμενόν τε εἰς πᾶσαν παρανομίαν, ὀνομαζομένην δ' ὑπὸ τῶν ἀγόντων ἐλευθερίαν ἅπασαν· βοηθοῦντά τε ταῖς ἐν μέσῳ ταύταις ἐπιθυμίαις πατέρα τε καὶ τοὺς ἄλλους οἰκείους, τοὺς δ' αὖ παραβοηθοῦντας· ὅταν δ'[h] ἐλπίσωσιν οἱ δεινοὶ μάγοι τε καὶ τυραννοποιοὶ[i] οὗτοι μὴ ἄλλως τὸν νέον καθέξειν, ἔρωτά τινα αὐτῷ μηχανωμένους ἐμποιῆσαι προστάτην τῶν ἀργῶν καὶ τὰ ἕτοιμα διανεμομένων ἐπιθυμιῶν, ὑπόπτερον καὶ μέγαν[k] κηφῆνα τινά. ἢ τί ἄλλο οἴει εἶναι[l] τὸν τῶν τοιούτων[m] ἔρωτα; Οὐδέν ἔγωγε, ἦ δ' ὅς, ἀλλ' ἢ τοῦτο. Οὐκοῦν ὅταν δὴ[n] περὶ αὐτὸν βομβοῦσαι καὶ[o] αἱ[p] ἄλλαι ἐπιθυμίαι, θυμιαμάτων[q] τε[r] γέμουσαι καὶ μύρων καὶ στεφάνων καὶ οἴνων καὶ τῶν ἐν ταῖς τοιαύταις συνουσίαις[s] ἡδονῶν ἀνειμένων, ἐπὶ τὸ ἔσχατον αὔξουσαί τε καὶ τρέφουσαι πόθου κέντρον ἐμποιήσωσι τῷ

II. 573. III. i. 429.

[y] φύσει Π et pr ΘD.—[z] μετρίων r.—[a] ἕκαστον ΑΦm.—[b] ἀπολάβων Θ.—[c] δημοκρατικὸς Κ.—[d] ὀλιγάρχου ν.—[e] τοιούτοις Ξ.—[f] ὥσπερ r.—[g] καὶ om ΘΞr, καὶ τὰ ν.—[h] δ' om ΞΦrmr.—[i] τύραννοι Θ, τύραννοι ὁποῖοι r.—[k] μέγα m.—[l] ἢ εἴ τι ἄλλο εἶναι Θ, καὶ εἴ τι ἄλλο εἶναι r.—[m] τοιοῦτον Kq.—[n] δὴ om ΑΦm.—[o] καὶ om ΑΦm.—[p] αἱ om ΘΠDKq.—[q] θυμιάτων D.—[r] τε om ΞΦKrm.—[s] συνουσίας Π, συννοίαις r.—

τὸν τῶν τοιούτων] Cod. Reg. τὸν τοιοῦτον. Ficinus: *numquid aliud amorem talium esse putas?* Ast.

πόθον, κέντρον] Vulgo πόθου κέντρον, contra sensum, quem Ficinus perspicue expressit vertendo: *coaugent prorsus alunique desiderium illud, atque ita fuco aculeum addunt.* Scilicet participia αὔξουσαι et τρέφουσαι accusativum postulant, qui etsi repeti possit ex antecedente τὴν ἔρωτα, tamen sensus obscuratur quodammodo eo omisso; accedit, quod πόθου κέντρον non recte cum sequentibus conjungitur; namque πόθος s. ἔρως jam inest in fuco, aliis vero cupiditatibus adstipulantibus atque inflammantibus dicitur κέντρον, aculeum, accipere. Postremo πόθων κέντρον (Phædr. c. 35. p. 253. E.) huc non pertinet, sed κέντρον τοῦ κηφῆνος; fuci enim partim ἀκεντροι sunt, partim δεινὰ κέντρα ἔχοντες, cf. viii. 6. ubi v. not.—οἰστρῷ, οἶστρος, κέντρον, δῆγμα, de flagrantissima prorsusque furiosa cupiditate solemnia sunt vocabula, v. nostra ad Phædr. p. 265. Ammon. p. 92. οἶστρος δὲ μανιώδης ἐπιθυμία. Ast.

κηφῆνι, τότε δὴ δορυφορεῖταί τε ὑπὸ μανίας καὶ οἰστρᾷ[t] οὗτος ὁ προστάτης τῆς ψυχῆς, καὶ ἐάν τινας ἐν αὐτῷ δόξας ἢ ἐπιθυμίας λάβῃ οἰκείους[u] ἀποκτείνει τε καὶ ἔξω ὠθεῖ παρ' αὑτοῦ, ἕως ἂν καθήρῃ σωφροσύνης, μανίας[v] δὲ πληρώσῃ[w] ἐπακτοῦ. Παντελῶς, ἔφη, τυραννικοῦ ἀνδρὸς λέγεις γένεσιν. Ἆρ' οὖν, ἦν δ' ἐγώ, καὶ τὸ πάλαι διὰ τὸ τοιοῦτον[x] τύραννος ὁ Ἔρως λέγεται; Κινδυνεύει, ἔφη. Οὐκοῦν, ὦ φίλε, εἶπον, καὶ μεθυσθεὶς ἀνὴρ τυραννικόν τι φρόνημα ἴσχει; Ἴσχει γάρ. Καὶ μὴν ὅ γε μαινόμενος καὶ ὑποκεκινηκὼς[y] οὐ μόνον[z] ἀνθρώπων ἀλλὰ καὶ θεῶν ἐπιχειρεῖ τε καὶ ἐλπίζει δυνατὸς εἶναι ἄρχειν. Καὶ μάλ', ἔφη. Τυραννικὸς δέ, ἦν δ' ἐγώ, ὦ δαιμόνιε ἀνήρ, ἀκριβῶς[a] γίγνεται, ὅταν ἢ φύσει ἢ ἐπιτηδεύμασιν ἢ ἀμφοτέροις[b] μεθυστικός τε καὶ ἐρωτικὸς καὶ μελαγχολικὸς γένηται. Παντελῶς μὲν οὖν.

III. i. 430. §. 3. Γίγνεται μέν, ὡς ἔοικεν, οὕτω καὶ[c] τοιοῦτος ἀνήρ· ζῇ δὲ δὴ[d] πῶς; Τὸ τῶν παιζόντων, ἔφη, τοῦτο σὺ καὶ[e] ἐμοὶ ἐρεῖς. Λέγω δή, ἔφην. οἶμαι γάρ, τὸ μετὰ τοῦτο ἑορταὶ γίγνονται παρ' αὐτοῖς καὶ κῶμοι καὶ θάλειαι[f] καὶ ἑταῖραι καὶ τὰ τοιαῦτα πάντα, ὧν ἂν Ἔρως τύραννος ἔνδον οἰκῶν διακυβερνᾷ[g] τὰ τῆς ψυχῆς ἅπαντα. Ἀνάγκη, ἔφη.[h] Ἆρ' οὖν οὐ πολλαὶ καὶ δειναὶ παραβλαστάνουσιν ἐπιθυμίαι ἡμέρας τε καὶ νυκτὸς ἑκάστης, πολλῶν δεόμεναι; Πολλαὶ μέντοι. Ταχὺ ἄρα ἀναλίσκονται ἐάν τινες ὦσι πρόσοδοι.

[t] οἴστρου v.—[u] ἐπαισχυνόμενος Φ.—[v] σωφρ. καὶ μανίας ΑΦm.—[w] πληρώσας Κ.—[x] τοιοῦτο Θγ.—[y] νενικηκὼς Θγ.—[z] μόνων v.—[a] ἀκριβῶς om Φ.—[b] ἀμφοτέρων Θ.—[c] καὶ ΑΠΦDKqvdm, καὶ Θ: δ *s.—[d] δὴ om Θγ.—[e] καὶ om ΘΞ.—[f] θάλειαι ΑΦm, θαλεῖαι Ξ, θάλιαι υ: θαλίαι s.—[g] διακυβερναῖ ΑΞΦvdm et pr Θ, διακυβερνῶ Π et rc

ποιουμένας] Vid. ad vii. 16. Olim conjeceram λιπομένας, *relictas*, sed haud necesse est ποιουμένας corrigere. Ast.

ἐπιχειρεῖ] Ald. Bas. 1. et 2. ἐπιχειρεῖν. De sententia, vid. Bacchylid. xi. 9. in Anthol. Gr. t. i. p. 84. ed. Jacobs. Ast.

§. 3. διακυβερνᾷ] Sic e Bas. 2. reposuimus pro διακυβερνᾴ; sensus enim postulat conjunctivum, non optativum, quum ἂν ad ὧν pertineat. Sic Ficinus quoque vertit: *hi, quorum tyrannus Amor, intus animi incolens penetralia, regit omnia*. Ast.

τὰ τῆς ψυχῆς ἅπαντα] *Omnia, quæ in animo insunt*, s. universum animum. Sic Theæt. p. 154. D. πάντα τὰ τῶν φρενῶν, ubi vid. Heind. Ast.

Πῶς δ' οὔ; Καὶ μετὰ τοῦτο δὴ δανεισμοὶ καὶ τῆς οὐσίας παραιρέσεις.[i] Τί μήν; Ὅταν δὲ δὴ πάντ' ἐπιλίπῃ,[k] ἆρα[l] οὐκ ἀνάγκη τὰς μὲν[m] ἐπιθυμίας βοᾶν πυκνάς τε καὶ σφοδρὰς ἐννενεοττευμένας,[n] τοὺς[o] δ' ὥς περ ὑπὸ κέντρων ἐλαυνομένους τῶν τε ἄλλων ἐπιθυμιῶν καὶ διαφερόντως ὑπ' αὐτοῦ τοῦ Ἔρωτος, πάσαις ταῖς ἄλλαις ὡς περ δορυφόροις ἡγουμένου, οἰστρᾶν καὶ σκοπεῖν τίς τι ἔχει,[p] ὃν δυνατὸν ἀφελέσθαι ἀπατήσαντα[q] ἢ βιασάμενον; Σφόδρα γ', ἔφη. Ἀναγκαῖον δὴ πανταχόθεν φέρειν, ἢ μεγάλαις ὠδῖσί τε καὶ ὀδύναις ξυνέχεσθαι; Ἀναγκαῖον. Ἆρ' οὖν, ὡς περ αἱ[r] ἐν αὐτῷ ἡδοναὶ ἐπιγιγνόμεναι τῶν ἀρχαίων πλέον[s] εἶχον[t] καὶ τὰ ἐκείνων ἀφῃροῦντο, οὕτω καὶ αὐτὸς ἀξιώσει νεώτερος ὢν πατρός τε καὶ μητρὸς πλέον ἔχειν, καὶ ἀφαιρεῖσθαι, ἐὰν τὸ αὐτοῦ μέρος ἀναλώσῃ, ἀπονειμάμενος τῶν πατρῴων;[u] Ἀλλὰ τί μήν; ἔφη. Ἐὰν[v] δὲ δὴ αὐτῷ μὴ ἐπιτρέπωσιν, ἆρα[w] οὐ τὸ μὲν πρῶτον ἐπιχειροῖ ἂν κλέπτειν[x] καὶ ἀπατᾶν τοὺς γονέας; Πάντως. Ὁπότε δὲ μὴ δύναιτο, ἁρπάζοι ἂν καὶ βιάζοιτο μετὰ τοῦτο; Οἶμαι, ἔφη. Ἀντεχομένων δὴ[y] καὶ μαχομένων, ὦ θαυμάσιε, γέροντός τε καὶ γραός, ἆρ' εὐλαβηθείη[z] ἂν καὶ φείσαιτο μή τι δρᾶσαι[a] τῶν τυραννικῶν;[b] Οὐ πάνυ,[c] ἦ δ' ὅς, ἔγωγε θαῤῥῶ περὶ τῶν γονέων τοῦ[d] τοιούτου. Ἀλλ', ὦ Ἀδείμαντε, πρὸς Διός, ἕνεκα νεωστὶ φίλης καὶ οὐκ ἀναγκαίας ἑταίρας γεγονυίας τὴν πάλαι φίλην καὶ ἀναγκαίαν μητέρα, ἢ ἕνεκα ὡραίου νεωστὶ φίλου γεγονότος, οὐκ ἀναγκαίου, τὸν ἄωρόν τε καὶ ἀναγκαῖον πρεσβύτην πατέρα καὶ τῶν

II. 574.

III. i. 431.

Θ: διακυβερνῴη σ.—[h] γε ἔφη Ξ.—[i] παραινέσεις Πτ et pr Θ.—[k] ἐπιλείπηι υ et (fortasse corr) A.—[l] ἆρ' τdm.—[m] τὰς μὲν q: μὲν τὰς *σ.—[n] ἐννενοττευμένας ΘΠ Dτ, ἐννεοττευμένας ΞΚν, ἐννενεοτευμένας m.—[o] τὸν...ἐλαυνόμενον q.—[p] ἔχοι Φ.—[q] ἀπαντήσαντα Φm et pr Ξτ.—[r] ὡς Κ.—[s] πλέον ΑΞΦm: πλεῖον *σ.—[t] ἔχειν Θ.—[u] τὸ πατρῷον Φ, τὸν πατρῷον m.—[v] ἂν ΑΦm.—[w] ἆρ' υmτ.—[x] ἐπιχειρεῖ κλέπτειν τ. θείη —[y] δὲ Κq.—[z] εὐλαβητέον Ξ.—[a] δράσαιτο Κτ.—[b] τῶν τυραννικῶν ΑΦνm, τὸ τυραννικόν ΘΠq: τυραννικόν *σ.—[c] πάνυ γε ἦ Κ.—[d] τῶν Ξ.—[e] δοκοῖ Θτ.—[f] εἰ om

ἐννενεοττευμένας] Ita legendum, non ἐννενοτευμένας, ut in Ald. pro quo ἐννενοθευμένας in Germ. quod ab illa genuina lectione magis etiam est remotum. Steph.

ἐννενεοττευμένας] Cf. Longin. xliv. §. 7. Ast.

ἁρπάζοι] Ald. Bas. 1. et 2. ἁρπάζει, vitiose. Mox θαρσῶ scripsi pro θαῤῥῶ, quod recentioris Atticismi est, v. Ducker. ad Thucyd. v. 4. interpp. ad Thom. Mag. p. 435. et Valckenar. ad Eurip. Phœniss. p. 22. Ast.

φίλων ἀρχαιότατον δοκεῖ[e] ἄν σοι ὁ τοιοῦτος πληγαῖς τε δοῦναι καὶ καταδουλώσασθαι ἂν αὐτοὺς ὑπ' ἐκείνοις, εἰ[f] εἰς τὴν[g] αὐτὴν οἰκίαν ἀγάγοιτο; Ναὶ μὰ Δί', ἦ δ' ὅς.
III. i. 432. Σφόδρα γε μακάριον, ἦν δ' ἐγώ, ἔοικεν εἶναι τὸ τυραννικὸν υἱὸν τεκεῖν. Οὐ[h] πάνυ γε,[i] ἔφη. Τί δ', ὅταν δὴ τὰ πατρὸς καὶ μητρὸς ἐπιλείπῃ[k] τὸν τοιοῦτον, πολὺ δὲ ἤδη ξυνειλεγμένον ἐν αὐτῷ ἦ[l] τὸ τῶν ἡδονῶν σμῆνος, οὐ πρῶτον μὲν οἰκίας τινὸς ἐφάψεται[m] τοίχου ἢ τινος ὀψὲ νύκτωρ ἰόντος τοῦ ἱματίου, μετὰ δὲ ταῦτα ἱερόν τι νεωκορήσει; καὶ ἐν τούτοις δὴ πᾶσιν, ἃς πάλαι εἶχε δόξας ἐκ παιδὸς περὶ καλῶν τε καὶ αἰσχρῶν, τὰς δικαίας[n] ποιουμένας[o] αἱ νεωστὶ ἐκ δουλείας λελυμέναι, δορυφοροῦσαι τὸν Ἔρωτα, κρατήσουσι μετ' ἐκείνου; αἱ πρότερον μὲν ὄναρ ἐλύοντο ἐν ὕπνῳ, ὅτε ἦν αὐτὸς ἔτι[p] ὑπὸ νόμοις τε καὶ πατρὶ δημοκρατούμενος[q] ἐν ἑαυτῷ·[r] τυραννευθεὶς δὲ ὑπὸ Ἔρωτος, οἷος[s] ὀλιγάκις ἐγίγνετο ὄναρ,[t] ὕπαρ τοιοῦτος ἀεὶ γενόμενος,[u] οὔτε φόνου[v] δεινοῦ ἀφέξεται οὔτε βρώματος οὐδ' ἔργου, ἀλλὰ
II. 575. τυραννικῶς[w] ἐν αὐτῷ ὁ Ἔρως ἐν πάσῃ[x] ἀναρχίᾳ καὶ ἀνομίᾳ ζῶν, ἅτε αὐτὸς ὢν μόναρχος, τὸν ἔχοντά τε αὐτὸν ὥς περ πόλιν ἄξει ἐπὶ πᾶσαν τόλμαν ὅθεν αὐτόν τε καὶ τὸν περὶ αὐτὸν θόρυβον θρέψει, τὸν μὲν ἔξωθεν εἰσεληλυθότα ἀπὸ κακῆς ὁμιλίας, τὸν δ' ἔνδοθεν ὑπὸ τῶν αὐτῶν[y] τρόπων

r.—[e] τὴν om pr Ξ.—[b] οὐ om AΦm.—[i] γ' γε mr.—[k] ἐπιλείπῃ Av, ἐπιλείπει Π, ἐπιλείποι K, ἐπιλίποι Θ, ἐπιλίπῃ ΞΦmr: ἐπιλείποι s.—[l] ἢ ἐν αὐτῷ Θr, ἑαυτῷ ἢ v.—[m] ἐφάψεταί τινος K, τινος ἐφάψαιτο r.—[n] δικαίας A: δίκας *s.—[o] ποιούμενας v.—[p] ἔτι om r.—[q] δημοκρατούμεναι Ξ.—[r] αὐτῷ Ξ.—[s] οἷς r.—[t] ὄνειρος Φm.—[u] γενόμενος ΑΠΦDKqvm, γενόμενος Ξ: γιγνόμενος s.—[v] φόβου Kq et pr D.—[w] τυραννικῶς AΘΞΦqmr; τυραννικὸς *s.—[x] πᾶσι v.—[y] αὐτῶν Θ, αὐτοῦ q.—[z] ἀναθέντα Θ.

πληγαῖς δοῦναι] Vid. nostra ad Phædr. p. 335. Ast.

ἐπιλείπῃ] E Cod. Reg. reposuimus pro ἐπιλείποι; adscriptum est enim in Cod. Regio voci ἐπιλείποι verbum ἐπιλείπῃ. Ast.

δορυφοροῦσαι τὸν Ἔρωτα] δορυφορεῖν τινὰ est i. q. δορυφόρον εἶναί τινος, ut apud Thucyd. i. 130. Xenoph. Hier. iv, 3. Ast.

ἀεὶ γιγνόμενος] Ald. Bas. 1. et 2. γενόμενος. Ficinus: *talis semper erit vigilans.* Ast.

τὸν ἔχοντά τε αὐτὸν] Ficinus: *utpote qui solus sit dominus, subjectum sibi hominem—impudenter ad omnia rapiet—* legisse videtur: ἁλόντα, quod e litera χ versa proficiscitur. Faehse.

ὑπὸ] Non male videtur legi ὑπὸ, licet non itidem ὑπὸ sed ἀπὸ præcedat. Steph.

καὶ ἑαυτοῦ ἀνεθέντα[z] καὶ ἐλευθερωθέντα. ἢ οὐχ οὕτος ὁ βίος τοῦ τοιούτου; Οὗτος μὲν οὖν, ἔφη. Καὶ ἂν μέν γε, III. i. 433.
ἦν δ' ἐγώ, ὀλίγοι οἱ τοιοῦτοι ἐν πόλει ὦσι καὶ τὸ ἄλλο πλῆθος σωφρονῇ, ἐξελθόντες ἄλλον τινὰ δορυφοροῦσι τύραννον ἢ μισθοῦ ἐπικουροῦσιν, ἐάν που πόλεμος ᾖ· ἐὰν δ' ἐν εἰρήνῃ τε[a] καὶ ἡσυχίᾳ γένωνται, αὐτοῦ δὴ ἐν[b] τῇ πόλει κακὰ δρῶσι σμικρὰ πολλά. Τὰ ποῖα δὴ[c] λέγεις; Οἷα κλέπτουσι, τοιχωρυχοῦσι, βαλαντιοτομοῦσι,[d] λωποδυτοῦσιν, ἱεροσυλοῦσιν, ἀνδραποδίζονται· ἔστι δ' ὅτε συκοφαντοῦσιν, ἐὰν δυνατοὶ ὦσι λέγειν, καὶ ψευδομαρτυροῦσι καὶ δωροδοκοῦσιν. Σμικρά γ' ἔφη, κακὰ λέγεις, ἐὰν ὀλίγοι ὦσιν οἱ τοιοῦτοι. Τὰ δὲ[e] σμικρά, ἦν δ' ἐγώ, πρὸς τὰ μεγάλα σμικρά ἐστι, καὶ ταῦτα δὴ πάντα πρὸς τύραννον πονηρίᾳ τε καὶ ἀθλιότητι πόλεως,[f] τὸ λεγόμενον, οὐδ' ἴκταρ βάλλει. ὅταν γὰρ δὴ πολλοὶ ἐν πόλει γένωνται οἱ τοιοῦτοι καὶ ἄλλοι οἵ[g] ξυνεπόμενοι αὐτοῖς καὶ αἴσθωνται ἑαυτῶν τὸ πλῆθος, τότε οὗτοί εἰσιν οἱ τὸν τύραννον γεννῶντες μετὰ δήμου ἀνοίας, ἐκεῖνον ὃς ἂν αὐτῶν μάλιστα αὐτὸς ἐν αὑτῷ μέγιστον καὶ πλεῖστον ἐν τῇ ψυχῇ τύραννον ἔχῃ.[h] Εἰκότως γ', ἔφη· τυραννικώτατος γὰρ ἂν εἴη. Οὐκοῦν ἐὰν μὲν ἑκόντες ὑπείκωσιν· ἐὰν δὲ μὴ ἐπιτρέπῃ ἡ πόλις, ὥς περ τότε μητέρα III. i. 434.
καὶ πατέρα ἐκόλαζεν, οὕτω πάλιν τὴν πατρίδα, ἐὰν οἷός τ' ᾖ, κολάσεται ἐπεισαγόμενος[i] νέους ἑταίρους, καὶ ὑπὸ τού-

λ

—[a] τε om Θϒ.—[b] αὐτοῦ ἐκεῖ ἐν υ.—[c] δὲ υϒ.—[d] βαλλαντ. ΞΠΦ, βαλαντ. Θ.—[e] pro δὲ scribe γὰρ cum ΑΘΠDKqτϒ.—[f] πόλεως παραβαλλόμενα τὸ Ξσ.—[g] οἱ om m.—

πονηρίᾳ] *Respectu ad pravitatem.* Ast.

οὐδ' ἴκταρ βάλλει] I. e. οὐδ' ἐγγὺς τοῦ σκοποῦ γίγνεται, ut Eustathius explicat in Odyss. ψ. p. 798. 5. qui adjicit: καὶ τὸ μὲν τοιοῦτον ἴκταρ εὐλόγως τε δασύνεται, καὶ ἐπίῤῥημά ἐστι ὡς τὸ ὕπαρ. p. 799. v. 3. ὃ καὶ εἰκός ἐστιν, ὡς ἀπὸ τοῦ ἵκται. Vulgo enim scribitur ἵκταρ. Laudant h. l. Zenob. v. 55. Mœris Attic. p. 190. Vid. et Schol. Lucian. ad Lexiph. §. 21. t. ii. p. 583. ed. Schmied. interpret. ad Thom. Mag. p. 471. et Ruhnken. ad Tim. p. 149. Ast.

πλεῖστον] De hac Platonica loquendi forma lege annotationem, in p. 559. E. Steph.

ἐὰν μὲν] Nihil deesse hic, sed ipse Plato aliquid subaudiendum videtur reliquisse. Plena enim fuerit oratio si post ἐὰν μὲν ἑκόντες ὑπείκωσιν, subaudias, ταῦτα ἔσται, vel γενήσεται, aut tale quid. Ficinus ita, *Nonne facile id sit, si cesserint omnes?* Steph.

ἐὰν μὲν ἑκόντες ὑπείκωσιν;] Apodosis εὖ ἔχει, vel simile quid, ut post εἰ μέν, εἰ δὲ solet, suppressa est. Sic Thucyd. iii. 3. 44. Plat. Protag. 325. D. καὶ ἐὰν μὲν ἑκὼν πείθηται· εἰ δὲ μή, ὥσπερ ξύλον—εὐθύνουσιν. Cf. Eustath. ad Iliad. α'. p. 50. Observat. Misc. vol. iii. p. 145. Casaub. ad Athen. v. 43. Valckenar. ad Herodot. p. 646. Hermann. ad Viger. 792. et Heind. ad Euthyd. p. 345. Ast.

τοις δὴ δουλεύουσαν τὴν πάλαι φίλην μητρίδα τε,[k] Κρῆτές φασι, καὶ πατρίδα ἕξει[l] τε καὶ θρέψει.[m] καὶ τοῦτο δὴ τὸ τέλος ἂν εἴη τῆς ἐπιθυμίας τοῦ τοιούτου ἀνδρός. Τοῦτο, ἦ δ' ὅς, παντάπασί γε.[n] [§. 4.] Οὐκοῦν, ἦν δ' ἐγώ, οὗτοί γε τοιοίδε γίγνονται ἰδίᾳ καὶ πρὶν ἄρχειν;[o] πρῶτον μὲν[p] οἷς ἂν ξυνῶσιν, ἢ κόλαξιν ἑαυτῶν ξυνόντες καὶ πᾶν ἑτοίμοις
II. 576. ὑπηρετεῖν, ἢ[q] ἐάν τού τι[r] δέωνται, αὐτοὶ[s] ὑποπεσόντες, πάντα σχήματα[t] τολμῶντες ποιεῖν ὡς οἰκεῖοι, διαπραξάμενοι δὲ ἀλλότριοι; Καὶ σφόδρα γε. Ἐν παντὶ ἄρα τῷ βίῳ ζῶσι φίλοι μὲν οὐδέποτε οὐδενί, ἀεὶ δέ του δεσπόζοντες[u] ἢ δουλεύοντες ἄλλῳ. ἐλευθερίας δὲ καὶ φιλίας ἀληθοῦς τυραννικὴ φύσις ἀεὶ ἄγευστος. Πάνυ μὲν οὖν. Ἆρ' οὖν οὐκ ὀρθῶς ἂν τοὺς τοιούτους ἀπίστους καλοῖμεν; Πῶς δ' οὔ; Καὶ μὴν ἀδίκους γε ὡς οἷόν τε μάλιστα, εἴ περ ὀρθῶς ἐν τοῖς πρόσθεν[v] ὡμολογήσαμεν περὶ[w] δικαιοσύνης, οἷόν ἐστιν. Ἀλλὰ μήν, ἦ δ' ὅς, ὀρθῶς γε. Κεφαλαιωσώμεθα[x] τοίνυν, ἦν δ' ἐγώ, τὸν κάκιστον. ἔστι δέ που, οἷον ὄναρ διήλθομεν,
III. i. 435. ὃς ἂν ὕπαρ τοιοῦτος ᾖ. Πάνυ μὲν οὖν. Οὐκοῦν οὗτος γίγνεται ὃς ἂν τυραννικώτατος φύσει ὢν μοναρχήσῃ·[y] καὶ ὅσῳ ἂν πλείω χρόνον ἐν τυραννίδι βιῷ, τοσούτῳ[z] μᾶλλον τοιοῦτος. Ἀνάγκη, ἔφη διαδεξάμενος[a] τὸν λόγον ὁ Γλαύκων.

Ἆρ' οὖν, ἦν δ' ἐγώ, ὃς ἂν φαίνηται πονηρότατος, καὶ ἀθλιώτατος φανήσεται; καὶ ὃς ἂν πλεῖστον χρόνον καὶ μάλιστα τυραννεύσῃ,[b] μάλιστά τε καὶ πλεῖστον χρόνον

[h] ἔχοι ΘΞr.—[i] ἐπεισαγαγόμενος ΘΠD.—[k] τε om vm.—[l] ἕξει Ξ.—[m] τρέψει v.—[n] δὲ Θr.—[o] πρὶν ἄρχειν post ξυνῶσιν ponit Φ.—[p] μὲν ἂν r.—[q] ἢ om m.—[r] του τι ΘΞKqr, τουτὶ ΑΦD: που τι *s.—[s] αὐτῶ v.—[t] πάντα σχήματα ΑΞΦqrm: πάντα τὰ σχήματα *s.—[u] σπουδάζοντες r.—[v] ἐν τοῖς ὀρθῶς πρόσθεν.—[w] περὶ r.—[x] κεφαλαιωσόμεθα vm.—[y] μοναρχούσῃ D, μοναρχήσει mg D, μονάρχης ἢ v.—[z] τοσοῦτο K.—[a] διαδεξάμενος ΑΦm: δεξάμενος *s.—[b] τυραννήσῃ Ξ.—[c] πολλὰ καὶ ΑΠΦrm, καὶ

ἑταίρους] Ficin. videtur ἑτέρους legisse vertens: *alios inducens juvenes.* Ast.

φίλην μητρίδα] Vid. Plutarch. an seni sit gerenda respubl. p. 792. E. Ast.

Κρῆτες] Deesse videtur particula ὡς, sive ὥσπερ, ante Κρῆτες: quanquam et ita poni φασὶ absque ὡς vel ὥσπερ, existimo. Stephn. Particula facile caremus. Ast.

§. 4. τοιοίδε] Ald. et Bas. 1. τοιόνδε. Mox Ald. Bas. 1. et 2. τουτὶ (Cod. Reg. ἐάν του τι) pro τοῦ τι. Ast.

ἀλλότριοι] Repete ὡς, ut Theæt. p. 167. E. χωρὶς μὲν ὡς ἀγωνιζόμενος—χωρὶς δὲ διαλεγόμενος. Ast.

μοναρχήσῃ] Ald. Bas. 1. et 2. μοναρχήσει. Ast.

τοιοῦτος γεγονὼς τῇ ἀληθείᾳ; τοῖς δὲ πολλοῖς πολλὰ καὶ[c] δοκεῖ.[d] Ἀνάγκη, ἔφη, ταῦτα γοῦν οὕτως ἔχειν.[e] Ἄλλο τι οὖν, ἦν δ' ἐγώ, ὅ γε[f] τυραννικὸς κατὰ[g] τὴν τυραννουμένην πόλιν ἂν[h] εἴη ὁμοιότητι, δημοτικὸς[i] δὲ κατὰ[k] δημοκρατουμένην, καὶ οἱ ἄλλοι οὕτως; Τί μήν; Οὐκοῦν, ὅ τι πόλις πρὸς πόλιν ἀρετῇ καὶ εὐδαιμονίᾳ,[l] τοῦτο καὶ[m] ἀνὴρ πρὸς ἄνδρα; Πῶς γὰρ οὔ; Τί οὖν ἄρα[n] ἡ τυραννουμένη πόλις πρὸς βασιλευομένην οἵαν τὸ πρῶτον διήλθομεν; Πᾶν τοὐναντίον, ἔφη·[o] ἡ μὲν γὰρ[p] ἀρίστη, ἡ δὲ κακίστη. Οὐκ ἐρήσομαι, εἶπον, ὁποτέραν λέγεις· δῆλον γάρ. ἀλλ' εὐδαιμονίας τε αὖ[q] καὶ ἀθλιότητος[r] ὡσαύτως ἢ ἄλλως κρίνεις; καὶ μὴ ἐκπλητ̣τώμεθα πρὸς τὸν[s] τύραννον ἕνα ὄντα βλέποντες, μηδ' εἴ τινες ὀλίγοι περὶ ἐκεῖνον, ἀλλ' ὡς χρὴ ὅλην τὴν πόλιν εἰσελθόντας θεάσασθαι, καταδύντες[t] εἰς III. i. 436.
ἅπασαν[u] καὶ ἰδόντες, οὕτω δόξαν ἀποφαινώμεθα.[v] Ἀλλ' ὀρθῶς, ἔφη, προκαλεῖ·[w] καὶ δῆλον παντὶ ὅτι τυραννουμένης

πολλὰ ΘΞr : om particulam *s.—[d] δοκῇ DK.—[e] ἔχει q.—[f] ὅτε Φmr.—[g] ἢ κατὰ r.—[h] ἂν om q.—[i] δημοτικὸς ΑΘΞΠΦr : δημοκρατικὸς *s.—[k] post κατὰ omisi τὴν cum ΑΘΠΦvr.—[l] ἀρετὴν καὶ εὐδαιμονίαν v.—[m] καὶ ante ἀνὴρ add AΦv.—[n] ἄρα m, ἀρετῇ γρ A : ἄρα *s.—[o] ἔχει r.—[p] γὰρ om K.—[q] τε αὖ ΑΞΠΦvm, τε Θr : αὖ s.—[r] δουλιότητος v. quod ἀθ σαν s addit πέρι, scripti omnes om.—[s] τὸν om DKq.—[t] κᾶτα δύντες r.—[u] ἅπαν v.—[v] ἀποφαινόμεθα ΦDKm.—[w] προκαλεῖς v.—[x] οὐκ ἔστιν

τοῖς δὲ πολλοῖς] Bas. 2. καὶ adjicit post πόλλοις. Ast.

ὁμοιότητι] Ita vertit Fic. quasi legerit ὁμοιότατος. Interrogative autem hæc dici puto. Steph.

ὁμοιότητι] Offendit hæc vox, quia κατὰ cum accusativo jam per se similitudinem indicat, v. Hemsterh. ad Aristophan. Plut. p. 331. et Valckenar. ad J. Chrysostom. Orat. i. in Opuscul. philolog. t. ii. p. 204. Ficinus ita vertit ac si legerit ὁμοιότατος, *tyrannicus vir civitati tyrannide oppressæ simillimus.* Fortasse μάλιστα pro ὁμοιότητι vel simile quid in libris suis invenit. Ast.

τί οὖν ἄρα] Sic Ald. Bas. 1. et 2. male scripsit Steph. τί οὖν; ἄρα. Sensus est, *Quænam igitur ratio est civitatis tyranno subjectæ ad civitatem regi subditam?* Similiter Ficinus vertit, *quomodo se habet tyranno subjecta civitas ad eam, quæ regi paret, qualem primo descripsimus?*

—Mox ἔχει pro ἔφη Bas. 2. Ast.

ἀθλιότητος] Sic Cod. Reg. Ald. Bas. 1. et 2. Stephanus tacite scripsit ἀθλιότητος πέρι, quod primum haud necessarium est, propterea quod genitivi absolute capiendi et explicandi sunt: *quod attinet ad felicitatem et miseriam* (v. nostra ad Phædr. p. 351. Sympos. p. 294. Matthiæ Gr. Gr. p. 439.); deinde περὶ, si poneretur, non ad εὐδαιμονίας et ἀθλιότητος, sed ad urbes referri deberet: nam *de urbibus* respectu ad earum felicitatem vel miseriam judicium est faciendum. Ast.

καὶ μὴ ἐκπλητ̣τώμεθα] Laudat Stob. xli. p. 265. usque ad εὐδαιμονέστερα. Ast.

ὡς χρὴ] Hæc interposita sunt, ut causam sequentium indicent; ὡς est enim namque s. quoniam. Mox Stob. ἀποφαινόμεθα. Ast.

μὲν οὐκ ἔστιν ἀθλιωτέρα, βασιλευομένης δὲ οὐκ[x] εὐδαιμονεστέρα. Ἆρ' οὖν, ἦν δ' ἐγώ, καὶ περὶ τῶν ἀνδρῶν τὰ
II. 577. αὐτὰ ταῦτα προκαλούμενος[y] ὀρθῶς ἂν προκαλοίμην, ἀξιῶν κρίνειν περὶ αὐτῶν[z] ἐκεῖνον ὃς δύναται[a] τῇ διανοίᾳ[b] εἰς ἀνδρὸς ἦθος ἐνδὺς[c] διιδεῖν καὶ μὴ καθάπερ παῖς ἔξωθεν ὀρῶν ἐκπλήττηται[d] ὑπὸ τῆς τῶν τυραννικῶν προστάσεως, ἣν πρὸς τοὺς ἔξω σχηματίζονται,[e] ἀλλ' ἱκανῶς διορᾷ;[f] εἰ οὖν οἰοίμην δεῖν ἐκείνου πάντας ἡμᾶς ἀκούειν, τοῦ δυνατοῦ μὲν κρῖναι, ξυνῳκηκότος δὲ ἐν τῷ αὐτῷ καὶ παραγεγονότος ἔν τε ταῖς κατ' οἰκίαν πράξεσιν, ὡς πρὸς ἑκάστους τοὺς οἰκείους[g] ἔχει, ἐν οἷς μάλιστα γυμνὸς[h] ἂν ὀφθείη τῆς τραγικῆς σκευῆς, καὶ ἐν αὖ τοῖς[i] δημοσίοις κινδύνοις· καὶ ταῦτα πάντα ἰδόντα[k] κελεύοιμι[l] ἐξαγγέλλειν πῶς ἔχει εὐδαιμονίας καὶ ἀθλιότητος ὁ τύραννος πρὸς τοὺς ἄλλους. Ὀρθότατ' ἄν, ἔφη, καὶ ταῦτα προκαλοῖο. Βούλει οὖν, ἦν δ' ἐγώ, προσποιησώμεθα[m] ἡμεῖς εἶναι τῶν[n] δυνατῶν[o] ἂν κρῖναι καὶ ἤδη ἐντυχόντων τοιούτοις, ἵνα ἔχωμεν ὅς τις
III. i. 437. ἀποκρινεῖται[p] ἃ ἐρωτῶμεν; Πάνυ γε. [§. 5.] Ἴθι δή μοι, ἔφην, ὧδε σκόπει. τὴν ὁμοιότητα ἀναμιμνησκόμενος τῆς τε[q] πόλεως καὶ τοῦ ἀνδρός, οὕτω καθ' ἕκαστον ἐν μέρει ἀθρῶν, τὰ παθήματα ἑκατέρου λέγε. Τὰ[r] ποῖα; ἔφη. Πρῶτον μέν,[s] ἦν δ' ἐγώ, ὡς πόλιν[t] εἰπεῖν, ἐλευθέραν ἢ δού-

x.—[y] προσκαλούμενος Θ.—[z] αὐτὸν Κγ.—[a] δύναται ΑΘΠΦDKqvmr: ἂν δύηται Ξs.—[b] ἰδία ἀνοίᾳ Θ.—[c] ἐνδοὺς v.—[d] ἐκπλήττεται ΑΘΠΦDKqvm, καλύπτεται x: ἐκπλήττηται s.—[e] σχηματίζονται ΑΦvm: σχηματίζεται *s.—[f] διορᾷν v.—[g] οἰκείως x.—[h] μάλιστά τις γυμνὸς x et rc Ξ cum s.—[i] αὖ τοῖς ΑΘΞΦqmr: αὐτοῖς s.—[k] ἰδόντα om Θ.—[l] κελεύοιμι q, κελεύομεν v: κελεύοιμεν *s.—[m] προσποιησόμεθα D Kqx.—[n] τῶν δυνατῶν εἶναι Ξ.—[o] δυνατῶν om Θ.—[p] ἀποκρίνηται v.—[q] τε om m.—[r]: λέγε τὰ ΦDK.—[s] μὲν εἶπον D, μὲν εἰπεῖν K.—[t] πόλιν ὡς ἔπος x.—[u] τὴν om m.

ἔξωθεν ὁρῶν ἐκπλήττηται] Qui splendorem, externamque rei speciem intuetur, rem ipsam perspicere nequit. Similes locos excitavit Wyttenb. Bibl. Crit. vol. iii. p. iv. p. 39. Ast.

τις γυμνὸς] Cod. Reg. τὶς omittit; τὶς vero, quod Ficinus quoque expressit, est vernaculum *man*.—Mox Ald. Bas. 1. et 2. post τραγικῆς habent τε, quod Stephanus recte exterminavit. Ast.

ἐν αὐτοῖς] Ficinus, ut Heind. ad Sophist. p. 432. bene monuit, haud dubie legit ἐν αὖ τοῖς δημ. κινδ. vertit enim: *rursusque popularibus in periculis*: et hæc pro genuina habenda est scriptura. Etenim αὐτοῖς sine articulo τοῖς nomini jungi non posset, contra αὖ, quod hæc verba prægressis, ταῖς κατ' οἰκίαν πράξεσιν, opposita esse indicat, non solum recte habet, verum etiam, si rem e Platonici sermonis indole æstimes, tantum non necessarium est. Ast.

τῶν δυνατῶν] Int. ὄντων, vid. ad vii. 4 Ast.

λην τὴν[u] τυραννουμένην ἐρεῖς; Ὡς οἷόν τ', ἔφη, μάλιστα δούλην. Καὶ μὴν ὁρᾷς[v] γε ἐν αὐτῇ δεσπότας καὶ ἐλευθέρους. Ὁρῶ, ἔφη, σμικρόν γέ τι τοῦτο· τὸ δὲ ὅλον, ὡς ἔπος εἰπεῖν, ἐν αὐτῇ καὶ τὸ ἐπιεικέστατον ἀτίμως τε καὶ ἀθλίως δοῦλον. Εἰ οὖν, εἶπον, ὅμοιος ἀνὴρ τῇ πόλει, οὐ καὶ[w] ἐν ἐκείνῳ ἀνάγκη τὴν αὐτὴν τάξιν ἐνεῖναι, καὶ πολλῆς μὲν δουλείας τε[x] καὶ ἀνελευθερίας[y] γέμειν τὴν ψυχὴν αὐτοῦ, καὶ ταῦτα αὐτῆς τὰ μέρη δουλεύειν ἃ περ ἦν ἐπιεικέστατα, σμικρὸν δὲ καὶ τὸ μοχθηρότατον καὶ μανικώτατον[z] δεσπόζειν; Ἀνάγκη, ἔφη. Τί οὖν; δούλην ἢ[a] ἐλευθέραν τὴν τοιαύτην φήσεις εἶναι[b] ψυχήν; Δούλην δή που ἔγωγε. Οὐκοῦν ἥ γε αὖ δούλη καὶ τυραννουμένη πόλις ἥκιστα ποιεῖ ἃ βούλεται; Πολύ γε. Καὶ ἡ τυραννουμένη ἄρα ψυχὴ ἥκιστα ποιήσει ἃ ἂν βουληθῇ, ὡς περὶ ὅλης εἰπεῖν ψυχῆς· ὑπὸ δὲ οἴστρου ἀεὶ ἐλκομένη βίᾳ ταραχῆς καὶ μεταμελείας μεστὴ ἔσται. Πῶς γὰρ οὔ; iii. i. 438.
Πλουσίαν δὲ ἢ πενομένην ἀνάγκη τὴν τυραννουμένην πόλιν εἶναι; Πενομένην. Καὶ ψυχὴν ἄρα τυραννικὴν πενιχρὰν ii. 578.
καὶ ἄπληστον ἀνάγκη ἀεὶ εἶναι. Οὕτως, ἦ δ' ὅς. Τί δέ;[c] φόβου γέμειν ἆρ' οὐκ ἀνάγκη τὴν γε[d] τοιαύτην πόλιν τόν τε[e] τοιοῦτον ἄνδρα; Πολλή[f] γε. Ὀδυρμοὺς δὲ[g] καὶ στεναγμοὺς καὶ θρήνους καὶ ἀλγηδόνας οἴει ἔν τινι ἄλλῃ πλείους[h] εὑρήσειν; Οὐδαμῶς. Ἐν ἀνδρὶ δὲ ἡγεῖ[i] τὰ τοιαῦτα ἐν ἄλλῳ τινὶ πλείω εἶναι, ἢ ἐν τῷ μαινομένῳ ὑπὸ ἐπιθυμιῶν τε καὶ ἐρώτων τούτῳ τῷ τυραννικῷ; Πῶς γὰρ ἄν;[k] ἔφη. Εἰς πάντα δή, οἶμαι, ταῦτά τε καὶ ἄλλα τοιαῦτα ἀποβλέψας τὴν γε[l] πόλιν τῶν πόλεων

—[u] ὁρῷ q.—[w] καὶ om Φm.—[x] τε om K.—[y] ἐλευθερίας ΘΠτ.—[z] μανικώτατον καὶ μοχθηρότατον K.—[a] καὶ m.—[b] εἶναι om DKq.—[c] δαὶ Φ.—[d] τε ΞΦm.—[e] γε ΦKm.—[f] πολλὴ ΑΘΞΠmτ: πολύ *s.—[g] γε υ, τε ceteri præter Ξ.—[h] πλέους ΘΠD.—[i] ἦγει υ.—[k] ἄν om τ.—[l] τε ΘΠΦDKmτ.—[m] ταυτὰ ταῦτα ΑΞΦm, ταῦτα ταῦτα Π,

§. 5. ὡς πόλιν εἰπεῖν] Alia invenitur lectio, πόλιν ὡς ἔπος εἰπεῖν ἐλευθ. etc. Sed hæc irrepsisse ex sequentibus videri possunt: ac malim ὡς etiam et εἰπεῖν abesse, quam illis ἔπος interjici. Possunt autem et interrogative hæc legi. Steph.

ὡς πόλιν εἰπεῖν] Connectenda sunt cum antecedentibus, πρῶτον μέν: ut primo de urbe dicamus (deinde vero de viro urbi simili). Bas. 2. πόλιν, ὡς ἔπος εἰπεῖν. Ast.

ἀθλιωτάτην ἔκρινας. Οὐκοῦν ὀρθῶς; ἔφη. Καὶ μάλα, ἦν δ' ἐγώ. ἀλλὰ περὶ τοῦ ἀνδρὸς αὖ τοῦ τυραννικοῦ τί λέγεις εἰς ταὐτὰ ταῦτα[m] ἀποβλέπων; Μακρῷ, ἔφη, ἀθλιώτατον εἶναι τῶν ἄλλων ἁπάντων. Τοῦτο, ἦν δ' ἐγώ, οὐκέτ' ὀρθῶς λέγεις. Πῶς; ἦ δ' ὅς.[n] Οὔπω, ἔφην, οἶμαι, οὗτός ἐστιν ὁ τοιοῦτος μάλιστα. Ἀλλὰ τίς[o] μήν; Ὅδε[p] ἴσως σοι ἔτι[q] δόξει εἶναι τούτου[r] ἀθλιώτερος. Ποῖος; Ὃς ἄν, ἦν δ' ἐγώ, τυραννικὸς ὢν μὴ ἰδιώτην βίον καταβιῷ, ἀλλὰ δυστυχὴς[s] ἢ καὶ αὐτῷ ὑπό τινος συμφο-
III. i. 439. ρᾶς ἐκπορισθῇ ὥστε τυράννῳ γενέσθαι. Τεκμαίρομαί σε, ἔφη, ἐκ τῶν προειρημένων ἀληθῆ[t] λέγειν. Ναί, ἦν δ' ἐγώ· ἀλλὰ[u] οὐκ οἴεσθαι χρὴ τὰ τοιαῦτα, ἀλλ' εὖ μάλα τῷ τοιούτῳ λόγῳ σκοπεῖν. περὶ γάρ τοι τοῦ[v] μεγίστου ἡ σκέψις, ἀγαθοῦ τε[w] βίου καὶ κακοῦ. Ὀρθότατα, ἦ δ' ὅς. Σκόπει δὴ εἰ ἄρα τι λέγω. δοκεῖ[x] γάρ μοι δεῖν ἐννοῆσαι ἐκ τῶνδε περὶ αὐτοῦ σκοποῦντας. Ἐκ τίνων; Ἐξ ἑνὸς

αὐτὰ ταῦτα *v*: ταῦτα *s*.—[n] πῶς ἦδ' ὅς om ΘΠDKr.—[o] τί Φ.—[p] δδ' *v*.—[q] ἔτι σοι Θ.—[r] τούτου om DKq.—[s] præstat fortasse δυστυχήσῃ.—[t] ἀληθῶς q.—[u] ἀλλ' *vmr*.—[v] τοιούτου *v*.—[w] τε om D, post βίου ponit K.—[x] δοκῶ DKq.—[y] οἶσθ' *vm*.—

εἰς ταῦτα] In quodam vet. legitur εἰς ταυτὰ ταῦτα. Duo autem hæc a Plat. et alibi conjunguntur. STEPH.

εἰς ταυτὰ ταῦτα ἀποβλέπων] E Bas. 2. ita reposuimus pro εἰς ταῦτα ἀποβλέπων, addicente Ficino, ut qui verterit, *quoties eadem hæc animadvertis*. AST.

τυραννικὸς] Deesse puto negationem ante τυραννικὸς, et locutum de eo qui tyrannico præditus sit ingenio, nunc miseriorem dicere eum qui licet eo non sit præditus, tyrannidem tamen exercere cogatur. STEPH. qui sic in Not. 'Ideo existimavi deesse huic loco (nimirum ante τυραννικὸς) negativam particulam, quia postquam illa de tyrannico homine finita est dissertatio, hic non assentitur alteri dicenti illum tyrannicum longe omnium esse miserrimum: sed se alium velle proponere dicit qui illo sit miserior. Interrogatus quisnam ille sit, respondet, esse eum qui quamvis tyrannico ingenio minime præditus sit, tyrannidem exercere cogitur. At si diceret τυραννικὸς ὤν, non autem μὴ τυραννικὸς ὤν, de eodem loqui videretur de quo alter modo loquutus fuerat, quum tamen se de alio loqui velle ostendat. Locus tamen quidam in iis quæ sequuntur, lectionem alteram videri cuipiam possit utcunque defendere: quod si ita est, dicendum fuerit utrumque quidem esse τυραννικὸν, sed discrimen in eo esse quod alter non sponte tyrannidem capessat, sed coactus.' Falso Steph.; sermo est de eo, qui non solum per se et in se ipso tyrannus est, sed tyrannidem etiam exercere cogitur; vid. c. 6. initium. AST.

εὖ μάλα] Sic Ald. Bas. 1. et 2. Stephanus, Ficinum, ut videtur, secutus, ut qui verterit, *imo vero diligentissime*, μάλιστα scripsit. AST.

τῷ τοιούτῳ λόγῳ] Melius fortasse τὼ τοιούτω λόγω in duali numero legeretur. Agnoscit tamen et Fic. alteram lectionem. STEPH. Stephanus volebat τὼ τοιούτω λόγω. Ficinus vertit, *ratione tali*. Ni fallor, τὸ τοιοῦτον λόγῳ vel τὸν τοιοῦτον λόγον (λόγος de re ipsa, ut sæpenumero) legendum est. Mox Cod. Reg. δοκῶ γάρ μοι pro δοκεῖ, et εἴ τις τῶν θεῶν. De sententia, cf. Seneca de Clement. i. 24. §. 1. AST.

ἑκάστου τῶν ἰδιωτῶν, ὅσοι πλούσιοι ἐν πόλεσιν ἀνδράποδα πολλὰ κέκτηνται. οὗτοι γὰρ τοῦτό γε προσόμοιον ἔχουσι τοῖς τυράννοις, τὸ πολλῶν ἄρχειν· διαφέρει δὲ τὸ ἐκείνου πλῆθος. Διαφέρει γάρ. Οἶσθα[y] οὖν ὅτι οὗτοι ἀδεῶς ἔχουσι καὶ οὐ φοβοῦνται[z] τοὺς οἰκέτας; Τί γὰρ ἂν φοβοῖντο; Οὐδέν, εἶπον·[a] ἀλλὰ τὸ αἴτιον ἐννοεῖς; Ναί, ὅτι γε πᾶσα ἡ πόλις ἑνὶ ἑκάστῳ βοηθεῖ τῶν ἰδιωτῶν. Καλῶς, ἦν δ' ἐγώ, λέγεις. τί δέ; εἴ τις θεῶν[b] ἄνδρα ἕνα, ὅτῳ ἐστὶν ἀνδράποδα πεντήκοντα ἢ καὶ[c] πλείω, ἄρας ἐκ τῆς πόλεως αὐτόν τε καὶ γυναῖκα καὶ παῖδας θείη εἰς ἐρημίαν μετὰ τῆς ἄλλης οὐσίας τε καὶ τῶν οἰκετῶν, ὅπου[d] αὐτῷ μηδεὶς τῶν ἐλευθέρων μέλλοι[e] βοηθήσειν, ἐν ποίῳ ἂν[f] τινι καὶ ὁπόσῳ[g] φόβῳ οἴει γενέσθαι[h] αὐτὸν περί τε αὐτοῦ καὶ παίδων καὶ γυναικός, μὴ ἀπόλοιντο ὑπὸ τῶν οἰκετῶν; Ἐν III. i. 440. παντί, ἦ δ' ὅς, ἔγωγε. Οὐκοῦν ἀναγκάζοιτο ἂν τινας II. 579. ἤδη θωπεύειν αὐτῶν τῶν δούλων καὶ ὑπισχνεῖσθαι πολλὰ καὶ ἐλευθεροῦν οὐδὲν δεόμενος, καὶ κόλαξ αὐτὸς ἂν θεραπόντων ἀναφανείη; Πολλὴ ἀνάγκη, ἔφη, αὐτῷ, ἢ ἀπολωλέναι. Τί δ', εἰ καὶ ἄλλους, ἦν δ' ἐγώ, ὁ θεὸς κύκλῳ κατοικίσειε[i] γείτονας πολλοὺς αὐτῷ, οἳ[k] μὴ ἀνέχοιντο εἴ τις ἄλλος ἄλλου[l] δεσπόζειν ἀξιοῖ, ἀλλ' εἴ πού τινα τοιοῦτον λαμβάνοιεν,[m] ταῖς ἐσχάταις τιμωροῖντο τιμωρίαις; Ἔτι ἄν, ἔφη, οἶμαι μᾶλλον ἐν παντὶ κακοῦ[n] εἴη,[o] κύκλῳ

[z] ὠφελοῦνται r.—[a] οὐδέν εἶπον om Θr.—[b] τις τῶν θεῶν K.—[c] καὶ post ἢ om AΦm.—[d] ὅποι Ξm.—[e] μέλλει ΘΞKmr.—[f] ἄν om v.—[g] ἐν πόσῳ Θr, πόσῳ q.—[h] οἴει ἂν γενέσθαι Ξυσ.—[i] κατοικίσειεν cum σ qr, κατοικησειεν m, κατοικήσειεν ceteri.—[k] ἢ m, οἳ ἂν Ξσ.—[l] ἄλλω v.—[m] λαμβάνοι, ἐν v.—[n] κακῶ DKq.—[o] εἰ εἴη AΦm et pr Π.

αὐτῶν τῶν] Malim αὖ τῶν δούλων. Steph. Quod Stephanus scriptum malebat, id quidem placet, etsi vulgata quoque scriptura sensum commodum præbet. Ast.

οὐδὲν δεόμενος] *Quum supersedere eo possit.* Ficinus vertit, *cum sibi nihil opus sit.* Cornarius vero, *non rogantes*, ac si δεομένους legerit. Ast.

κατοικίσειε] Cod. Reg. Ald. Bas. 1. et 2. κατοικήσειε, solemni variatione. Ast.

ἐν παντὶ κακοῦ] Scio multos ἐν παντὶ κακῷ legendum existimaturos: sed mihi videor et alibi talem genitivum invenisse. Steph.

ἐν παντὶ κακοῦ] Ut ἐν παντὶ ἀθυμίας Thucyd. vii. 55. εἰς πᾶν κακοῦ ἀφικνεῖσθαι Herodot. vii. 118. Etiam simpliciter dicitur ἐν παντί, ut Euthydem. 300. E. Sympos. 210. A. Cf. Wyttenbach. ad Plutarch. de S. N. V. p. 108. Boissonad. ad Philostrat. p. 608. Cod. Reg. ἐν παντὶ κακῷ exhibet. Ast. qui sic in Addend. 'Magis e Platonici sermonis consuetudine esset ἐν παντί. Quod quidem nos adduxit, ut κακοῦ uncinis includeremus. Κακοῦ enim ex interpretatione videtur profectum esse, et simplex μᾶλλον ἐν παντὶ prægresso Ἐν παντί, ἦ δ' ὅς, ἔγωγε melius respondet.'

φρουρούμενος[p] ὑπὸ πάντων πολεμίων. Ἆρ' οὖν οὐκ ἐν[q] τοιούτῳ μὲν δεσμωτηρίῳ δέδεται ὁ τύραννος, φύσει ὢν οἷον διεληλύθαμεν,[r] πολλῶν καὶ παντοδαπῶν φόβων καὶ ἐρώτων μεστός; λίχνῳ δὲ ὄντι αὐτῷ τὴν ψυχὴν μόνῳ τῶν[s] ἐν τῇ πόλει οὔτε ἀποδημῆσαι ἔξεστιν οὐδαμόσε οὔτε θεωρῆσαι ὅσων δὴ καὶ οἱ ἄλλοι ἐλεύθεροι ἐπιθυμηταί εἰσι, καταδεδυκὼς δὲ ἐν τῇ οἰκίᾳ τὰ πολλὰ[t] ὡς γυνὴ ζῇ,[u] φθονῶν καὶ τοῖς ἄλλοις πολίταις, ἐάν τις ἔξω ἀποδημῇ καί τι[v] ἀγαθὸν ὁρᾷ; Παντάπασι μὲν οὖν, ἔφη. [§. 6.] Οὐκοῦν τοῖς τοιούτοις κακοῖς πλείω καρποῦται ἀνὴρ[w] ὃς ἂν κακῶς ἐν
III. i. 441. ἑαυτῷ[x] πολιτευόμενος, ὃν νῦν[y] δὴ σὺ ἀθλιώτατον ἔκρινας τὸν τυραννικόν, ὡς μὴ[z] ἰδιώτης καταβιῷ, ἀλλ' ἀναγκασθῇ ὑπό τινος τύχης τυραννεῦσαι[a] καὶ ἑαυτοῦ ὢν ἀκράτωρ ἄλλων ἐπιχειρήσῃ[b] ἄρχειν, ὥς περ εἴ τις κάμνοντι σώματι καὶ ἀκράτορι ἑαυτοῦ μὴ ἰδιωτεύων ἀλλ' ἀγωνιζόμενος πρὸς ἄλλα σώματα καὶ μαχόμενος ἀναγκάζοιτο[c] διάγειν[d] τὸν βίον; Παντάπασιν, ἔφη, ὁμοιότατά τε[e] καὶ ἀλη-

—[p] κύκλῳ φορούμενος r et corr Π, κυκλοφορούμενος K.—[q] ἐν τῷ Θr.—[r] διεληλύθειμεν r.—[s] τῶ m, om r.—[t] τὰ πολλὰ om m.—[u] ζῇν ΘΠDKr.—[v] τι v.—[w] καρ-
β α
ποῦται ἀνὴρ AΦvm: καρποῦται δ ἀνὴρ *σ.—[x] αὐτῷ v.—[y] νῦν om Θr.—[z] μη ὡς Θ.—[a] τυραννῆσαι vr.—[b] ἐπιχειρήσει m.—[c] προσαναγκάζοιτο Θ.—[d] διαφεύγειν r.—

ἆρ' οὖν οὐκ] Laudat Stob. xlvi. p. 350. ubi ἐν τοσούτῳ δεσμωτηρίῳ legitur. Ceterum cum aliis scriptorum locis hæc contulit P. Victor. Var. Lect. xi. 13. Ast.

λίχνῳ] Vid. Xenoph. Hier. i. 11. 12. Ast.

ὡς γυνὴ] Stob. ὥσπερ γυνή. Mox Ald. Bas. 1. ζῇν, deinde Bas. 1. et 2. καί τοι pro καί τι. Ast.

§. 6. τοῖς τοιούτοις] Haud scio an credibile sit scriptum fuisse ἐπὶ τοῖς τοιούτοις, vel potius πρὸς τοῖς τοιούτοις, id est, *præter hæc*: quum sequatur πλείω. Alioqui tamen nihil est cum quo dativus hic possit cohærere. Steph. qui sic in Not. 'Non esse unde pendeant hi dativi τοῖς τοιούτοις κακοῖς, jam admonui in iis quæ margini adscripsi: ubi etiam dixi videndum esse an legere oporteat ἐπὶ τοῖς τοιούτοις, vel πρὸς τοῖς τοιούτοις. Nunc autem addo aliam conjecturam, quæ eundem quidem sensum efficit, sed ob majorem mutationem audacior videri queat: ut nimirum legatur, τῶν τοιούτων κακῶν πλείω καρποῦται.'

τοῖς τοιούτοις κακοῖς] Ficinus vertit, *annon hujuscemodi malis plura insuper incurrit vir ille.* Ni fallor, dativi in genitivos mutandi sunt: Nonne hujuscemodi malorum, quæ in hominem tyrannicum cadunt, plura ei contingunt, qui non solum per se, sed etiam in civitate administranda tyrannus est? Verba τὸν τυραννικὸν epexegesi inserviunt ut p. 583. E. ὃ μεταξὺ ἄρα νῦν δὴ ἀμφοτέρων ἔφαμεν εἶναι τὴν ἡσυχίαν. Protag. 313. A. ὃ δὲ περὶ πλείονος τοῦ σώματος ἡγεῖ τὴν ψυχήν. Vid. Heind. ad Gorg. §. 85. Sine causa Stephanus scribi volebat οἷον. Ast.

ὃν νῦν δὴ] Rectius (ut opinor) scriberetur, οἷον νῦν δὴ etc. Loquitur autem de priore illo, de quo dictum fuerat, μακρῷ ἀθλιώτατον εἶναι τῶν ἄλλων: quo alium esse ἀθλιώτερον, dictum postea fuit. Steph.

ὁμοιότατα] Non debent fortassis su-

θέστατα λέγεις, ὦ Σώκρατες. Οὐκοῦν, ἦν δ' ἐγώ, ὦ φίλε Γλαύκων, παντελῶς τὸ πάθος ἄθλιον, καὶ τοῦ ὑπὸ σοῦ κριθέντος χαλεπώτατα[f] ζῆν χαλεπώτερον ἔτι ζῇ ὁ τυραννῶν; Κομιδῇ γ', ἔφη. Ἔστιν ἄρα τῇ ἀληθείᾳ, κἂν[g] εἰ μή τῳ δοκῇ, ὁ τῷ ὄντι τύραννος τῷ ὄντι δοῦλος τὰς μεγίστας θωπείας καὶ δουλείας[h] καὶ κόλαξ τῶν πονηροτάτων· καὶ τὰς ἐπιθυμίας[i] οὐδ' ὁπωστιοῦν[k] ἀποπιμπλὰς, ἀλλὰ πλείστων ἐπιδεέστατος καὶ πένης τῇ ἀληθείᾳ φαίνεται, ἐάν τις ὅλην ψυχὴν ἐπίστηται θεάσασθαι,[l] καὶ φόβου γέμων διὰ παντὸς τοῦ βίου σφαδασμῶν τε καὶ ὀδυνῶν πλήρης, εἴ περ τῇ τῆς πόλεως διαθέσει ἧς ἄρχει[m] ἔοικεν. ἔοικε δέ. ἦ[n] γάρ; Καὶ μάλα·[o] ἔφη. Οὐκοῦν καὶ πρὸς τούτοις[p] ἔτι[q] ἀποδώσομεν[r] τῷ ἀνδρὶ καὶ ἃ τὸ πρότερον εἴπομεν, ὅτι ἀνάγκη καὶ εἶναι καὶ ἔτι μᾶλλον γίγνεσθαι αὐτῷ ἢ πρότερον διὰ τὴν ἀρχὴν φθονερῷ, ἀπίστῳ, ἀδίκῳ, ἀφίλῳ, ἀνοσίῳ καὶ πάσης κακίας πανδοκεῖ τε καὶ τροφεῖ, καὶ ἐξ ἁπάντων τούτων μάλιστα μὲν αὐτῷ δυστυχεῖ εἶναι, ἔπειτα δὲ καὶ τοὺς πλησίον αὐτῷ τοιούτους ἀπεργάζεσθαι. Οὐδείς σοι, ἔφη, τῶν νοῦν[s] ἐχόντων ἀντερεῖ. Ἴθι δή μοι, ἔφην[t] ἐγώ, νῦν ἤδη ὥς περ ὁ διὰ πάντων κριτὴς ἀποφαίνεται, καὶ σὺ οὕτω, τίς πρῶτος κατὰ τὴν σὴν δόξαν εὐδαιμονίᾳ καὶ[u] τίς δεύτερος, καὶ τοὺς ἄλλους ἑξῆς πέντε ὄντας κρῖναι,[v] βασιλικόν, τιμοκρατικόν, ὀλιγαρχικόν, δημοκρατικόν, τυραννικόν.

II. 580.

III. i. 442.

[e] τε om K.—[f] χαλεπώτατα ζῆν om q.—[g] κἂν om q.—[h] ὄντι δὲ δοῦλος τὰς μεγίστας δουλείας καὶ θωπείας r.—[i] ἐπιθυμίας καὶ δουλείας ΘΠDKr.—[k] ὁτιοῦν r.—[l] ἐπιστῆται θεάσεσθαι v.—[m] ἄρχειν r.—[n] δέ ἦ om ΘDKqr.—[o] μάλ' r.—[p] τούτους r.—[q] ἔτι om Θr.—[r] ἀποδώσομεν v.—[s] ναῦν r.—[t] ἔφη r.—[u] καὶ ante τις add AΦ

perlativi δμοιότατα et ἀληθέστατα cum παντάπασιν jungi. Steph.

τὰς μεγίστας] Nisi putemus subaudiri κατὰ ante hos accusativos, aliquid deesse dicendum erit. Steph.

τὰς μεγίστας θωπείας] Ni fallor, legendum est τῆς μεγίστης θωπείας. Similiter Ficinus vertit, *extremæ adulationi servitutique adstrictus*. Accusativus solummodo intellecta præpositione κατὰ locum habere posset, quanquam aliter de hac re statuere videtur Matth. Gr. Gr. p. 572. De sententia, cf. Seneca de Clement. xiii. §. 2. Ast.

σφαδασμῶν] Expressit h. l. Tacit. Annal. vi. 6. 'Neque frustra præstantissimus sapientiæ firmare solitus est, si recludantur tyrannorum mentes, posse adspici laniatus et ictus, quando, ut corpora verberibus, ita sævitia, libidine, malis consultis animus dilaceretur.' In Etymolog. Magn. p. 737. 18. scribitur διὰ παντὸς βίου σφαδᾷ. Verbum σφαδάζειν eruditissime, ut solet, illustravit Ruhnken. ad Tim. p. 242. Ast.

Ἴθι δή μοι] Laudat Stob. xli. p. 265. usque ad τῆς πόλεως, ubi scribitur καὶ τίς δεύτερος. Ast.

Ἀλλὰ ῥᾳδία, ἔφη, ἡ κρίσις. καθά περ γὰρ εἰσῆλθον, ἔγωγε ὡς περ χοροὺς κρίνω,[w] ἀρετῇ καὶ κακίᾳ καὶ εὐδαιμονίᾳ καὶ τῷ ἐναντίῳ. Μισθωσώμεθα[x] οὖν κήρυκα, ἢν δ' ἐγώ,[y] ἢ αὐτὸς ἀνείπω[z] ὅτι ὁ[a] Ἀρίστωνος υἱὸς τὸν ἄριστόν τε καὶ δικαιότατον εὐδαιμονέστατον ἔκρινε, τοῦτον δ' εἶναι τὸν βασιλικώτατον καὶ βασιλεύοντα[b] αὐτοῦ, τὸν δὲ κάκιστόν τε καὶ ἀδικώτατον ἀθλιώτατον, τοῦτον δὲ[c] αὖ τυγχάνειν ὄντα ὃς ἂν τυραννικώτατος ὢν ἑαυτοῦ τε ὅτι μάλιστα τυραννῇ καὶ τῆς πόλεως; Ἀνειρήσθω σοι, ἔφη. Ἦ[d] οὖν προσαναγορεύω,[e] εἶπον, ἐάν τε λανθάνωσι τοιοῦτοι
ΧΙΙ. i. 443. ὄντες ἐάν τε μὴ[f] πάντας ἀνθρώπους τε καὶ θεούς; Προσαναγόρευε,[g] ἔφη.

Εἶεν δή, εἶπον· αὕτη μὲν ἡμῖν[h] ἡ ἀπόδειξις μία ἂν εἴη. δευτέραν δὲ δεῖ[i] τήνδε, ἐάν τι[k] δόξῃ, εἶναι. Τίς αὕτη; [§. 7.] Ἐπειδή, ὥς περ πόλις, ἦν δ' ἐγώ, διήρηται κατὰ τρία εἴδη, οὕτω καὶ ψυχὴ ἑνὸς ἑκάστου τριχῇ, δέξεται,[l] ὡς ἐμοὶ δοκεῖ, καὶ ἑτέραν ἀπόδειξιν. Τίνα ταύτην; Τήνδε. Τριῶν ὄντων τριτταὶ καὶ ἡδοναί μοι φαίνονται,[m] ἑνὸς ἑκάστου μία ἰδία·[n] ἐπιθυμίαι τε ὡσαύτως καὶ[o] ἀρχαί. Πῶς λέγεις; ἔφη. Τὸ μέν, φαμέν,[p] ἦν[q] ᾧ μανθάνει ἄνθρωπος, τὸ δὲ ᾧ θυμοῦται· τὸ δὲ τρίτον διὰ πολυειδίαν ἐνὶ οὐκ ἔσχομεν ὀνόματι προσειπεῖν[r] ἰδίῳ αὐτοῦ, ἀλλὰ ὃ μέγιστον καὶ ἰσχυ-

δ

m.—[v] κρῖνε ΞΦKm.—[w] κρίνων DK.—[x] μισθωσάμεθα v.—[y] ἦν δ' ἐγὼ κήρυκα q.—[z] ἀνείπω ΑΞΦqmr, ἐνείπω v: ἂν εἴπω *s.—[a] ὁ om v.—[b] καὶ τὸν βασ. Ξ.—[c] δ' r.—[d] εἶ v.—[e] προσαναγορεύω ΑΞv, προαγορεύω Θ: προσαγορεύω *s.—[f] τε καὶ μὴ Ξm.—[g] προσαναγόρευε ΑΘΞΠvr: προσαγόρευε *s.—[h] ἡμῖν om K.—[i] δεῖ δὲ ΑΘΠDvm.—[k] τοι Φ, σοι rc q.—[l] τὸ λογιστικὸν δέξεται A, λογιστικὸν δέξεται ΘΠΦDm, λογιστικὴ δέξεται q, λογιστικὸν ἐπιθυμητικὸν θυμικὸν δέξεται K.—[m] φαίνεται εἶναι K.—[n] ἰδίαι A.—[o] καὶ αἱ Φ, αἱ v.—[p] φαμεν om qv.—[q] ἦν δ' ἐγὼ Θr.—[r] προσειπεῖν

ἡ κρίσις] Sine articulo Stobæus. Ast.

Ἀρίστωνος υἱὸς τὸν ἄριστον] Paronomasia est, satis frequens illa apud Platonem; vid. nostra ad Phædr. p. 276. Ast.

ἀδικώτατον] Abest a Bas. 2. Ast.

προσαγορεύω] In quodam vet. προσαναγορεύω, itidemque paulo post προσαναγόρευε. quæ vera est lectio: quum τοῦ κήρυκος (cujus officio vult fungi) sit ἀναγορεύειν. Dicit autem προσαναγορεύω, ultra illud videlicet quod ἀνηγόρευσα. Stephanus.

προσαναγορεύω] Ut sequens προσαναγόρευε, e Bas. 2. recepimus, assentiente Stephano, qui recte monet: 'τοῦ κήρυκος est ἀναγορεύειν: dicit autem προσαναγορεύω, ultra illud videlicet, quod ἀνηγόρευσα.' Ast.

§. 7. διήρηται κατὰ τρία εἴδη] Maxim. Tyr. Dissert. xxii. 5. p. 267. τριῶν δὲ πολιτειῶν τρία τ' αὖ μιμήματα βίων ἴδοις ἂν ἐν ἀνθρώπου ψυχῇ. Vid. Jamblich. apud Stob. xliv. p. 316. Themist. Orat. ii. p. 35. et Alcinoi doctrin. Platon. 33. Ast.

ρότατον εἶχεν ἐν αὐτῷ, τούτῳ[s] ἐπωνομάσαμεν. ἐπιθυμητικὸν γὰρ αὐτὸ[t] κεκλήκαμεν διὰ σφοδρότητα τῶν[u] περὶ τὴν[v] ἐδωδὴν[w] ἐπιθυμιῶν καὶ πόσιν καὶ ἀφροδίσια καὶ ὅσα ἄλλα τούτοις ἀκόλουθα, καὶ φιλοχρήματον δή, ὅτι διὰ χρημάτων μάλιστα ἀποτελοῦνται αἱ τοιαῦται ἐπιθυμίαι. Καὶ II. 581.
ὀρθῶς γ', ἔφη. Ἆρ' οὖν καὶ τὴν ἡδονὴν αὐτοῦ καὶ φιλίαν εἰ φαῖμεν[x] εἶναι τοῦ κέρδους, μάλιστ' ἂν εἰς ἓν κεφάλαιον ἀπερειδοίμεθα τῷ λόγῳ, ὡς τέ τι ἡμῖν αὐτοῖς δηλοῦν, ὁπότε III. i. 444.
τοῦτο τῆς ψυχῆς τὸ μέρος λέγοιμεν; καὶ[y] καλοῦντες[z] αὐτὸ φιλοχρήματον[a] καὶ φιλοκερδὲς ὀρθῶς[b] ἂν καλοῖμεν;
Ἐμοὶ γοῦν δοκεῖ, ἔφη. Τί δέ; τὸ[c] θυμοειδὲς οὐ πρὸς τὸ κρατεῖν μέντοι[d] φαμὲν καὶ νικᾶν καὶ εὐδοκιμεῖν ἀεὶ[e] ὅλον ὁρμῆσθαι;
Καὶ μάλα. Εἰ οὖν φιλόνεικον[f] αὐτὸ καὶ φιλότιμον προσαγορεύοιμεν,[g] ἦ ἐμμελῶς ἂν ἔχοι;
Ἐμμελέστατα μὲν οὖν. Ἀλλὰ μὴν ᾧ γε μανθάνομεν, παντὶ[h] δῆλον ὅτι[i] πρὸς τὸ εἰδέναι τὴν ἀλήθειαν ὅπῃ[k] ἔχει[l] πᾶν ἀεὶ τέταται,[m] καὶ χρημάτων τε καὶ δόξης ἥκιστα τούτων τούτῳ μέλει.
Πολύ γε. Φιλομαθὲς δὴ[n] καὶ φιλόσοφον καλοῦντες αὐτὸ κατὰ τρόπον ἂν καλοῖμεν;
Πῶς γὰρ οὔ;
Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ ἄρχει ἐν ταῖς ψυχαῖς τῶν[o] μὲν τοῦτο, τῶν δὲ τὸ ἕτερον ἐκείνων, ὁπότερον ἂν τύχῃ;[p]
Οὕτως, ἔφη. Διὰ ταῦτα δὴ καὶ ἀνθρώπων λέγωμεν[q] τὰ πρῶτα τριττὰ γένη εἶναι, φιλόσοφον, φιλόνεικον,[r] φιλοκερδές;
Κομιδῇ γε. Καὶ ἡδονῶν δὴ[s] τρία εἴδη, ὑποκείμενον[t] ἓν[u] ἑκάστῳ[v] τούτων;
Πάνυ γε. Οἶσθ' οὖν, ἦν δ' ἐγώ, ὅτι εἰ ἐθέ-

ὀνόματι q.—[s] τοῦτῳ Κ, τοῦτο rm.—[t] αὐτοῦ r.—[u] post τῶν omisi τε cum ΑΦm et pr Ξ.—[v] τὴν add ΑΘΠΦDKqrmr.—[w] ἡδονὴν DK.—[x] φαμὲν ΘΠDKrr, φῶμεν q.—[y] καὶ om ΘKqr.—[z] φιλοῦντες m.—[a] αὐτὸ καὶ φιλοχρήματον Θr.—[b] ἆρ' ὀρθῶς q.—[c] τὸ om q.—[d] μέν τι s.—[e] ἀεὶ ΑΦm, δεῖ ΘΞΠDKq, om v: δεῖν s.—[f] φιλόνικον q.—[g] προσαγορεύομεν r.—[h] παντὶ om Θr.—[i] ἔφη D, ἔφην Kq, om Θr.—[k] ὅποι Ξ.—[l] ἔχοι Φ.—[m] τέταται ΑΘΠDKqr: τέτακται *s.—[n] δὲ Ξ.—[o] τῶν...τῶν] τὸν... τὸν m.—[p] τύχοι ΘΞΦ, τύχοι Κ.—[q] λέγωμεν ΑΠ: λέγομεν *s.—[r] φιλόνικον Ξq.—[s] γε Θrr.—[t] ὑποκείμενα ΞΦm.—[u] ἑνὶ Φ.—[v] ἓν ἕκαστον corr q.—[w] ἐθέλεις Ξ, θέ-

ἐν αὐτῷ] E Cod. Reg. recepimus, et τοῦτο pro τούτῳ. Vid. nostra ad Phædr. p. 257. Ast.

δεῖν] Ald. Bas. 1. et 2. δεῖ. Mox Ald. et Bas. 1. καλοῦντε. Ast.

τύχῃ] Cod. Reg. τύχοι, superscripto τύχῃ. Ast.

λοις[w] τρεῖς τοιούτους ἀνθρώπους ἐν μέρει ἕκαστον ἀνερωτᾷν[x] τίς τούτων τῶν βίων ἥδιστος, τὸν ἑαυτοῦ ἕκαστος[y] μάλιστα[z] ἐγκωμιάσεται; ὅ τε[a] χρηματιστικὸς πρὸς τὸ[b] κερδαίνειν
xii. i. 445. τὴν τοῦ τιμᾶσθαι ἡδονὴν ἢ τὴν τοῦ μανθάνειν οὐδενὸς ἀξίαν φήσει εἶναι, εἰ μὴ εἴ τις[c] αὐτῶν ἀργύριον ποιεῖ.[d] Ἀληθῆ, ἔφη. Τί δὲ ὁ φιλότιμος; ἦν δ' ἐγώ· οὐ τὴν μὲν ἀπὸ τῶν[e] χρημάτων ἡδονὴν φορτικήν τινα ἡγεῖται, καὶ αὖ τὴν ἀπὸ τοῦ μανθάνειν, ὅ τι μὴ μάθημα τιμὴν φέρει,[f] καπνὸν καὶ[g] φλυαρίαν;[h] Οὕτως, ἔφη, ἔχει.[i] Τὸν δὲ φιλόσοφον, ἦν δ' ἐγώ, ποιώμεθα τὰς ἄλλας ἡδονὰς νομίζειν[k] πρὸς τὴν τοῦ εἰδέναι τἀληθὲς ὅπῃ[l] ἔχει[m] καὶ ἐν τῷ[n] τοιούτῳ τινὶ ἀεὶ εἶναι μανθάνοντα, τῆς ἡδονῆς οὐ πάνυ πόρρω καὶ καλεῖν[o] τῷ ὄντι ἀναγκαίας, ὡς[p] οὐδὲν τῶν ἄλλων δεόμενον, εἰ μὴ ἀνάγκη ἦν.[q] Εὖ, ἔφη, δεῖ εἰδέναι. [§. 8.] Ὅτε δὴ οὖν, εἶπον, ἀμφισβητοῦνται[r] ἑκάστου τοῦ εἴδους[s] αἱ ἡδοναὶ καὶ

λεις ΘΦΚν: θέλοις *ς.—[x] ἐρωτᾶν m.—[y] ἕκαστος τὸν ἑαυτοῦ ἥδιστον v.—[z] μάλ. ἕκαστος Θν.—[a] ὅτι v.—[b] τὸ Κ.—[c] εἴ τι ΘΞΚνr, pr D, rc ΠΦm, qui pr om εἴ.—[d] ποιεῖν Ξ, ποιοῖ q.—[e] τῶν om v.—[f] φέρει ΑΠΦΒΚqvm: φέροι *ς.—[g] καπνὸν καὶ ΑΘΞΠΦqvmr, καπνὸν δὲ καὶ Κ: καπνὸν δὴ καὶ *ς.—[h] φλυαρίαν οἰόμενος νr cum rc Ξ et s, φλυαρίαν ἡγούμενος q.—[i] ἔχει ἔφη Κ.—[k] νομίζειν πρὸς ΑΠΦΒΚqvm: νομίζειν οὐδὲν πρὸς *ς.—[l] ὅποι r.—[m] ἔχοι ΘΦ.—[n] τῷ om ΦΒΚqmr.—[o] πόρρω τὰς δ' ἄλλας καλεῖν s.—[p] ἕως v.—[q] ἦ r.—[r] ἀμφισβητοῦσί τε Ξ.—[s] βίου Ξ.—[t] ὅτι om v.

εἰ μὴ εἴ τις] Sic Gorg. 480. B. εἰ μὴ εἴ τις ὑπολάβοι. Sympos. c. 31. p. 205. E. εἰ μὴ εἴ τις τὸ μὲν ἀγαθὸν οἰκεῖον καλεῖ al. Vulgo εἰ μή, εἴ τις, quod e Cod. Reg. correximus. Ficinus, *nisi quid forsan ad argentum conferant*. Ast.

ὅτι] Scribo ὅ,τι: et implicita esse verba puto, non aliter intelligens quam si ita collocata essent, καπνὸν δὴ καὶ φλυαρίαν οἰόμενος μάθημα ὅ,τι μὴ τιμὴν φέροι. Sic autem et alibi φλυαρίας appellatione utitur. Steph.

ὅτι μὴ] I. q. *nisi, præterquam;* hæc explicationis causa interposita sunt, quocirca sequentia οἰόμενος καπνὸν cet. trahenda ad prægressum τὴν (ἡδονὴν) ἀπὸ τοῦ μανθάνειν. Ὅτι μὴ satis frequens est, sed nondum ita expositum, ut acquiescere possis. Hermannus ὅτι μὴ ex his, οὐδὲν ὅτι μή, *nihil quod non*, ortum esse censet, ad Viger. p. 804. et Heind. ad Phædon. §. 31. distinguit ὅτι μὴ (i. q. καθόσον) et ὅτι μή, *nisi;* utrumque haud satis recte. Ni fallor, ὅτι μὴ est proprie *ut non*, h. e. *nisi*, præterquam, ut Xenoph. Anabas. vi. 2. §. 6. μὴ ἀναγκάζειν πόλιν Ἑλληνίδα καὶ φιλίαν, ὅτι μὴ αὐτοὶ ἐθέλοντες διδοῖεν. Phædon. 67. A. ὅτι (sic scribendum, non ὅ,τι) μὴ πᾶσα ἀνάγκη. Crit. 52. B. ὅτι μὴ ἅπαξ εἰς Ἰσθμόν. Ælian. Var. Hist. ii. 10. ὅτι μὴ ἐν τούτοις. Ast.

φέροι] E Cod. Reg. ita reposui pro φέροι. Ceterum minus recte Ficinus vertit: *quia doctrina honorem non affert;* et Stephanus sine causa ὅ, τι μὴ scribi volebat. Ast.

ἀναγκαίας] Contrariam lectionem sequutus est etiam Fic. quippe qui vertat itidem, *non necessarias*. Quæ tamen subjunguntur, pro hac nostra facere videntur. Steph.

εἰ μὴ ἀνάγκη] Vid. Phædon. 67. A. Ast.

§. 8. ὅτε δὴ οὖν] Laudat Galen. de Hippocrat. et Plat. Placit. vi. p. 289. v. 49. ubi ὅτι et ἑκάστου εἴδους scribitur. Ast.

αὐτὸς ὁ βίος, μὴ ὅτι[t] πρὸς τὸ κάλλιον[u] καὶ αἴσχιον ζῆν μηδὲ τὸ χεῖρον καὶ ἄμεινον, ἀλλὰ πρὸς αὐτὸ τὸ ἥδιον[v] καὶ ἀλυπότερον,[w] πῶς ἂν εἰδεῖμεν[x] τίς αὐτῶν[y] ἀληθέστατα λέ- II. 582.
γει;[z] Οὐ πάνυ, ἔφη, ἔγωγε ἔχω εἰπεῖν.[a] Ἀλλ' ὧδε σκόπει. τίνι χρὴ κρίνεσθαι τὰ μέλλοντα καλῶς κριθήσεσθαι; ἆρ' οὐκ ἐμπειρίᾳ τε καὶ φρονήσει καὶ λόγῳ; ἢ τούτων ἔχοι ἄν τις βέλτιον κριτήριον; Καὶ πῶς ἄν; ἔφη. Σκόπει δή. τριῶν ὄντων τῶν ἀνδρῶν τις ἐμπειρότατος πασῶν ὧν εἴπομεν ἡδονῶν; πότερον ὁ φιλοκερδής, μανθάνων αὐτὴν τὴν ἀλήθειαν III. i. 446
οἷόν ἐστιν, ἐμπειρότερος[b] δοκεῖ σοι εἶναι τῆς ἀπὸ τοῦ εἰδέναι ἡδονῆς, ἢ ὁ[c] φιλόσοφος[d] τῆς ἀπὸ τοῦ κερδαίνειν; Πολύ, ἔφη, διαφέρει. τῷ μὲν γὰρ ἀνάγκη γεύεσθαι τῶν ἑτέρων ἐκ παιδὸς[e] ἀρξαμένῳ· τῷ δὲ φιλοκερδεῖ, ὅπῃ πέφυκε τὰ ὄντα μανθάνοντι,[f] τῆς ἡδονῆς ταύτης, ὡς γλυκεῖά ἐστιν, οὐκ ἀνάγκη γεύεσθαι οὐδ' ἐμπείρῳ γίγνεσθαι, μᾶλλον δὲ καὶ προθυμουμένῳ οὐ ῥᾴδιον. Πολὺ ἄρ', ἦν δ' ἐγώ, διαφέρει τοῦ γε φιλοκερδοῦς ὁ φιλόσοφος ἐμπειρίᾳ[g] ἀμφοτέρων τῶν ἡδονῶν. Πολὺ μέντοι. Τί δὲ τοῦ φιλοτίμου; ἆρα μᾶλλον ἄπειρός[h] ἐστι τῆς ἀπὸ τοῦ τιμᾶσθαι ἡδονῆς ἢ ἐκεῖνος τῆς ἀπὸ τοῦ φρονεῖν; Ἀλλὰ τιμὴ μέν,[i] ἔφη, ἐάν περ ἐξεργάζωνται ἐπί ὃ ἕκαστος ὥρμηκε, πᾶσιν αὐτοῖς ἕπεται· καὶ

—[u] κάλλιστον Ξ.—[v] ἴδιον Φ.—[w] ἀλυπότατον Φγ.—[x] εἰδείημεν Θγ, εἰδοῖμεν q.—[y] αὐτῶ γ.—[z] λέγοι Θγ.—[a] σκοπεῖν γ.—[b] ἐμπειρότατος DK.—[c] δ om υ.—[d] φιλοσοφώτατος K.—[e] παίδων Ξ.—[f] τὰ ὄντα μανθάνοντι om Θγ: τὰ ὄντι μ. Π, τὰ ὄ. μανθάνοντα K.—[g] ἐμπειρίᾳ μὲν K.—[h] ἄπειρός ΑΘΞΠΦγυπτ, ἄτιμός DK: ἔμπειρός

μὴ ὅτι] Nostrum *nicht etwa* (proprie: *es ist nicht zu denken, dass*). Post μὴ igitur verbum timendi, cogitandi al. intelligi debet. Exempla vide a Fischero ad Apolog. p. 157. laudata. Ast.

εἰδεῖμεν] Ald. Bas. 1. et 2. ᾔδειμεν. Galenus ἤδη μέν; et mox Galen. λέγει. Ast.

ἐμπειρότερος] Ald. Bas. 1. et 2. ἐμπειρότατος, sed sensus comparativum efflagitat, quem Ficinus quoque expressit. Ast.

τί δὲ τοῦ φιλοτίμου] Non puto desiderari aut subaudiendam relinqui particulam περί: sed intelligendum esse, τί δὲ τοῦ φιλοτίμου διαφέρει, hoc verbum διαφέρει ex præcedentibus repetendo. Posset autem fortassis et ita legi, τί δέ, τοῦ φιλοτίμου; subaudiendo itidem διαφέρει: quasi dicat τί δέ; πότερον ὥσπερ τοῦ φιλοκερδοῦς, οὕτω καὶ τοῦ φιλοτίμου διαφέρει; Sed tunc ἆρα perinde fuerit ac si diceretur, 'An potius dicendum fuerit?' vel, 'An contra dicendum fuerit?' Steph.

ἔμπειρος] In præced. edit. ἄπειρος: sed ἔμπειρος agnoscit et Ficinus. Steph.

ἔμπειρος] Ald. Bas. 1. et 2. ἄπειρος et Cod. Reg. ἀτιμός. Ast.

τιμὴ] In illa Basil. editione pro τιμὴ (quod in Aldina etiam est) legitur τί μήν: sed de altera illa lectione, quin genuina sit, nec precedentia nec sequentia dubitare sinunt. Steph. Bas. 2. τι μην. Ast.

γὰρ ὁ πλούσιος ὑπὸ πολλῶν τιμᾶται καὶ ὁ ἀνδρεῖος καὶ ὁ[k] σοφός, ὥς τε ἀπό γε τοῦ τιμᾶσθαι, οἷόν ἐστι, πάντες τῆς ἡδονῆς ἔμπειροι· τῆς δὲ τοῦ ὄντος θεᾶς, οἵαν ἡδονὴν ἔχει, ἀδύνατον ἄλλῳ γεγεῦσθαι πλὴν τῷ φιλοσόφῳ. Ἐμπειρίας μὲν ἄρα, εἶπον, ἕνεκα κάλλιστα τῶν ἀνδρῶν κρίνει[l] οὗτος.[m] Πολύ γε. Καὶ μὴν μετά γε φρονήσεως[n] μόνος ἔμπειρος γεγονὼς ἔσται. Τί μήν; Ἀλλὰ μὴν καὶ δι' οὗ
III. i. 447. γε[o] δεῖ ὀργάνου κρίνεσθαι, οὐ τοῦ φιλοκερδοῦς τοῦτο ὄργανον[p] οὐδὲ τοῦ φιλοτίμου, ἀλλὰ τοῦ φιλοσόφου. Τὸ ποῖον;[q] Διὰ λόγων που ἔφαμεν δεῖν κρίνεσθαι. ἦ γάρ; Ναί. Λόγοι δὲ τούτου μάλιστα ὄργανον. Πῶς δ' οὔ; Οὐκοῦν εἰ μὲν πλούτῳ καὶ κέρδει ἄριστα ἐκρίνετο τὰ κρινόμενα, ἃ ἐπῄνει ὁ φιλοκερδὴς καὶ ἔψεγεν, ἀνάγκη ἂν ἦν ταῦτα ἀληθέσταται εἶναι. Πολλή[r] γε. Εἰ δὲ τιμῇ[s] τε καὶ νίκῃ[t] καὶ ἀνδρίᾳ, ἆρ' οὐχ ἃ ὁ φιλότιμός τε καὶ ὁ φιλόνεικος;[u] Δῆλον. Ἐπειδὴ δ' ἐμπειρίᾳ καὶ φρονήσει καὶ λόγῳ; Ἀνάγκη, ἔφη, ἃ ὁ φιλόσοφός τε καὶ[v] ὁ φιλολόγος[w] ἐπαι-
II. 583. νεῖ, ἀληθέσταται εἶναι. Τριῶν ἄρα[x] οὐσῶν τῶν ἡδονῶν ἡ τούτου τοῦ μέρους τῆς ψυχῆς ᾧ μανθάνομεν ἡδίστη ἂν εἴη, καὶ ἐν ᾧ ἡμῶν τοῦτο[y] ἄρχει, ὁ τούτου βίος ἥδιστος; Πῶς δ' οὐ μέλλει; ἔφη· κύριος γοῦν ἐπαινέτης ὢν ἐπαινεῖ τὸν ἑαυτοῦ βίον ὁ φρόνιμος. Τίνα δὲ δεύτερον, εἶπον, βίον καὶ τίνα δευτέραν ἡδονήν φησιν ὁ κριτὴς εἶναι; Δῆλον ὅτι τὴν

*σ.—[l] τιμῇ μὲν *v* et corr Θ, τί μὴ corr *q*, τί μὴν ΑΞΠΦDKπν et pr Θ : τιμῇ *s*.—[k] ὁ ante σοφὸς om ΘΠDKντ.—[l] rectius videtur κρινεῖ.—[m] οὕτως A.—[n] σωφρονήσεως Πτ et notata prima syllaba Θ, erasa D : τῆς φρονήσεως Φ.—[o] δὲ *v*.—[p] τοῦτο ὄργανον λλή ΑΦυm : τοῦτο τὸ ὄργανον *σ.—[q] ποῖον δή Φ.—[r] πολύ Φ : πολλή...ἐπαι. α. εἶναι om τ.—[s] τιμή ms.—[t] νίκῃ καὶ ἀνδρείαι A : νίκῃ καὶ ἀνδρεία *σ.—[u] ὁ φιλόνεικός τε καὶ ὁ φιλότιμος K et (qui cum Ξν φιλόνικος) *q*. alterum ὁ add etiam ΑΠΦD.—[v] ὁ φιλόσοφός τε καὶ om *v*.—[w] φιλόλογος A, φιλόλογος ΠΦ.—[x] ἄρ' τ, ἄρ' m.—[y] τούτου

τιμῇ τε καὶ νίκῃ] Mutandi sunt hi tres nominativi in tres dativos, τιμῇ τε καὶ νίκῃ καὶ ἀνδρείᾳ, repetendo ἐκρίνετο τὰ κρινόμενα: quæ junguntur itidem cum dativis πλούτῳ καὶ κέρδει. Steph. Recte Steph. Ast.

ἀνάγκη ἃ ὁ] Vulgo legitur ἀνάγκη, ἔφη, quum tamen hæc Socratis verba sint, et orationis nexus postulet, ut Ἀνάγκη, ἔφη, ante Τριῶν ἄρα ut responsio ponatur; et ex his Ἀνάγκη, ἔφη illud ἔφη post ἀνάγκη in Socratis oratione sine ulla dubitatione fluxit. Etiam Ficinus in responsione habet, *Liquet*. Socr. *Postquam vero* cet. Ast.

κύριος] Suspicari possit quispiam legisse aliter Ficinum; nam et ipse vertit, *nempe philosophus, apud quem vere*

τοῦ πολεμικοῦ τε καὶ φιλοτίμου· ἐγγυτέρω γὰρ αὐτοῦ ἐστὶν ἢ ἡ τοῦ χρηματιστοῦ.[z] Ὑστάτην[a] δή[b] τὴν τοῦ φιλοκερδοῦς, ὡς ἔοικεν. Τί μήν; ἦ δ' ὅς.

§. 9. Ταῦτα μὲν τοίνυν οὕτω δύ' ἐφεξῆς ἂν εἴη καὶ δὶς νενικηκὼς ὁ δίκαιος τὸν ἄδικον· τὸ δὲ τρίτον ὀλυμπικῶς τῷ III. i. 448.
σωτῆρί τε καὶ τῷ Ὀλυμπίῳ Διί, ἄθρει ὅτι οὐδὲ παναληθής ἐστιν ἡ τῶν ἄλλων ἡδονὴ πλὴν τῆς τοῦ φρονίμου, οὐδὲ καθαρά, ἀλλ' ἐσκιαγραφημένη[c] τις, ὡς ἐγὼ δοκῶ[d] μοι τῶν σοφῶν τινὸς ἀκηκοέναι. καί τοι τοῦτ' ἂν εἴη μέγιστόν[e] τε καὶ κυριώτατον τῶν πτωμάτων. Πολύ γε· ἀλλὰ πῶς λέγεις; Ὧδ', εἶπον, ἐξευρήσω, σοῦ ἀποκρινομένου ζητῶν ἅμα. Ἐρώτα δή, ἔφη. Λέγε δή, ἦν δ' ἐγώ· οὐκ ἐναντίον φαμὲν λύπην ἡδονῇ; Καὶ μάλα. Οὐκοῦν καὶ τὸ μήτε χαίρειν μήτε λυπεῖσθαι εἶναί τι; Εἶναι μέντοι. Μεταξὺ τούτοιν ἀμφοῖν ἐν μέσῳ ὂν ἡσυχίαν τινὰ περὶ ταῦτα τῆς ψυχῆς; ἢ οὐχ οὕτως[f] αὐτὸ λέγεις; Οὕτως, ἦ δ' ὅς. Ἆρα οὖν[g] μνημονεύεις, ἦν δ' ἐγώ, τοὺς[h] τῶν καμνόντων λόγους, οὓς λέγουσιν ὅταν κάμνωσιν. Ποίους; Ὡς οὐδὲν ἄρα[i] ἐστὶν ἥδιον τοῦ ὑγιαίνειν, ἀλλὰ σφᾶς ἐλελήθει,[k] πρὶν κάμνειν, ἥδιστον ὄν. Μέμνημαι, ἔφη. Οὐκοῦν καὶ τῶν περιῳδυνίᾳ τινὶ ἐχομένων ἀκούεις λεγόντων ὡς οὐδὲν ἥδιον[l] τοῦ παύσασθαι[m] ὀδυνώμενον; Ἀκούω. Καὶ ἐν ἄλλοις γε, οἶμαι,[n] πολλοῖς τοιούτοις αἰσθάνει γιγνομένους τοὺς ἀνθρώπους, ἐν οἷς ὅταν λυπῶνται, τὸ μὴ λυπεῖσθαι καὶ τὴν III. i. 449.

Κ.—[z] αὐτῷ ἢ ἡ τοῦ χρηματιστικοῦ υ.—[a] ὑστάτου τ.—[b] δὴ ΑΘΠDKq: δὲ *σ.—[c] ἐσκιατραφημένη Kq.—[d] δοκεῖ Θ.—[e] εἴη τὸ μέγιστόν Φ.—[f] οὗτος Ξ.—[g] ἆρ' οὐ mt, ἄρ' οὖν τ.—[h] τοὺς om τ.—[i] ἄρ' τ.—[k] ἐλανθάνει Ξm.—[l] ἧδιον Θ.—[m] παῦσαι Θ.—

judicandi est auctoritas, suam laudat vitam. Steph.

ἢ δῆλον] ἢ inserui, quoniam sermo Platonis efflagitat. De sententia, cf. Philebus. Ast.

§. 9. τὸ δὲ τρίτον—Διΐ] Tertio, et quidem postremo. Τὸ τρίτον s. τὸν τρίτον κρατῆρα τῷ Σωτῆρι (postremus enim calix Jovi Servatori dicabatur; hinc πλήρωμα vocabatur, vid. Archestrat. apud Athen. i. 52. p. 29. B. xv. p. 675. C. Cf. Diodor. Sic. iv. 3. p. 249. not. Wesseling.) proverbialiter dicitur de re jam perficienda et absolvenda. Schol. ad Charmid. p. 92. τὸ τρίτον τῷ Σωτῆρι ἐπὶ τῶν τελείως τι πραττόντων· τὰς γὰρ τρίτας σπονδὰς καὶ τὸν τρίτον κρατῆρα ἐκίρνων τῷ Διΐ τῷ Σωτῆρι· τέλειος γὰρ ὁ τρίτος ἀριθμὸς, ἐπειδὴ καὶ ἀρχὴν καὶ μέσην καὶ τέλος ἔχει. Hinc τὸ τρίτον τῷ Σωτῆρι Phileb. 66. D. Charmid. 167. B. Epist. vii. 340. A. Cf. Hesych. v. τρίτος κρατὴρ ibique interpp. Pierson. ad Mœr. p. 72. et Heind. ad Charm. p. 93. Ast.

ἐξευρήσω] Bas. 2. ἐξερευνήσω. Ficinus: *Ita certe inveniam.* Ast.

ἡσυχίαν τοῦ τοιούτου ἐγκωμιάζουσιν ὡς ἥδιστον, οὐ[o] τὸ χαίρειν. Τοῦτο γάρ, ἔφη, τότε ἡδὺ ἴσως καὶ[p] ἀγαπητὸν γίγνεται, ἡσυχία. Καὶ ὅταν παύσηται ἄρα, εἶπον, χαίρων τις, ἡ τῆς ἡδονῆς ἡσυχία λυπηρὸν ἔσται. Ἴσως, ἔφη. Ὃ μεταξὺ ἄρα νῦν δὴ ἀμφοτέρων ἔφαμεν[q] εἶναι, τὴν ἡσυχίαν, τοῦτό ποτε ἀμφότερα ἔσται, λύπη τε καὶ ἡδονή. Ἔοικεν. Ἦ καὶ δυνατὸν τὸ μηδέτερα ὂν ἀμφότερα γίγνεσθαι; Οὔ μοι δοκεῖ. Καὶ μὴν τό γε ἡδὺ ἐν ψυχῇ γιγνόμενον καὶ τὸ λυπηρὸν κίνησίς τις ἀμφοτέρω[r] ἐστόν.[s] ἦ
II. 584. οὔ; Ναί. Τὸ δὲ μήτε[t] λυπηρὸν μήτε ἡδὺ οὐχὶ ἡσυχία μέντοι καὶ ἐν μέσῳ τούτοιν ἐφάνη ἄρτι; Ἐφάνη γάρ. Πῶς οὖν ὀρθῶς ἔστι τὸ[u] μὴ ἀλγεῖν ἡδὺ ἡγεῖσθαι ἢ τὸ μὴ χαίρειν ἀνιαρόν; Οὐδαμῶς. Οὐκ ἔστιν ἄρα τοῦτο, ἀλλὰ φαίνεται, ἦν δ' ἐγώ, παρὰ τὸ ἀλγεινὸν ἡδὺ καὶ παρὰ τὸ ἡδὺ ἀλγεινὸν τότε ἡ ἡσυχία, καὶ οὐδὲν ὑγιὲς τούτων τῶν φαντασμάτων πρὸς ἡδονῆς ἀλήθειαν, ἀλλὰ γοητεία τις. Ὡς γοῦν ὁ λόγος, ἔφη, σημαίνει. Ἰδὲ τοίνυν, ἦν[v] δ'[w] ἐγώ, ἡδονὰς αἳ οὐκ ἐκ λυπῶν εἰσίν, ἵνα μὴ πολλάκις οἰηθῇς[x] ἐν
III. i. 450. τῷ παρόντι οὕτω τούτων[y] πεφυκέναι, ἡδονὴν μὲν παῦλαν λύπης εἶναι, λύπην δὲ ἡδονῆς. Ποῦ δή, ἔφη, καὶ ποίας λέγεις; Πολλαὶ μέν, εἶπον, καὶ ἄλλαι, μάλιστα δ' εἰ θέλεις ἐννοῆσαι τὰς περὶ τὰς ὀσμὰς[z] ἡδονάς. αὖται γὰρ οὐ προλυπηθέντι ἐξαίφνης ἀμήχανοι τὸ μέγεθος γίγνονται, παυσάμεναί τε λύπην οὐδεμίαν καταλείπουσιν. Ἀληθέστατα, ἔφη. Μὴ ἄρα πειθώμεθα καθαρὰν ἡδονὴν[a] εἶ-

[n] γε οἶμαι om r.—[o] ὃν οὐ Ξm, ὃν νr.—[p] καὶ...ἔφη om Θr, καὶ...ἴσως om ΠDKq.—[q] ἔφαμεν ἀμφοτίρων q.—[r] ἀμφοτέρων ΞΦKm.—[s] ἐστιν Φ, ἐστὶν r.—[t] μήτε λυπηρὸν in mg habet Θ, tanquam ante οὐχ (ita enim scribit) omissa.—[u] ἐστὶ λέγειν τὸ v.—[v] ἦν q: ἔφην *s.—[w] δ' om Θr.—[x] οἰηθεὶς m.—[y] τοῦτο ΑΞΦνm.—[z] ὀδμὰς s.—

δ—εἶναι, τὴν ἡσυχίαν] Vid. ad c. 6. Ast.

ἀμφοτέρῳ] Cod. Reg. ἀμφοτέρων, male. Ast.

ὀρθῶς ἐστὶ] Rectius ὀρθόν ἐστι legetur. Sic autem ὀρθῶς pro ὀρθὸν in alio positum esse loco, in harum annotationum principio docui. Steph.

ὀρθῶς] Pro adjectivo positum, de quo jam exposuimus.—Mox ἀλγεῖν pro ἀλγεινὸν Ald. Bas. 1. et 2. Ast.

γοητεία] De vocis variis significationibus erudite, ut solet, disputavit Sturzius in Nov. Act. Societ. Lat. Jenens. vol. i. p. 75. Ast.

πολλάκις] *Forte*, vid. nostra ad Phædr. p. 260.—Mox τούτῳ Ald. Bas. 1. et 2. vitiose. Ast.

ὀσμὰς] Sic Cod. Reg. Vulgo ὀδμάς. Ast.

ναι τὴν[b] λύπης ἀπαλλαγήν, μηδὲ λύπην τὴν[c] ἡδονῆς. Μὴ γάρ. Ἀλλὰ μέντοι, εἶπον, αἵ γε[d] διὰ τοῦ σώματος ἐπὶ τὴν ψυχὴν τείνουσαι καὶ λεγόμεναι ἡδοναί, σχεδὸν αἱ πλεῖσταί τε καὶ μέγισται,[e] τούτου τοῦ εἴδους εἰσί, λυπῶν τινὲς ἀπαλλαγαί. Εἰσὶ γάρ. Οὐκοῦν καὶ αἱ περὶ[f] μελλόντων τούτων ἐκ προσδοκίας γιγνόμεναι προησθήσεις[g] τε καὶ προλυπήσεις κατὰ ταὐτὰ[h] ἔχουσιν; Κατὰ ταὐτά.[i] [§. 10.] Οἷσθ' οὖν, ἦν δ' ἐγώ, οἷαί εἰσι καὶ ᾧ μάλιστα ἐοίκασιν; Τῷ; ἔφη. Νομίζεις τι, εἶπον, ἐν τῇ φύσει εἶναι τὸ μὲν ἄνω, τὸ δὲ κάτω, τὸ δὲ μέσον; Ἔγωγε. Οἴει οὖν ἄν τινα ἐκ τοῦ κάτω φερόμενον πρὸς μέσον[k] ἄλλο τι οἴεσθαι ἢ ἄνω φέρεσθαι; καὶ ἐν μέσῳ στάντα, ἀφορῶντα ὅθεν ἐνήνεκται,[l] ἄλλοθί που ἂν ἡγεῖσθαι εἶναι ἢ ἐν τῷ ἄνω, μὴ ἑωρακότα τὸ ἀληθῶς[m] ἄνω; Μὰ Δί' οὐκ ἔγωγε,[n] ἔφη, ἄλλως οἶμαι οἰηθῆναι ἂν τὸν τοιοῦτον. Ἀλλ' εἰ πάλιν γ', ἔφην, φέροιτο, κάτω[o] τ' ἂν οἴοιτο φέρεσθαι καὶ ἀληθῆ οἴοιτο; Πῶς γὰρ οὔ; Οὐκοῦν ταῦτα πάσχοι ἂν πάντα διὰ τὸ μὴ ἔμπειρος εἶναι τοῦ ἀληθινῶς ἄνω τε ὄντος καὶ ἐν μέσῳ καὶ κάτω; Δῆλον δή. Θαυμάζοις ἂν οὖν εἰ καὶ ἄπειροι[p] ἀληθείας περὶ πολλῶν τε ἄλλων μὴ ὑγιεῖς δόξας ἔχουσι,[q] πρός τε ἡδονὴν καὶ λύπην καὶ τὸ μεταξὺ τούτων οὕτω διάκεινται, ὥστε ὅταν μὲν ἐπὶ τὸ λυπηρὸν φέρωνται, ἀληθῆ τε οἴονται καὶ τῷ ὄντι λυποῦνται, ὅταν δὲ ἀπὸ λύπης ἐπὶ τὸ μεταξύ, σφόδρα μὲν οἴονται πρὸς πληρώσει[r] τε καὶ ἡδονῇ γίγνεσθαι,[s] ὡς περ δὲ[t] πρὸς μέλαν φαιὸν[u] ἀποσκοποῦντες ἀπειρίᾳ λευκοῦ, καὶ πρὸς τὸ ἄλυπον οὕτω λύπην ἀφορῶντες ἀπειρίᾳ ἡδονῆς ἀπατῶνται; Μὰ Δί', ἦ δ' ὅς, οὐκ ἄν θαυμάσαιμι, ἀλλὰ πολὺ μᾶλλον εἰ μὴ οὕτως ἔχοι.[v] Ὧδε γοῦν,[w] εἶπον, ἐννόει. οὐχὶ πεῖνα[x] καὶ δίψα[y]

III. i. 451.

II. 585.

[a] πειθ. καθ. ἡδ. om v.—[b] τῆς r.—[c] τῆς ΞΦmr.—[d] αἵτε r.—[e] καὶ μέγισταί τε ΠDK v, καὶ μέγισταί γε q, καὶ μέγισται r.—[f] πρὸ ΑΠΦDKqvm.—[g] προησθήσεις ΑΘΠDK qvmr: προαισθήσεις *s.—[h] ταῦτα q.—[i] Κατὰ ταυτά om Θr.—[k] πρὸς τὸ μέσον Ξs.—[l] ἐνήνεγκται q.—[m] τὸ ἀληθῶς ΑΘΠΦDKvmr, τὸ ἀληθὲς q: τὸ ὡς ἀληθῶς Ξs.—[n] ἔγωγ' vr.—[o] κάτω bis ponit s.—[p] καὶ οἱ ἄπειροι r.—[q] ἔχωσι r.—[r] πλήρωσιν...ἡδονὴν DKq et corr Π.—[s] καὶ γίγνεσθαι DK, φέρεσθαι q.—[t] δὲ add q.—[u] φαιὸν μέλαν corr

§. 10. οὕτω] Hæc vox post ὥσπερ est eadem ratione. Asт.

οὐχὶ πεῖνα] Laudat Stob. iv. p. 61. usque ad ἀρετῆς. Asт.

καὶ τοιαῦτα κενώσεις τινές[z] εἰσι τῆς περὶ τὸ σῶμα ἕξεως;
III. i. 452. Τί μήν; Ἄγνοια δὲ καὶ ἀφροσύνη ἆρ' οὐ κενότης ἐστὶ τῆς περὶ[a] ψυχὴν[b] αὖ[c] ἕξεως; Μάλα γε. Οὐκοῦν πληροῖτ'[d] ἂν ὅ τε τροφῆς μεταλαμβάνων καὶ ὁ νοῦν ἴσχων; Πῶς δ' οὔ; Πλήρωσις δὲ ἀληθεστέρα τοῦ ἧττον ἢ τοῦ μᾶλλον ὄντος; Δῆλον ὅτι τοῦ μᾶλλον. Πότερα οὖν ἡγεῖ τὰ γένη μᾶλλον καθαρᾶς οὐσίας μετέχειν, τὰ[e] οἷον[f] σίτου τε καὶ ποτοῦ καὶ ὄψου καὶ ξυμπάσης τροφῆς, ἢ τὸ δόξης τε ἀληθοῦς εἶδος καὶ ἐπιστήμης καὶ νοῦ καὶ ξυλλήβδην ἁπάσης[g] ἀρετῆς; ὧδε δὲ κρῖνε.[h] τὸ τοῦ ἀεὶ ὁμοίου ἐχόμενον καὶ ἀθανάτου καὶ ἀληθείας, καὶ αὐτὸ[i] τοιοῦτον οὖν[k] καὶ ἐν τοιούτῳ[l] γιγνόμενον, μᾶλλον[m] εἶναί σοι δοκεῖ, ἢ τὸ μηδέποτε ὁμοίου καὶ θνητοῦ, καὶ αὐτὸ[n] τοιοῦτον[o] καὶ ἐν τοιούτῳ[p] γιγνόμενον; Πολύ, ἔφη, διαφέρει τὸ τοῦ ἀεὶ ὁμοίου. Ἡ οὖν ἀεὶ[q] ὁμοίου οὐσία οὐσίας τι μᾶλλον ἢ ἐπιστήμης μετέχει; Οὐδαμῶς. Τί δ', ἀληθείας; Οὐδὲ τοῦτο. Εἰ δὲ[r] ἀληθείας ἧττον, οὐ[s] καὶ οὐσίας; Ἀνάγκη. Οὐκοῦν ὅλως τὰ περὶ τὴν τοῦ σώματος θεραπείαν γένη τῶν γενῶν αὖ τῶν[t] περὶ τὴν τῆς ψυχῆς θεραπείαν ἧττον ἀληθείας τε καὶ οὐσίας μετέχει;[u] Πολύ γε. Σῶμα δὲ αὐτὸ ψυχῆς[v] οὐκ
III. i. 453. οἴει οὕτως; Ἔγωγε. Οὐκοῦν τὸ τῶν μᾶλλον ὄντων πληρούμενον καὶ αὐτὸ[w] μᾶλλον ὂν ὄντως μᾶλλον πληροῦται, ἢ τὸ τῶν ἧττον ὄντων καὶ αὐτὸ[w] ἧττον ὄν; Πῶς γὰρ οὔ; Εἰ ἄρα τὸ πληροῦσθαι τῶν φύσει[x] προσηκόντων ἡδύ ἐστι, τὸ τῷ ὄντι καὶ τῶν ὄντων πληρούμενον μᾶλλον[y] μᾶλλον

[z] ἔχοι ΘΦr, ἔχει Ξ: ἔχει *s.—[a] γοῦν Φvmr: γε οὖν *s, nisi quod οὖν post εἶναι ponit K.—[x] πείνη A, πείνα Φ.—[y] δίψα ΑΘΠΦDKqvmr: δίψη s.—[z] τινές om r.—[a] τῆς Ξ, om Θ.—[b] ψυχῆς ΘΞm.—[c] αὖ add ΑΘΞΠr.—[d] οὐκοῦν πληροῖτ' ΑΠΦDKqvm: οὐκοῦν καὶ πληροῖτ' *s.—[e] τὰ om pr A.—[f] οἷον A.—[g] αὖ πάσης ΑΠΦm, αὖ συμπάσης v.—[h] κρῖνε ΑΞKvm.—[i] αὖ τὸ ΑΦvmr.—[k] ὂν om pr Θ.—[l] ἐν τῷ τοιούτῳ r.—[m] μᾶλλον...γιγνόμενον om Θ.—[n] αὖ τὸ ΑΦDKvm.—[o] τοιοῦτο ΑΦm, τοιοῦτον ὂν v.—[p] ἐν τῷ τοιούτῳ r.—[q] οὖν μὴ ἀεὶ v, δὲ τοῦ μηδέποτε q.—[r] δ' r.—[s] οὐ om qv.—[t] αὐτῶν r.—[u] μετέχει om r.—[v] τῆς ψυχῆς A, ψυχῆς ἧττον v.—[w] αὖ τὸ ΞΦm.—[x] τῇ φύσει r et rc Ξ.—[y] prius μᾶλλον ante ὄντων ponunt Ξs, om ΦKvm.—[z] ὂν q.

ψυχὴν] Inter ψυχὴν et ἕξεως invenitur vocula αὖ in uno vet. libro. Steph. Scil. Bas. 2. ψυχὴν αὖ. Ast.

αὐτὸ τοιοῦτον] In præced. edit. αὖ τὸ pro αὐτό: ac mox vicissim αὐτῶν pro αὖ τῶν. Steph.

γιγνόμενον] Bas. 2. addit μᾶλλον εἶναι. Ast.

ὄντως τε καὶ ἀληθεστέρως χαίρειν ἂν ποιοῖ ἡδονῇ ἀληθεῖ, τὸ δὲ τῶν ἧττον μεταλαμβάνον ἧττόν τε ἂν[z] ἀληθῶς καὶ βεβαίως[a] πληροῖτο καὶ ἀπιστοτέρας[b] ἂν ἡδονῆς καὶ ἧττον ἀληθοῦς μεταλαμβάνοι. Ἀναγκαιότατα, ἔφη. Οἱ ἄρα φρονήσεως καὶ ἀρετῆς ἄπειροι, εὐωχίαις δὲ καὶ τοῖς τοιού- II. 586.
τοις ἀεὶ ξυνόντες, κάτω, ὡς ἔοικε, καὶ μέχρι πάλιν πρὸς τὸ μεταξὺ φέρονταί τε καὶ ταύτῃ πλανῶνται διὰ βίου, ὑπερβάντες δὲ τοῦτο πρὸς τὸ ἀληθῶς[c] ἄνω οὔτε ἀνέβλεψαν πώποτε οὔτε ἠνέχθησαν, οὐδὲ τοῦ ὄντος τῷ ὄντι ἐπληρώθησαν, οὐδὲ βεβαίου τε καὶ καθαρᾶς ἡδονῆς ἐγεύσαντο, ἀλλὰ βοσκημάτων δίκην κάτω ἀεὶ βλέποντες καὶ κεκυφότες εἰς γῆν καὶ εἰς[d] τραπέζας βόσκονται χορταζόμενοι καὶ ὀχεύοντες, καὶ ἕνεκα τῆς τούτων πλεονεξίας λακτίζοντες καὶ[e] κυρίττοντες ἀλλήλους σιδηροῖς κέρασί τε καὶ ὁπλαῖς ἀποκτιννύασι δι' ἀπληστίαν,[f] ἅτε οὐχὶ[g] τοῖς οὖσιν οὐδὲ τὸ III. i. 454.
ὂν οὐδὲ[h] τὸ στέγον ἑαυτῶν πιμπλάντες. Παντελῶς, ἔφη ὁ Γλαύκων, τὸν τῶν πολλῶν, ὦ Σώκρατες, χρησμῳδεῖς βίον. Ἆρ' οὖν οὐκ ἀνάγκη καὶ ἡδοναῖς ξυνεῖναι μεμιγμέναις λύπαις, εἰδώλοις τῆς ἀληθοῦς ἡδονῆς καὶ ἐσκιαγραφημέναις, ὑπὸ τῆς παρ' ἀλλήλας θέσεως ἀποχραινομέναις, ὥστε σφοδρούς[i] ἑκατέρας φαίνεσθαι καὶ ἔρωτας ἑαυτῶν λυττῶντας τοῖς ἄφροσιν ἐντίκτειν καὶ περιμαχήτους εἶναι, ὡς περ τὸ τῆς Ἑλένης εἴδωλον ὑπὸ τῶν ἐν Τροίᾳ Στησίχορός φησι

—[a] καὶ οὐ βεβαίως Υ.—[b] ἀπυστοτέρας ΘΠ.—[c] ἀληθῶς ΑΘΞΠΦνmυ: ἀληθὲς s.—[d] εἰς ante τραπέζας om Ξ.—[e] λακτίζοντές τε καὶ q.—[f] ἀπιστίαν Θ.—[g] οὐδὲ Υ.—

καὶ βεβαίως] Bas. 2. καὶ οὐ βεβαίως. Ast.

οἱ ἄρα φρονήσεως] Laudat Longin. xiii. §. 1. usque ad ἀπληστίαν, ubi verba καὶ μέχρι—μετάξυ omissa sunt, φέρονται sine τε scribitur—βίου (Ald. Bas. 1. et 2. βίον)—ὑπερβάντες δὲ τοῦτο absunt—πρὸς δὲ τὸ ἀληθὲς—οὔτ' ἀνηνέχθησαν—οὐδὲ τοῦ ὄντος—ἐπληρώθησαν absunt—ἀποκτιννύουσι. Ast.

στέγον] Ficinus videtur legisse στερεὸν, nisi malis statuere, ipsum hoc significatu vocem στέγον accepisse. τὸ στέγον est *solidum, firmum, non mutabile, constans.* Proprie significatur hac voce id, quod aliquid ita continet, ut effluere nequeat, vid. Cratyl. 412. D. de Legg. iv. 714. A. Gorg. 493. C. Tim. 45. C. 78. A. Euripid. apud Plutarch. περὶ ἀδολεσχ. p. 502. Straton. Epigr. xxi. 4. Themist. Orat. xxvi. p. 312. D. Porphyr. apud Euseb. Præp. Evang. iv. 8. p. 144. B. Lucian. Dialog. Mortuor. xi. 4. t. i. p. 158. ed. Schmied. Plotin. Ennead. ii. 1. 3. p. 98. D. Ast.

ἀποχραινομέναις] Verbum ἀποχραινομέναις in notis ad Legg. vi. 14. explicuimus. Ast.

τὸ τῆς Ἑλένης εἴδωλον] Helenam enim veram non fuisse in Troja, sed in Pharo, Ægypti insula, plures tradiderunt, vid. Herodot. ii. 112—119. Philostrat. vit. Apollon. iv. 16. p. 154. Heroic. p. 693. ed. Olear. Sext. Empir.

γενέσθαι[k] περιμάχητον ἀγνοίᾳ τοῦ ἀληθοῦς; Πολλὴ ἀνάγκη, ἔφη, τοιοῦτόν[l] τι αὐτὸ[m] εἶναι. [§. 11.] Τί δέ; περὶ τὸ θυμοειδὲς οὐχ ἕτερα τοιαῦτα ἀνάγκη γίγνεσθαι, ὃς ἂν αὐτὸ τοῦτο διαπράττηται ἢ φθόνῳ διὰ φιλοτιμίαν ἢ βίᾳ διὰ φιλονεικίαν[n] ἢ θυμῷ διὰ δυσκολίαν, πλησμονὴν τιμῆς τε καὶ νίκης καὶ θυμοῦ διώκων ἄνευ λογισμοῦ τε καὶ νοῦ; Τοιαῦτα, ἦ δ' ὅς, ἀνάγκη καὶ περὶ τοῦτο εἶναι. Τί οὖν; ἦν δ' ἐγώ· θαῤῥοῦντες λέγωμεν[o] ὅτι καὶ περὶ τὸ[p] φιλοκερδὲς καὶ τὸ φιλόνεικον[q] ὅσαι ἐπιθυμίαι εἰσίν, αἳ μὲν ἂν[r] τῇ ἐπιστήμῃ καὶ λόγῳ ἑπόμεναι καὶ μετὰ τούτων τὰς ἡδονὰς
III. i. 455. διώκουσαι, ἃς ἂν τὸ φρόνιμον ἐξηγῆται,[s] λαμβάνωσι,[t] τὰς ἀληθεστάτας τε λήψονται, ὡς οἷόν τε αὐταῖς ἀληθεῖς[u] λαβεῖν, ἅτε ἀληθείᾳ ἑπομένων,[v] καὶ τὰς ἑαυτῶν οἰκείας, εἴ περ τὸ βέλτιστον ἑκάστῳ, τοῦτο καὶ οἰκειότατον; Ἀλλὰ μήν, ἔφη, οἰκειότατον γε. Τῷ φιλοσόφῳ ἄρα ἑπομένης ἁπάσης τῆς[w] ψυχῆς καὶ μὴ στασιαζούσης ἑκάστῳ τῷ μέρει ὑπάρχει εἴς τε τἆλλα τὰ ἑαυτοῦ πράττειν καὶ δικαίῳ εἶναι, καὶ δὴ καὶ τὰς ἡδονὰς τὰς ἑαυτοῦ ἕκαστον καὶ τὰς
II. 587. βελτίστας καὶ εἰς τὸ δυνατὸν τὰς ἀληθεστάτας καρποῦσθαι. Κομιδῇ μὲν οὖν. Ὅταν δὲ ἄρα τῶν ἑτέρων τι κρατήσῃ, ὑπάρχει αὐτῷ μήτε τὴν ἑαυτοῦ ἡδονὴν ἐξευρίσκειν τά τε ἄλλα[x] ἀναγκάζειν ἀλλοτρίαν καὶ μὴ ἀληθῆ ἡδονὴν διώκειν. Οὕτως, ἔφη. Οὐκοῦν ἃ πλεῖστον[y] φιλοσοφίας τε καὶ λόγου ἀφέστηκε, μάλιστα[z] ἂν τοιαῦτα ἐξεργάζοιτο; Πολύ γε. Πλεῖστον δὲ λόγου ἀφίσταται οὐχ ὅ περ

[h] οὐδὲ ΑΞΦνm : οὔτε *s.—[i] σφοδρὰς Ξηχ.—[k] γίγνεσθαι ν.—[l] τὸ τοιοῦτό Φ, τὸ τοιοῦτόν m.—[m] αὐτο om ν.—[n] φιλονικίαν Ξη.—[o] λέγομεν ΞΦmr et corr A.—[p] τὸ om Φ.—[q] φιλόνικον corr Ξ.—[r] ἂν om Θr.—[s] ἃς τὸ φρόνιμον ἐξηγεῖται ν.—[t] λαμβάνουσι ΦD et corr A.—[u] ἀληθὲς r.—[v] ἑπομένας q, ἑπόμενα ν, ἑπόμεναι s.—[w] τῆς om r.—[x] ἄλλ' m.—[y] ἁπλοῦν K et pr D.—[z] μάλιστ' νmr.—[a] δηλαδή ν.—[b] δὴ r.

adv. Logic. vii. §. 181. p. 405. §. 255. p. 421. Eustath. ad Iliad. Γ. p. 301. Ast.

§. 11. *τί δὲ περὶ*] Malim, *τί δέ; περὶ τὸ θυμοειδὲς οὐχ ἕτερα* etc. Steph.

τί δὲ; περὶ] Sic Stephanus interpungendum esse jam monuit, etsi et altera ratio, qua scribitur *τί δὲ περὶ τὸ θυμοειδὲς*, habet, quo se defendat. Ast.

φθόνῳ διὰ φιλοτιμίαν] Dativus causam s. impulsum propiorem, διὰ vero cum accusativo remotiorem indicat, ut apud Thucyd. iv. 36. *οἱ Λακεδαιμόνιοι ἀσθενείᾳ σωμάτων διὰ τὴν σιτόδειαν ὑπεχώρουν*. Vid. Toup. ad Suid. t. ii. p. 32. et Matthiæ Gr. Gr. p. 544. Ast.

ἑπομένων] Sic Cod. Reg. Ald. Bas. 1. et 2. Stephanus correxit *ἑπομέναις*, quod esse deberet *ἑπομέναις*; sed genitivus, dativo prægresso, ita poni solet, v. ad l. vii. 3. p. 518. A. Ast.

νόμου τε καὶ τάξεως; Δῆλον δή.[a] Ἐφάνησαν δὲ[b] πλεῖστον ἀφεστῶσαι οὐχ αἱ ἐρωτικαί τε καὶ τυραννικαὶ ἐπιθυμίαι; Πολύ γε. Ἐλάχιστον δὲ αἱ βασιλικαί τε καὶ κόσμιαι; Ναί. Πλεῖστον δή, οἶμαι, ἀληθοῦς ἡδονῆς καὶ οἰκείας ὁ τύραννος ἀφεστήξει, ὁ δὲ ὀλίγιστον.[c] Ἀνάγκη. III. i. 456.
Καὶ ἀηδέστατα ἄρα, εἶπον, ὁ τύραννος βιώσεται. ὁ δὲ βασιλεὺς ἥδιστα.[d] Πολλὴ ἀνάγκη. Οἶσθ' οὖν, ἦν δ' ἐγώ, ὅσῳ ἀηδέστερον ζῇ τύραννος βασιλέως; Ἂν εἴπῃς, ἔφη. Τριῶν ἡδονῶν,[e] ὡς ἔοικεν, οὐσῶν, μιᾶς μὲν γνησίας, δυεῖν[f] δὲ νόθοιν,[g] τῶν νόθων[h] εἰς τὸ ἐπέκεινα ὑπερβὰς ὁ τύραννος, φυγὼν νόμον τε καὶ λόγον, δούλαις τισὶ δορυφόροις ἡδοναῖς[i] ξυνοικεῖ, καὶ ὁπόσα[k] ἐλαττοῦται, οὐδὲ πάνυ ῥᾴδιον εἰπεῖν, πλὴν ἴσως ὧδε. Πῶς; ἔφη. Ἀπὸ τοῦ ὀλιγαρχικοῦ τρίτος που ὁ τύραννος ἀφειστήκει·[l] ἐν μέσῳ γὰρ αὐτῶν[m] ὁ δημοτικὸς[n] ἦν. Ναί. Οὐκοῦν καὶ ἡδονῆς τρίτῳ εἰδώλῳ πρὸς ἀλήθειαν ἀπ' ἐκείνου ξυνοικοῖ[o] ἄν, εἰ[p] τὰ πρόσθεν ἀληθῆ; Οὕτως. Ὁ δέ γε ὀλιγαρχικὸς ἀπὸ τοῦ βασιλικοῦ αὖ τρίτος, ἐὰν εἰς ταὐτὸν ἀριστοκρατικὸν καὶ βασιλικὸν τιθῶμεν. Τρίτος γάρ. Τριπλασίου ἄρα, ἦν δ' ἐγώ, τριπλάσιον[q] ἀριθμῷ ἀληθοῦς ἡδονῆς ἀφέστηκε τύραννος. Φαίνεται. Ἐπίπεδον ἄρ',[r] ἔφην, ὡς ἔοικε τὸ εἴδωλον κατὰ τὸν τοῦ μήκους ἀριθμὸν ἡδονῆς τυραννικῆς ἂν εἴη. Κομιδῆ γε. Κατὰ δὲ δύναμιν καὶ τὴν[s] τρίτην[t] αὔξην, δῆλον δὴ ἀπόστασιν ὅσην ἀφεστηκὼς[u] γίγνεται. Δῆλον,[v] ἔφη, τῷ III. i. 457.
γε[w] λογιστικῷ. Οὐκοῦν ἐάν τις μεταστρέψας ἀληθείᾳ ἡδονῆς τὸν βασιλέα τοῦ τυράννου ἀφεστηκότα λέγῃ, ὅσον

—[c] ὀλιγοστὸν ΘΠDKντ.—[d] ἥκιστα Θ.—[e] ἡδονῶν post οὐσῶν ponit τ.—[f] δυεῖν Θτ: δυοῖν *s.—[g] νόθαιν ΘΠDKqντ, νόθοιν corr ΑΞ.—[h] τὸ νόθον s.—[i] ἡδοναῖς δορυφόροις Θτ.—[k] ὁπόσαι ΑΞΦm, ὁπόσα ν.—[l] ἐφειστήκει K, ἐφειστήκει D.—[m] αὐτῷ s.—[n] δημοτικὸς A, δημοκρατικὸς ΦKm.—[o] ξυνοικοίη Θτ.—[p] εἰς τ.—[q] τριπλασίω qν.—[r] ἂν DKq.—[s] τὴν om Αm.—[t] τρίτου m.—[u] ἀφεστηκὸς q.—[v] δῆλον δή ν.—[w] δὲ

ἀφεστήξει] Futurum est a perfecto formatum, ut Sympos. 220. D. Eurip. Iph. A. 675.—Ald. Bas. 1. et 2. vitiose *οἰκίας* pro οἰκείας exhibent. Ast.

δυοῖν δὲ νόθοιν] Cod. Reg. *νόθαιν*, quo non opus est. Mox *ἐς τὸ ἐπέκεινα* est *ad ulterius*, i. e. ad extremum.—Paulo post Ald. Bas. 1. et 2. pro αὐτῶν exhibent αὐτῷ. Ast.

τριπλασίου ἄρα] De his, ut de sequentibus, vid. Schol. Ruhnken. p. 190. Ast.

ἀφέστηκεν, ἐννεακαιεικοσικαιεπτακοσιοπλασιάκις[x] ἥδιον[y] αὐτὸν ζῶντα εὑρήσει τελεωθείσῃ[z] τῇ πολλαπλασιώσει,[a] τὸν δὲ τύραννον ἀνιαρότερον[b] τῇ αὐτῇ ταύτῃ ἀποστάσει. Ἀμήχανον, ἔφη, λογισμὸν καταπεφόρηκας[c] τῆς διαφορότητος
II. 588. τοῖν ἀνδροῖν, τοῦ τε δικαίου καὶ τοῦ ἀδίκου, πρὸς ἡδονήν τε καὶ λύπην. Καὶ μέντοι καὶ ἀληθῆ καὶ προσήκοντά γε, ἢν δ' ἐγώ, βίοις ἀριθμόν, εἴ περ αὐτοῖς προσήκουσιν ἡμέραι καὶ νύκτες καὶ μῆνες καὶ ἐνιαυτοί. Ἀλλὰ μήν, ἔφη, προσήκουσιν. Οὐκοῦν εἰ[d] τοσοῦτον ἡδονῇ νικᾷ ὁ ἀγαθός τε καὶ δίκαιος τὸν κακόν τε καὶ ἄδικον, ἀμηχάνῳ δή[e] ὅσῳ πλέονι[f] νικήσει εὐσχημοσύνῃ τε βίου καὶ κάλλει καὶ ἀρετῇ; Ἀμηχάνῳ μέντοι νὴ Δία,[g] ἔφη.

§. 12. Εἶεν δή, εἶπον· ἐπειδὴ[h] ἐνταῦθα λόγου γεγόναμεν, ἀναλάβωμεν τὰ πρῶτα[i] λεχθέντα, δι' ἃ δεῦρ' ἤκομεν. ἦν δέ που λεγόμενον λυσιτελεῖν ἀδικεῖν τῷ τελέως μὲν ἀδίκῳ, δοξαζομένῳ δὲ δικαίῳ. ἢ οὐχ οὕτως ἐλέχθη; Οὕτω μὲν οὖν. Νῦν δή, ἔφην, αὐτῷ[k] διαλεγώμεθα, ἐπειδὴ[l] διω-
III. i. 458. μολογησάμεθα, τό τε ἀδικεῖν καὶ τὸ δίκαια πράττειν, ἣν ἑκάτερον ἔχει δύναμιν. Πῶς; ἔφη.[m] Εἰκόνα πλάσαντες τῆς ψυχῆς λόγῳ,[n] ἵνα[o] εἰδῇ[p] ὁ ἐκεῖνα λέγων οἷα ἔλεγεν.[q] Ποίαν τινά; ἦ δ' ὅς. Τῶν τοιούτων τινά, ἦν δ' ἐγώ, οἷαι μυθολογοῦνται παλαιαὶ[r] γενέσθαι φύσεις, ἥ τε[s] Χιμαίρας καὶ ἡ[t] Σκύλλης καὶ Κερβέρου,[u] καὶ ἄλλαι τινὲς συχναὶ

Θ.—[x] ἄμεινον οἶμαι εἰπεῖν ἑξακοσιοπλασιάκις, ὡς ἔστι συμβαλεῖν ἀπὸ τῶν ῥηθέντων mg Φ.—[y] ἥδιστον ΘΠDKqr.—[z] τελεωθείσῃ ΘΠDK : τελειωθείσῃ *s.—[a] πολλαπλασιάσει q.—[b] ἀνιαρότερον ΑΘΠ.—[c] καταπεφώρακας υr et corr Ξ.—[d] εἰς ΘΠDKqr.—[e] δὲ q.—[f] πλέονι q, πλείονι υ : πλεῖον *s.—[g] δί' r.—[h] ἐπειδὰν m.—[i] πρῶτα Ξ.—[k] αὐτῷ ΑΘΞΠΦKqυmr, αὐτῶ D : αὐτὸ s.—[l] hinc b ad 179, 5. τύχῃ.—[m] πῶς ἔφη om b.—[n] πλάσομεν τῆς ψυχῆς τῷ λόγῳ b.—[o] ἵν' m : ἵνα...ἦν δ' ἐγώ om b.—[p] ἴδῃ Θυr.—[q] ἔλεγον ΘDKr.—[r] πολλαὶ K.—[s] εἴτε Θr.—[t] ἢ Θr, καὶ b.—[u] καὶ ἡ κερβέ-

ἥδιον] Cod. Reg. Ald. Bas. 1. et 2. ἥδιστον. Ast.

§. 12. εἶεν δή, εἶπον] Laudat Stob. ix. p. 119. usque ad δηλοῖ γάρ, ἢ δ' ὅς c. 13. Ast.

λόγου] Ald. Bas. 1. et 2. λόγον. Ast.

νῦν δή] Laudat Euseb. Præp. Evang. xii. 46. p. 615. C. ubi νῦν δ', ἔφην— αὐτῷ (sic et Stob. et Euseb.) pro αὐτό. Ast.

οἷα] Euseb. οἵαν. Ast.

Κερβέρου] Ald. et Bas. 1. Κερβέρους. Ast.

Χιμαίρας] Chimæra, portentosus ille Typhonis et Echidnæ fœtus, triplici corpore flammisque armatus, vid. Eustath. ad Iliad. Z. p. 491. ed. Bas. et nostra ad Phædr. p. 228. Ast.

Σκύλλα] Scylla et Charybdis, notissimi in freto Siculo loci, nautis pericu-

λέγονται[v] ξυμπεφυκυῖαι[w] ἰδέαι πολλαὶ εἰς ἓν γενέσθαι. Λέγονται γάρ, ἔφη.[x] Πλάττε τοίνυν μίαν μὲν ἰδέαν θηρίου ποικίλου[y] καὶ πολυκεφάλου, ἡμέρων δὲ θηρίων ἔχοντος κεφαλὰς κύκλῳ καὶ ἀγρίων, καὶ δυνατοῦ μεταβάλλειν[z] καὶ φύειν ἐξ αὐτοῦ πάντα ταῦτα.[a] Δεινοῦ πλάστου,[b] ἔφη, τὸ ἔργον· ὅμως δέ, ἐπειδὴ εὐπλαστότερον κηροῦ καὶ τῶν τοιούτων λόγος,[c] πεπλάσθω. Μίαν δὴ[d] τοίνυν ἄλλην ἰδέαν λέοντος, μίαν δὲ ἀνθρώπου· πολὺ δὲ μέγιστον ἔστω τὸ πρῶτον, καὶ δεύτερον τὸ δεύτερον.[e] Ταῦτα,[f] ἔφη, ῥᾴω· καὶ πέπλασται. Σύναπτε τοίνυν αὐτὰ εἰς ἓν τρία ὄντα, ὥς τέ πῃ ξυμπεφυκέναι[g] ἀλλήλοις. Συνῆπται, ἔφη.[h] Περίπλασον δὴ αὐτοῖς ἔξωθεν ἑνὸς εἰκόνα, τὴν τοῦ ἀνθρώπου, ὥς τε τῷ μὴ δυναμένῳ τὰ ἐντὸς ὁρᾶν, ἀλλὰ τὸ ἔξω μόνον ἔλυτρον ὁρῶντι ἓν ζῷον φαίνεσθαι, ἄνθρωπον. Περιπέπλασ-

rou b.—[v] λέγονται...γενέσθαι om ΘΠDKr.—[w] ξ. AΞΦvbm : ξυμπεφυκυῖαν...λέγονται om q.—[x] λέγονται γάρ, ἔφη om b.—[y] ποικίλου θηρίου r.—[z] μεταβαλεῖν ΘDKvr, μεταβαλλεῖν Π.—[a] πάντα ταῦτα AΘΠDKqvb : ταῦτα πάντα s.—[b] δεινοῦ πλάστου τὸ ἔργον post λόγος ponit b, omissis ἔφη et ὅμως δὲ et πεπλάσθω.—[c] ὁ λόγος K.—[d] δὲ q.—[e] καὶ δεύτερον δεύτερον τὸ δεύτερον s.—[f] Ταῦτα...πέπλασται om b.—

losi, naves in gyrum tractas absorbentes (Homer. Od. xii. 235. 260. Virgil. Æn. iv. 420. Lucan. iv. 455.) unde poetæ monstrum finxerunt in delphinum caudas desinens, canibus ex utero subtus prodeuntibus, v. Brunck. ad Tibull. iii. 4. 91. et Heyn. ad Virgil. Eclog. vi. 75. Excurs. iv. t. i. p. 172. Ast.

Κερβέρου] *Cerberus:* in aditu regiæ Plutonis custos, 'cui tres sunt linguæ tergeminumque caput' (v. Tibull. iii. 4. 88.); sed alii aliter eum describunt. Hesiodo Theog. 310. dicitur πεντηκοντακάρηνος. Cf. Apollod. ii. 5. 12. Horat. ii. 13. 34. iii. 11. 17. ubi v. interpp. Ast.

πλάττε τοίνυν] Respexit Galenus de Hippocrat. et Plat. Plac. vi. p. 298. v. 25. t. i. ed. Bas. εἰκάζει δ' οὕτω (τὴν ψυχὴν) τὸ μὲν ἐπιθυμητικὸν θηρίῳ ποικίλῳ τε καὶ πολυκεφάλῳ, τὸ δὲ θυμοειδὲς λέοντι, τὸ δὲ λογιστικὸν ἀνθρώπῳ. Frequenter vero cupiditates cum θηρίοις comparantur, ἃ κατεσθίει τὸν ἄνθρωπον, vid. Cebet. Tab. 9. 22. Lambin. ad Horat. t. ii. p. 207. E. et Casaubon. ad Athen. i. 35. p. 158.—Pro ἐξ αὐτοῦ (sic Euseb. Ald. Bas. 1. et 2.) cum Stephano scripsi ἀξ αὑτοῦ. Ficinus, *ex se.* Ast.

ὅμως δὲ] Ab Euseb. abest δέ. Mox legunt Cod. Reg. et Euseb. ὁ λόγος, sed articulus haud necessarius est. Sic et ii. 15. ὡς ἄμαχόν τε καὶ ἀνίκητον θυμός. Ceterum hunc locum respexit Cicero de Orator. iii. 'nihil est enim tam tenerum, neque tam flexibile, neque quod tam facile sequatur, quocunque ducas, quam oratio—eam nos, quum jacentia sustulimus e medio, sicut *mollissimam ceram*, ad nostrum arbitrium formamus et fingimus.' Vid. P. Victor. Var. Lect. x. 14. Ast.

καὶ δεύτερον, δεύτερον] Non dubium est quin mendose scriptus sit hic locus. Invenitur autem hæc lectio diversa, πολὺ δὲ μέγιστον ἔστω τὸ πρῶτον, καὶ δεύτερον, τὸ δεύτερον· quam lectionem sequendo, expungenda fuerit vox δεύτερον quæ est in priore loco. At vero Fic. locum hunc ita vertit, *et amplissimum quidem primum sit, angustius vero secundum atque tertium.* Steph.

καὶ δεύτερον] (int. τῷ μεγέθει) τὸ δεύτερον] Sic Cod. Reg. et Stob. exhibent, et Cornarius legendum esse monuit. Vulgo : τὸ πρῶτον καὶ δεύτερον, δεύτερον τὸ δεύτερον. Ast.

ὥστε πῃ] Sic Stob. Vulgo ὥστε πη, in quo bis peccatum. Ast.

III. i. 459. ται, ἔφη.[i] Λέγωμεν[k] δὴ τῷ λέγοντι ὡς λυσιτελεῖ τούτῳ ἀδικεῖν τῷ ἀνθρώπῳ, δίκαια δὲ πράττειν οὐ ξυμφέρει, ὅτι οὐδὲν ἄλλο φησὶν ἢ λυσιτελεῖν αὐτῷ τὸ παντοδαπὸν θηρίον εὐωχοῦντι ποιεῖν ἰσχυρὸν καὶ τὸν λέοντα καὶ τὰ περὶ τὸν
II. 589. λέοντα, τὸν δὲ ἄνθρωπον λιμοκτονεῖν καὶ ποιεῖν ἀσθενῆ, ὡς τε ἕλκεσθαι ὅπῃ[l] ἂν ἐκείνων[m] ὁπότερον ἄγῃ,[n] καὶ μηδὲν ἕτερον ἑτέρῳ ξυνεθίζειν μηδὲ φίλον ποιεῖν,[o] ἀλλ' ἐᾶν αὐτὰ ἐν αὑτοῖς[p] δάκνεσθαί τε καὶ μαχόμενα ἐσθίειν ἄλληλα. Παντάπασι[q] γάρ, ἔφη, ταῦτ' ἂν λέγοι ὁ τὸ ἀδικεῖν ἐπαινῶν. Οὐκοῦν αὖ[r] ὁ τὰ δίκαια λέγων λυσιτελεῖν φαίη ἂν δεῖν[s] ταῦτα πράττειν καὶ ταῦτα λέγειν,[t] ὅθεν τοῦ ἀνθρώπου ὁ ἐντὸς ἄνθρωπος ἔσται ἐγκρατέστατος, καὶ τοῦ πολυκεφάλου θρέμματος ἐπιμελήσεται ὥς περ γεωργός, τὰ μὲν ἥμερα τρέφων καὶ τιθασεύων,[u] τὰ δὲ ἄγρια ἀποκωλύων φύεσθαι, ξύμμαχον ποιησάμενος τὴν τοῦ λέοντος φύσιν, καὶ κοινῇ πάντων κηδόμενος, φίλα ποιησάμενος ἀλλήλοις τε καὶ αὑτῷ, οὕτω θρέψει;[v] Κομιδῇ[w] γὰρ αὖ[x] λέγει ταῦτα ὁ τὸ δίκαιον[y] ἐπαινῶν. Κατὰ πάντα τρόπον δὴ ὁ μὲν[z] τὰ δίκαια ἐγκωμιάζων ἀληθῆ ἂν[a] λέγοι, ὁ δὲ τὰ ἄδικα ψεύδοιτο. πρός τε γὰρ ἡδονὴν καὶ πρὸς εὐδοξίαν[b] καὶ ὠφέλειαν
III. i. 460. σκοπουμένῳ ὁ μὲν ἐπαινέτης τοῦ δικαίου ἀληθεύει,[c] ὁ δὲ ψέκτης οὐδὲν ὑγιὲς[d] οὐδ' εἰδὼς ψέγει ὅ τι ψέγει.[e] Οὔ[f]

[g] ὥστ' ἐπιξυμπ. v.—[h] Συνῆπται ἔφη om b.—[i] Περιπέπλασται ἔφη om b.—[k] λέγομεν ΘΦbm.—[l] ὅποι K.—[m] ἐκεῖνον m.—[n] ἄγηι ΑΘΠΦυbmr: ἄγοι *s.—[o] φιλοπονεῖν v.—[p] ἑαυτοῖς r.—[q] Παντάπασι...ἐπαινῶν om b.—[r] αὖ om K.—[s] δεῖν om DKq.—[t] λέγειν καὶ ταῦτα πράττειν K.—[u] τιθασεύων Abm et pr Φ: τιθασσεύων *s.—[v] ἑαυτῷ θρέψει οὕτως r.—[w] Κομιδῇ...ἐπαινῶν om b.—[x] αὖ om Θr.—[y] τὰ δίκαια Θr.—[z] μὲν om Θr, ante τὰ ponunt ΑΠΦDKqυbm, post τὰ *s.—[a] ἀλήθειαν ΑΦbm.—[b] εὐεξίαν ΘΞr: υ pro his εὐδοξίαν...ἀληθεύει habet δύει.—[c] ἀληθὴς Φ.—[d] ὑγιῶς b.

τούτῳ] Stob. τοῦτο, vitiose. Mox Euseb. διότι φήσει et τὸν λέοντα sine particula καί. Ast.

ὅπῃ ἂν] Sic Euseb. Stob. et libri Platonis editi, Cod. Reg. ὅποι ἂν, quod sensum eundem habet, vid. nostra ad Sympos. p. 196.—Mox ἄγῃ pro ἄγοι ex Euseb. et Stobæo recepimus; ἂν enim ad ὅπῃ pertinet. Ast.

ταῦτ' ἂν λέγοι] Stob. ταῦτα λέγει. Ast.

πράττειν] Omittit Stob. πράττειν. Mox κατὰ πάντα δὴ τρόπον Stob. Ast.

ἐγκρατέστατος] Vide annon scribere satius sit ἐγκρατέστερος. Steph.

πολυκεφάλου θρέμματος] Hoc respexit Galenus l. l. vi. p. 298. v. 56. Cf. Tim. 70. E. Ast.

ὁ μὲν τὰ δίκαια] Sic Cod. Reg. Stob. ὁ μὲν τὸ δίκαιον. Vulgo ὁ τὰ μὲν δίκαια. Mox Ald. Bas. 1. 2. et Stob. ψέγοι. Ast.

ἀληθεύει] Videri queat deesse λέγει post ὑγιές: nisi existimandum sit posse subaudiri, resolvendo ἀληθεύει in ἀληθὲς λέγει. Steph.

οὐδὲν ὑγιὲς] Int. λέγει, quod eliciendum ex prægresso ἀληθεύει i. e. ἀληθὲς λέγει. Ast.

μοι δοκεῖ, ἦ δ' ὅς, οὐδαμῆ γε. Πείθωμεν[g] τοίνυν αὐτὸν πρᾶως, οὐ γὰρ ἑκὼν ἁμαρτάνει, ἐρωτῶντες [f]Ὦ μακάριε, οὐ καὶ τὰ καλὰ καὶ αἰσχρὰ[h] νόμιμα διὰ τὰ τοιαῦτ' ἂν φαῖμεν γεγονέναι; τὰ μὲν καλὰ τὰ ὑπὸ τῷ ἀνθρώπῳ, μᾶλλον δὲ ἴσως τὰ ὑπὸ[i] τῷ θείῳ τὰ θηριώδη ποιοῦντα τῆς φύσεως, αἰσχρὰ δὲ τὰ ὑπὸ τῷ ἀγρίῳ τὸ ἥμερον δουλούμενα; ξυμφήσει,[k] ἢ πῶς; Ἐάν μοι, ἔφη, πείθηται. Ἔστιν οὖν, εἶπον,[l] ὅτῳ λυσιτελεῖ ἐκ τούτου τοῦ λόγου χρυσίον λαμβάνειν ἀδίκως, εἴ περ τοιόνδε τι γίγνεται, λαμβάνων τὸ χρυσίον[m] ἅμα καταδουλοῦται τὸ βέλτιστον ἑαυτοῦ τῷ μοχθηροτάτῳ; ἢ εἰ μὲν λαβὼν χρυσίον υἱὸν ἢ θυγατέρα ἐδουλοῦτο, καὶ ταῦτ' εἰς ἀγρίων τε[n] καὶ κακῶν ἀνδρῶν, οὐκ ἂν αὐτῷ ἐλυσιτέλει οὐδ'[o] ἂν πάμπολυ[o] ἐπὶ τούτῳ λαμβάνειν·[p] εἰ δὲ τὸ ἑαυτοῦ θειότατον ὑπὸ τῷ ἀθεωτάτῳ[q] τε καὶ μιαρωτάτῳ δουλοῦται[r] καὶ μηδὲν ἐλεεῖ, οὐκ ἄρα ἄθλιός ἐστι καὶ πολὺ ἐπὶ δεινοτέρῳ ὀλέθρῳ χρυσὸν δωροδοκεῖ ἢ [s]Ἐριφύλη[s] II. 590. ἐπὶ τῇ τοῦ ἀνδρὸς ψυχῇ τὸν ὅρμον δεξαμένη; Πολὺ[t] μέν- III. i. 461. τοι, ἦ δ' ὅς ὁ Γλαύκων· ἐγὼ γάρ σοι ὑπὲρ ἐκείνου ἀποκρινοῦμαι. [§. 13.] Οὐκοῦν καὶ τὸ ἀκολασταίνειν οἴει[u] διὰ[v] τοιαῦτα[w] πάλαι[x] ψέγεσθαι,[y] ὅτι ἀνίεται ἐν τῷ τοιούτῳ τὸ δεινόν,[z] τὸ μέγα ἐκεῖνο καὶ πολυειδὲς θρέμμα, πέρα τοῦ

—[e] ὅτι ψέγει ΑΞΠΦΒΚqvδmr : ὅ, τι ψέγοι s.—[f] οὔ...γε om δ.—[g] πόθω μὲν pr Θ, πείθομεν v.—[h] καὶ αἰσχρὰ ΑΠΒΚqvδm : καὶ τὰ αἰσχρὰ *s.—[i] ἴσως τὰ ὑπὸ om Θr. ῖ

—[k] ξυμφήσει...πείθηται om δ.—[l] εἶπον om δ.—[m] λαμβάνοντο χρυσίον Φ, λαμβάνοντι τὸ χρυσίον DKq.—[n] τε om Ξmr.—[o] ἂν εἰ πάμπολυ q.—[p] λαμβάνειν ΑΠΦδm, λαμβάνην v, λαμβάνη Θr : λαμβάνοι *s.—[q] ἀθλιωτάτῳ Κ.—[r] δουλοῦτο v.—[s] ἐριφίλη Ξ.—[t] Πολὺ...ἀποκρινοῦμαι om δ.—[u] οἴει om δ.—[v] δρα v, δὴ διὰ q.—[w] ταῦτα q.—[x] πάλιν ΘΠΒΚr, om qδ.—[y] λέγεσθαι Φνm, ψέγεται δ.—[z] δεινῶ

οὐ καὶ] Stob. οὔ καί. Mox τοιαῦτα φᾶμεν. Ast.

χρυσίον] Sic Stob. et Stephanus; Ald. Bas. 1. et 2. χρυσίου. Ast.

λαμβάνων—καταδουλοῦνται] Int. *scilicet* s. *ita ut*; particula explicativa more omissa est. Ast.

καὶ ταῦτ' ἐς ἀγρίων—ἀνδρῶν] Int. οἶκον, ut servi s. οἰκέται fiant.—Verba τὸ ἑαυτοῦ θειότατον illustrant Morgenstern. Commentat. p. 104. et De-Geer. Diatrib. p. 88. Ast.

λαμβάνῃ] λαμβάνοι, quod libri omnes habent, correctione non indiget; cohæret enim cum præteritis ἐδουλοῦτο et ἐλυσιτέλει. Ast.

Ἐριφύλη] Amphiarai uxor, quæ, aureo monili corrupta, maritum latentem prodidit, ut proficisci ad bellum Thebanum cogeretur, vid. Homer. Odyss. λ'. 325. sq. Pindar. Nem. ix. 37. sq. Pausan. x. p. 870. Hygin. Fab. 73. et Heyn. ad Apollodor. iii. 6. 2. Observat. t. ii. p. 245. sq. Ast.

§. 13. τοιαῦτα πάλαι] Stob. τὰ τοιαῦτα πάντα. Mox pro ξυντείνηται, Stob. συγγίγνηται. Ast.

δέοντος; Δῆλον, ἔφη.[a] Ἡ δ' αὐθάδεια[b] καὶ δυσκολία ψέγεται οὐχ ὅταν τὸ λεοντῶδές τε καὶ ὀφεῶδες[c] αὔξηται καὶ συντείνηται[d] ἀναρμόστως; Πάνυ μὲν οὖν.[e] Τρυφὴ δὲ καὶ μαλθακία[f] οὐκ ἐπὶ τῇ αὐτοῦ[g] τούτου χαλάσει τε[h] καὶ ἀνέσει ψέγεται, ὅταν ἐν αὐτῷ δειλίαν ἐμποιῇ; Τί μήν;[i] Κολακεία[k] δὲ καὶ ἀνελευθερία οὐχ ὅταν τις τὸ[l] αὐτὸ τοῦτο, τὸ θυμοειδές, ὑπὸ τῷ ὀχλώδει θηρίῳ ποιῇ, καὶ ἕνεκα χρημάτων καὶ τῆς ἐκείνου ἀπληστίας προπηλακιζόμενον ἐθίζῃ[m] ἐκ νέου ἀντὶ λέοντος πίθηκον γίγνεσθαι; Καὶ μάλα, ἔφη.[n] Βαναυσία δὲ καὶ χειροτεχνία διὰ τί, οἴει, ὄνειδος φέρει;[o] ἢ δι' ἄλλο τι φήσομεν ἢ ὅταν τις ἀσθενὲς φύσει ἔχῃ τὸ τοῦ βελτίστου εἶδος,[p] ὥστε μὴ ἂν δύνασθαι ἄρχειν τῶν ἐν αὐτῷ θρεμμάτων ἀλλὰ θεραπεύειν ἐκεῖνα, καὶ τὰ θωπεύματα[q] αὐτῶν[r] μόνον δύνηται μανθάνειν; Ἔοικεν, ἔφη.

III. i. 462. Οὐκοῦν ἵνα καὶ ὁ τοιοῦτος ὑφ' ὁμοίου ἄρχηται οἵου περ ὁ βέλτιστος, δοῦλον αὐτόν φαμεν δεῖν εἶναι[s] ἐκείνου[t] τοῦ βελτίστου καὶ[u] ἔχοντος ἐν αὑτῷ[v] τὸ θεῖον ἄρχον, οὐκ ἐπὶ βλάβῃ τῇ τοῦ δούλου οἰόμενοι δεῖν ἄρχεσθαι αὐτόν, ὥς περ[w] Θρασύμαχος ᾤετο τοὺς ἀρχομένους, ἀλλ' ὡς ἄμεινον ὂν παντὶ ὑπὸ θείου καὶ φρονίμου ἄρχεσθαι, μάλιστα μὲν οἰκεῖον ἔχοντος ἐν αὑτῷ, εἰ δὲ μή, ἔξωθεν ἐφεστῶτος, ἵνα εἰς

δ, τὸ δεινὸν καὶ s—[a] Δῆλον ἔφη om δ.—[b] αὐθαδία ΘΠDq, αὐθάδεῖα Κ.—[c] ὀφιῶδες Κ.—[d] συντείνειε ν.—[e] Πάνυ μὲν οὖν om δ.—[f] μαλακία Κ.—[g] τῇ αὐτοῦ ΑΘΠΦDKqνbmr: τῇ τοῦ αὐτοῦ *s.—[h] τε om r.—[i] Τί μήν om δ.—[k] ἡ κολακεία r.—[l] τὸ post τοῦτο om ΘΦr.—[m] ἐρεθίζῃ δ.—[n] Καὶ μάλα ἔφη om δ.—[o] φέρειν ν.—[p] εἶδος om Φm.—[q] θωπευόμενα q.—[r] αὐτὸν ΠΚr et pr ΘD, αὐτὰ q.—[s] δεῖν εἶναι A ΠDKqνbr, δεῖν καὶ Θ: εἶναι δεῖν *s.—[t] καὶ ἐκείνου ΠDKνr.—[u] καὶ om ΑΞΦbm.—[v] ἑαυτῷ bm.—[w] ὥσπερ...ἀρχομένους om δ, περ om ν.—[x] καὶ om K: καὶ...ἔφη om

τρυφὴ δὲ καὶ] Stob. τρυφὴ μὲν οὖν. Mox αὐτοῦ τούτου, omisso τοῦ. Ast.

αὐτῷ] Scribendum est potius αὑτῷ. Steph.

δύνηται] Quum præcedat, ὥστε μὴ ἂν δύνασθαι, quid verbum δύνηται hic agit? Steph.

δύναται] Etsi referri possit ad ὅταν, tamen orationis nexum interrumpit, quum sensus hæc postrema ex particula ὥστε suspensa esse jubeat. Quocirca suspicor, δύνηται ab eo interpositum esse, qui non δύνασθαι, sed respectu ad ὅταν conjunctivum δύνηται, supplendum esse putasset. Ast.

ὑπὸ ὁμοίου] Stob. ὑφ' ὁμοίου. Sequentia Οἵουπερ (i. e. ὑφ' οἵουπερ ἄρχεται) ὁ βέλτιστος. Ast.

εἶναι δεῖν] Stob. δεῖν εἶναι αὐτῷ (sine præpositione ἐν)—ἄμεινον, omisso ὄν. Ast.

ἔχοντος] Genitivus, etiam dativo παντὶ præcedente (vid. ad vii. p. 518. A.): ita ut vel ipse hoc in se habeat, vel hoc extrinsecus ipsi præpositum s. præfectum sit. Quocirca Stephanum audire non debemus, pro ἐφεστῶτος corrigentem ἐφεστῶτα, sc. ἔχοντος. Ast.

ἐφεστῶτος] Non ἐφεστῶτος sed ἐφεστῶτα scriptum ab ipso autore fuisse

δύναμιν πάντες ὅμοιοι ὦμεν καὶ φίλοι τῷ αὐτῷ κυβερνώμενοι; Καὶ[x] ὀρθῶς γ', ἔφη. Δηλοῖ δέ γε, ἦν δ' ἐγώ,[y] καὶ ὁ νόμος ὅτι τοιοῦτον βουλεύεται,[z] πᾶσι τοῖς ἐν τῇ πόλει ξύμμαχος ὤν· καὶ ἡ τῶν παίδων ἀρχή, τὸ[a] μὴ ἐᾶν ἐλευθέρους εἶναι, ἕως ἂν[b] ἐν αὐτοῖς[c] ὥς περ ἐν πόλει πολιτείαν καταστήσωμεν, καὶ τὸ βέλτιστον θεραπεύσαντες τῷ παρ' II. 591.
ἡμῖν τοιούτῳ[d] ἀντικαταστήσωμεν φύλακα ὅμοιον καὶ ἄρχοντα ἐν αὐτῷ· καὶ τότε δὴ ἐλεύθερον ἀφίεμεν. Δηλοῖ[e] γάρ, ἦ δ' ὅς. Πῇ[f] δὴ οὖν φήσομεν, ὦ Γλαύκων,[g] καὶ κατὰ τίνα λόγον λυσιτελεῖν ἀδικεῖν, ἢ ἀκολασταίνειν ἤ τι αἰσχρὸν ποιεῖν, ἐξ ὧν πονηρότερος μὲν ἔσται, πλείω δὲ χρήματα ἢ ἄλλην τινὰ δύναμιν κεκτήσεται; Οὐδαμῇ, ἦ δ' ὅς.[h] Πῇ δ' ἀδικοῦντα λανθάνειν[i] καὶ μὴ διδόναι δίκην III. i. 463.
λυσιτελεῖν;[k] ἢ οὐχι[l] ὁ μὲν λανθάνων ἔτι[m] πονηρότερος γίγνεται, τοῦ δὲ μὴ λανθάνοντος καὶ πολαζομένου τὸ μὲν θηριώδες κοιμίζεται καὶ ἡμεροῦται, τὸ δὲ ἥμερον ἐλευθεροῦται, καὶ ὅλη ἡ[n] ψυχὴ εἰς τὴν βελτίστην φύσιν καθισταμένη τιμιωτέραν ἕξιν λαμβάνει, σωφροσύνην τε καὶ δικαιοσύνην μετὰ φρονήσεως κτωμένη, ἢ σῶμα ἰσχύν τε καὶ κάλλος μετὰ[o] ὑγιείας[p] λαμβάνον, τοσούτῳ[q] ὅσῳ περ ψυχὴ σώματος τιμιωτέρα; Παντάπασι[r] μὲν οὖν, ἔφη. Οὐκοῦν ὅ γε νοῦν ἔχων πάντα τὰ αὑτοῦ[s] εἰς τοῦτο ξυντείνας[t] βιώσεται, πρῶτον μὲν τὰ μαθήματα τιμῶν ἃ τοιαύτην αὐτοῦ[u] τὴν ψυχὴν ἀπεργάσεται,[v] τὰ δὲ ἄλλα[w] ἀτιμάζων; Δῆ-

b.—[x] γε ἦν δ' ἐγώ om b.—[z] βούλεται v.—[a] ἀρχὴ καὶ τὸ q.—[b] ἂν om b.—[c] ἑαυτοῖς bm.—[d] τοιοῦτον v.—[e] δηλοῖ...ὅς om b.—[f] ποῖ K.—[g] ὦ Γλαύκων om b.—[h] Οὐδαμῇ λ ἦ δ' ὅς om b.—[i] μανθάνειν Θ.—[k] λυσιτελεῖ ΘΠr.—[l] οὐχ Φ.—[m] επι Π et pr Θ: ἐπιπονώτερος r.—[n] ὅλη καὶ ἡ D, ἡ ὅλη q.—[o] μεθ' b.—[p] ὑγιείας ΑΞΦvm.—[q] λαμβάνοντος οὕτω r.—[r] Παντ. ... ἔφη om b.—[s] ἑαυτοῦ v.—[t] ξυντείνας ΑΞΦvbm.—

existimo, participium ἔχοντος repeti volente. Steph.

βούλεται] *Id propositi habet.* Sic e Stobæo reposui pro βουλεύεται. Passim vero inter se permutata reperiuntur verba βουλεύεσθαι et βούλεσθαι, vid. Wesseling. ad Herodot. i. 165. et vi. 85. Ast.

τὸ μὴ ἐᾶν] I. e. τοῦτο, ὅτι μὴ ἐᾷ. Stob. pro ἐᾶν ἐλευθέρους legit ἀνελευθέρους. Ast.

ἐν αὐτοῖς] Vulgo αὐτοῖς, contra sensum. Mox τὸ παρ' ὑμῖν Stob. φύλακας Ald. Bas. 1. 2. et Stob. et ἐλευθερίαν pro ἐλεύθερον Stob. Ast.

ἀφίεμεν] Se non ἀφίεμεν, sed ἀφῶμεν legisse aut certe legendum putavisse ostendit in sua interpretatione Ficinus. Steph.

κοιμίζεται] Sic Ald. et Stephan. Bas. 1. 2. et Bip. κομίζεται, haud dubie operarum culpa. Verbum κομίζειν illustravit Heusde in Specim. Crit. p. 89. Ast.

λον, ἔφη.[x] Ἐπειτά γ', εἶπον,[y] τὴν τοῦ σώματος ἕξιν καὶ τροφὴν οὐχ ὅπως τῇ θηριώδει καὶ ἀλόγῳ ἡδονῇ ἐπιτρέψας ἐνταῦθα τετραμμένος[z] ζήσει,[a] ἀλλ' οὐδὲ πρὸς ὑγίειαν βλέπων οὐδὲ τοῦτο πρεσβεύων, ὅπως ἰσχυρὸς ἢ ὑγιὴς ἢ καλὸς ἔσται, ἐὰν μὴ καὶ[b] σωφρονήσειν μέλλῃ ἀπ'[c] αὐτῶν· ἀλλ' ἀεὶ τὴν ἐν τῷ σώματι ἁρμονίαν[d] τῆς ἐν τῇ ψυχῇ ἕνεκα ξυμφωνίας ἁρμοττόμενος φαίνηται.[e] Παντάπασι[f] μὲν οὖν, ἔφη, ἐάν περ μέλλῃ τῇ ἀληθείᾳ μουσικὸς εἶναι. Οὐκ-
III. i. 464. οὖν, εἶπον, καὶ τὴν ἐν τῇ τῶν χρημάτων κτήσει ξύνταξίν τε καὶ ξυμφωνίαν; καὶ τὸν ὄγκον τοῦ πλήθους οὐκ ἐκπληττόμενος ὑπὸ τοῦ τῶν πολλῶν μακαρισμοῦ ἄπειρον[g] αὐξήσει, ἀπέραντα κακὰ ἔχων; Οὐκ οἶμαι, ἔφη.[h] Ἀλλ' ἀποβλέπων γε, εἶπον,[i] πρὸς τὴν ἐν αὑτῷ[k] πολιτείαν, καὶ φυλάττων μή τι παρακινῇ αὐτοῦ τῶν ἐκεῖ διὰ πλῆθος[l] οὐσίας ἢ δι' ὀλιγότητα, οὕτω κυβερνῶν προσθήσει καὶ ἀναλώσει τῆς οὐσίας καθ' ὅσον ἂν οἷός τ' ᾖ. Κομιδῇ[m] μὲν οὖν, ἔφη. Ἀλλὰ μὴν καὶ τιμάς γε, εἰς ταὐτὸν ἀποβλέπων,
II. 592. τῶν μὲν μεθέξει καὶ γεύσεται ἑκὼν ἃς ἂν ἡγῆται ἀμείνω[n]

[a] αὐτῷ s.—[v] ἀπεργάζεται ΑΞΦbm.—[w] ἄλλ' v.—[x] δῆλον ἔφη om b.—[y] γ' εἶπον om b.—[z] τεθραμμένος Θν, τετραμμένως m.—[a] ζωίη A, ζῴη q, ζῴει b, ζώσῃ ΘΠD, ζήσῃ K.—[b] καὶ om Φm.—[c] ὑπ' v.—[d] ἁρμονίας Φ.—[e] φαίνοιτο q.—[f] Παντάπασι... εἶπον om b.—[g] ἀπείρων K.—[h] Οὐκ οἶμαι ἔφη om b.—[i] οἶμαι Θr, om b.—[k] ἑαυτῷ m.—[l] πλήθους Πν.—[m] Κομιδῇ...ἔφη om b.—[n] ἀμείνων r.—[o] Οὐκ...ἐθελήσει] καὶ

οὐχ ὅπως] Proprie, *non dico* s. dicam (ut nos elliptice ponimus: *nicht dass*, sequente: *nicht einmahl*) et sequente negatione *οὐδὲ*, *non dicam, hoc—sed ne id quidem*, h. e. non modo non, sed ne—quidem s. tantum abest, ut,—ut ne—quidem. Vulgo *μόνον* intelligendum esse censent, vid. Ducker. ad Thucyd. iii. 42. Lexic. Xenophont. vol. iii. p. 312. et Schæfer. ad Lamb. Bos. Ellips. p. 775. Sensus igitur est: 'Tantum abest, ut corporis curam ac nutritionem ferinæ illi ac cœcæ voluptati permittat, ut ne sanitatem quidem ceteraque corporis curæ habeat, nisi ad temperantiam animique harmoniam conducant (faciant).' Sequens ἀλλ'—*φαίνηται* mendosum esse opinor; namque cum præcedentibus conjungi nequit, ubi ad ἀλλ'—*βλέπων* et *πρεσβεύων* intelligendum est ex prægressis *ζήσει*, quocirca etiam in his participium, intellecto *ζήσει*, vel futurum *φανεῖται*, verbo *ζήσει* respondens, desideratur. Sensus mihi videtur postulare *ἵνα—φαίνηται*, et ἀλλὰ illud ex repetitione prioris enatum esse suspicor. Similiter Ficinus vertit, *ita ut corporis harmoniam propter animi consonantiam moderetur*. Ast.

ἐπιτρέψας ἐνταῦθα τετραμμένος] *Ita ut huc se convertat* s. animum applicet, hoc appetat; participium participio, ut solet, explicationis gratia appositum. Ceterum *φαίνεσθαι* cum participio conjunctum est *reperiri* s. *deprehendi, manifesto esse*, vid. Zeune ad Viger. p. 313. Fischer. ad Weller. t. iii. p. ii. p. 49. Ast.

μουσικὸς] Cf. Lach. p. 181. D. 188. C. Tim. 339. D. Sext. Empir. adv. Music. vi. §. 13. p. 359. *οἵ τε μέγα δυνηθέντες ἐν φιλοσοφίᾳ, καθάπερ καὶ Πλάτων, τὸν σοφὸν ὅμοιόν φασι εἶναι τῷ μουσικῷ, τὴν ψυχὴν ἡρμοσμένην ἔχοντα*. Cf. Wernsdorf. ad Himer. p. 285. et Wyttenbach. ad Phædon. §. 4. Ast.

αὐτὸν ποιήσειν, ἃς δ' ἂν λύσειν τὴν ὑπάρχουσαν ἕξιν, φεύξεται ἰδίᾳ καὶ δημοσίᾳ. Οὐκ[o] ἄρα, ἔφη, τά γε πολιτικὰ ἐθελήσει πράττειν, ἐάν περ τούτου[p] κήδηται; Νὴ[q] τὸν κύνα,[r] ἦν δ' ἐγώ, ἔν γε[s] τῇ ἑαυτοῦ πόλει καὶ μάλα, οὐ μέντοι ἴσως ἔν γε τῇ πατρίδι, ἐὰν[t] μὴ θεία τις ξυμβῇ τύχη. Μανθάνω, ἔφη· ἐν ἧ νῦν δὴ[u] διήλθομεν οἰκίζοντες πόλει[v] λέγεις, τῇ ἐν λόγοις κειμένῃ, ἐπεὶ[w] γῆς γε οὐδαμοῦ οἶμαι[x] αὐτὴν εἶναι. Ἀλλ', ἦν δ' ἐγώ, ἐν οὐρανῷ ἴσως παράδειγμα ἀνάκειται τῷ βουλομένῳ ὁρᾶν καὶ ὁρῶντι ἑαυτὸν κατοικίζειν. διαφέρει δὲ οὐδὲν εἴτέ[y] που ἔστιν εἴτε ἔσται· τὰ γὰρ ταύτης μόνης ἂν πράξειεν, ἄλλης δὲ οὐδεμιᾶς. Εἰκός γ', ἔφη. III. i. 465.

οὐκ ἐθελήσει τὰ πολιτικὰ b.—[p] τοῦτο Φ.—[q] Νὴ...πατρίδι om b.—[r] δία ΘΠDKqr, κύνα δία v.—[s] τε DK.—[t] εἰ b.—[u] δὴ DKq: νῦν [*]s.—[v] πόλιν v.—[w] ἐπὶ Θv.—[x] οἶμαι om K.—[y] ἢ Θr, εἴτ' v.

νὴ τὸν κύνα] De Socratis jurejurando per canem vid. Schol. Ruhnken. p. 5. et Fischer. ad Apolog. p. 86. Ast.

ἐπεὶ γῆς] Legit et Ficinus ἐπὶ γῆς δὲ οὐδ. sed eleganter jungitur genit. γῆς cum adverb. οὐδαμοῦ, retinendo ἐπεὶ et γε. Steph.

ἐπεὶ γῆς] Ficinus, ut bene Stephanus observavit, videtur legisse ἐπὶ γῆς δὲ οὐδαμοῦ: vertit enim: *in terris vero nusquam.* Ast.

ἐν οὐρανῷ] Respexerunt hoc Athen. xi. p. 508. B. Clemens Alexandr. Strom. iv. p. 543. Sylb. t. i. p. 642. Pott. Origen. c. Cels. v. 43. t. i. p. 611. B. ed. Paris. Gregor. Nazianz. in Julian. i. Theodoret. Therapeut. ix. t. iv. p. 619. B. Vid. Holsten. ad Porphyr. p. 83. ed. Cantabr. et Gataker. ad M. Antonin. ix. §. 29. p. 278. Ast.

ΠΟΛΙΤΕΙΑ,

I.

Steph. II. 595. Bek. III. i. 466.

§. 1. Καὶ μήν,[a] ἦν δ' ἐγώ, πολλὰ μὲν καὶ ἄλλα περὶ αὐτῆς ἐννοῶ, ὡς παντὸς ἄρα μᾶλλον ὀρθῶς ᾠκίζομεν τὴν πόλιν, οὐχ ἥκιστα δὲ ἐνθυμηθεὶς περὶ ποιήσεως λέγω. Τὸ ποῖον; ἔφη. Τὸ μηδαμῇ παραδέχεσθαι[b] αὐτῆς ὅση μιμητική· παντὸς γὰρ μᾶλλον οὐ παραδεκτέα[c] νῦν καὶ ἐναργέστερον, ὡς ἐμοὶ δοκεῖ, φαίνεται, ἐπειδὴ χωρὶς ἕκαστα διήρηται τὰ τῆς ψυχῆς εἴδη. Πῶς λέγεις; Ὡς μὲν[d] πρὸς ὑμᾶς εἰρῆσθαι—οὐ γάρ μου κατερεῖτε[e] πρὸς τοὺς

[a] μὲν om DKq.—[b] παρέχεσθαι γ.—[c] παραδεκτέον Φm.—[d] με DK.—[e] καρτερεῖτε

§. 1. *καὶ μὴν*] Laudat Procl. in Polit. p. 404. v. 3. infr. Ast.

ᾠκίζομεν] Pro aoristo præterito positum est, ut Tim. p. 35. B. *ἤρχετο—ἀφεῖλε*. Vid. Matthiæ Gr. Gr. p. 705. Ast.

αὐτῆς ὅση] Genitivus pendet e pronomine relativo; vid. Matth. Gr. Gr. p. 478.—Mox Procl. *πάντως* et *παραδεκτέον* (sic et Cod. Monac. Nr. 490. quo libri hujus fragmentum continetur).—Ceterum bene observat Morgenstern. Comment. p. 249. ad h. l. 'nunc demum, quum animi humani partes (l. iv.) cupiditatum genera (l. ix.) et sincera voluptas ab adulterinis generibus distinctæ essent, quæ adhuc de poesi dicenda erant, satis clare intelligi poterant. Adeo verum est, quod in præf. dixi, sub confusionis cujusdam specie in libb. de rep. ordinem exquisitissimum latere.' Ast.

εἰρῆσθαι] Non *εἰρῆσθαι*, sed *εἰρήσθω*, legitur apud Eusebium, afferentem hunc locum: sed ex iis quæ antea protuli exemplis hujus generis loquendi, scribendum esse *εἰρῆσθαι* constat. Neque tamen mirum est interim si depravatum non illic solum sed alibi etiam fuit, utpote multis insolens et peregrinum. Steph.

ὑμᾶς εἰρῆσθαι] Laudat Euseb. Præp. Evang. xii. 49. p. 618. C. ubi *εἰρήσθω* scribitur. Proclus habet *ἡμᾶς*. Mox Procl. *τραγῳδίας* sine articulo—*πάντας* (sic et Euseb.) *τοὺς μιμητικούς*.—Euseb. *πῇ δὲ—ἔοικε γάρ*. Simili Ciceronis loco

τῆς[f] τραγῳδίας ποιητὰς καὶ τοὺς ἄλλους ἅπαντας τοὺς[g] μιμητικούς—λώβη ἔοικεν[h] εἶναι πάντα τὰ τοιαῦτα[i] τῆς τῶν ἀκουόντων διανοίας, ὅσοι μὴ ἔχουσι φάρμακον τὸ[k] εἰδέναι αὐτὰ οἷα τυγχάνει ὄντα. Πῇ δή, ἔφη, διανοούμενος λέγεις; Ῥητέον, ἦν δ' ἐγώ. καί τοι φιλία γέ τίς με[l] καὶ αἰδὼς ἐκ παιδὸς ἔχουσα περὶ Ὁμήρου ἀποκωλύει λέγειν. ἔοικε μὲν γὰρ τῶν καλῶν ἁπάντων τούτων τῶν τραγικῶν πρῶτος διδάσκαλός τε καὶ ἡγεμὼν γενέσθαι. ἀλλ' οὐ γὰρ[m] πρό γε τῆς ἀληθείας τιμητέος ἀνήρ, ἀλλ' ὃ λέγω, ῥητέον. Πάνυ μὲν οὖν, ἔφη. Ἄκουε δή, μᾶλλον δὲ ἀποκρίνου. Ἐρώτα. Μίμησιν ὅλως ἔχοις[n] ἂν μοι εἰπεῖν ὅ τί ποτ' ἔστιν; οὐδὲ γάρ τοι[o] αὐτὸς πάνυ τι[p] ξυνοῶ τί[q] βούλεται εἶναι. Ἦ που ἆρ', ἔφη, ἐγὼ[r] ξυννοήσω. Οὐδέν γε, ἦν δ' ἐγώ, ἄτοπον, ἐπεὶ[s] πολλά τοι[t] ὀξύτερον βλεπόντων ἀμβλύτερον ὁρῶντες πρότεροι[u] εἶδον. Ἔστιν, ἔφη, οὕτως·[v] ἀλλὰ σοῦ παρόντος οὐδ' ἂν προθυμηθῆναι οἷός τε εἴην εἰπεῖν εἴ τί[w] μοι καταφαίνεται, ἀλλ' αὐτὸς ὅρα. Βούλει οὖν ἐνθένδε ἀρξώμεθα[x] ἐπισκοποῦντες, ἐκ τῆς εἰωθυίας μεθόδου; εἶδος γάρ πού τι ἓν[y] ἕκαστον εἰώθαμεν[z]

III. i. 467.

II. 596.

ΘΠD.—[f] τῆς om mr.—[g] τοὺς om Ξm.—[h] ὡς ἔοικεν Φm.—[i] τὰ τοιαῦτα πάντα Θr.—[k] τοῦ ΘDKvr.—[l] μέ τις γε r.—[m] γὰρ post γε ponit Θ.—[n] ἔχοις ὅλως Ξm.—[o] τι ΦDq.—[p] τοι ΘΞKr et rc q.—[q] ὅτι r.—[r] ἐγὼ om r.—[s] ἐπὶ D.—[t] γε v.—[u] πρότερον s.—[v] οὕτος r.—[w] ὅτι v.—[x] ἀρξόμεθα r.—[y] ἓν om DKq.—[z] εἰώθειμεν r.

illustravit hæc verba P. Victorius Var. Lect. ix. 21. Ast.

ἡγεμὼν] Vocem ἡγεμὼν Gregorius, qui in Hermogen. περὶ μεθ. δεινοτ. p. 959. t. viii. Oratt. Græc. Reisk. hunc locum laudat, interpretatur v. πατήρ. Ast.

ἀλλ' οὐ γὰρ] Laudat Justin. Martyr. Apolog. ii. 3. p. 94. C. Procl. in Polit. p. 407. v. 19. et respexit Ammon. in vit. Aristot. p. 9. et Nunnes. not. p. 106. ed. Lugd. Bat. Apud Justin. scribitur οὔτε γε: Ald. Bas. 1. et 2. πρός γε pro πρὸ, et pro ἀνὴρ Bas. 2. τοῦτο. In his ἀνὴρ sine articulo (etsi proclive scriptu ὁ ἀνὴρ s. ἀνὴρ) recte positum est vi pronominis definiti, idque sensu ironico, ut Phædon. 98. B. ὁρῶ ἄνδρα τῷ μὲν νῷ οὐδὲν χρώμενον, ubi Wyttenbach. plura in hanc rem exempla excitat, sed male ambigit, utrum ἄνδρα pro ἄνδρα τινὰ, an pro τὸν ἄνδρα positum sit. Vide, quæ de voce ἀνὴρ, pronominis partes agente ad Phædr. p. 365. exposuimus. Ast.

γάρ τοι] Ald. Bas. 1. et 2. γάρ τι. Ast.

βλεπόντων—ὁρῶντες] Sine articulo posita sunt, quod haud infrequens est, præcipue in neutris, ut v. 21. μὴ ὄντι—ὄντι—οὐκ ὄν. Vid. Matthiæ Gr. Græc. p. 834.—Deinde Cod. Reg. et Bas. 2. πρότεροι, quod idem valet. Ast.

πρότερον] Legitur etiam πρότεροι, eodem sensu. Nihilo autem minus potuit omitti artic. οἱ ante ἀμβλύτερον, quam τῶν ante ὀξύτερον. Steph.

καταφαίνεται] In præced. edit. scriptum est καταμαίνεται: cujus vocabuli quidam sequentes vestigia, substituendum putaverunt καταμανθάνεται: sed multo est aptior vet. exempl. lectio, καταφαίνεται. Steph.

τίθεσθαι περὶ ἕκαστα τὰ πολλὰ οἷς ταὐτὸν ὄνομα ἐπιφέρομεν. ἢ οὐ μανθάνεις;[a] Μανθάνω. Θῶμεν δὴ καὶ νῦν ὅ τι βούλει τῶν πολλῶν. οἷον, εἰ θέλεις, πολλαί πού[b] εἰσι κλῖναι[c] καὶ τράπεζαι. Πῶς δ' οὔ; Ἀλλὰ ἰδέαι γέ που
III. i. 468. περὶ ταῦτα τὰ σκεύη δύο, μία μὲν κλίνης, μία δὲ τραπέζης. Ναί. Οὐκοῦν καὶ εἰώθαμεν λέγειν ὅτι ὁ δημιουργὸς ἑκατέρου τοῦ σκεύους πρὸς τὴν ἰδέαν βλέπων οὕτω ποιεῖ ὁ μὲν τὰς κλίνας, ὁ δὲ τὰς τραπέζας,[d] αἷς ἡμεῖς χρώμεθα, καὶ τἆλλα κατὰ ταὐτά; οὐ γάρ που τήν γε ἰδέαν αὐτὴν δημιουργεῖ οὐδεὶς τῶν δημιουργῶν· πῶς γάρ; Οὐδαμῶς. Ἀλλ' ὅρα δὴ καὶ τόνδε τινα καλεῖς τὸν δημιουργόν. Τὸν[e] ποῖον; Ὃς πάντα ποιεῖ ὅσα περ εἷς ἕκαστος τῶν χειροτεχνῶν. Δεινόν τινα λέγεις καὶ θαυμαστὸν ἄνδρα. Οὔ πω γε, ἀλλὰ τάχα[f] μᾶλλον φήσεις. ὁ αὐτὸς γὰρ οὗτος χειροτέχνης οὐ μόνον πάντα οἷός τε σκεύη ποιῆσαι, ἀλλὰ καὶ τὰ ἐκ τῆς γῆς φυόμενα ἅπαντα ποιεῖ καὶ ζῶα πάντα ἐργάζεται, τά τε ἄλλα καὶ ἑαυτόν, καὶ πρὸς τούτοις γῆν[g] καὶ οὐρανὸν καὶ θεοὺς καὶ πάντα τὰ ἐν οὐρανῷ καὶ τὰ ἐν Ἅιδου ὑπὸ γῆς ἅπαντα ἐργάζεται. Πάνυ θαυμαστόν, ἔφη, λέγεις σοφιστήν. Ἀπιστεῖς; ἦν δ' ἐγώ. καί μοι εἰπέ, τὸ παράπαν οὐκ ἄν σοι δοκεῖ[h] εἶναι τοιοῦτος δημιουργός, ἢ τινὶ μὲν τρόπῳ γενέσθαι ἂν[i] τούτων ἁπάντων ποιητής, τινὶ δὲ οὐκ ἄν; ἢ οὐκ αἰσθάνει ὅτι κἂν αὐτὸς οἷός
III. i. 469. τε εἴης πάντα ταῦτα ποιῆσαι τρόπῳ γέ τινι; Καὶ τίς, ἔφη, ὁ τρόπος οὗτος; Οὐ χαλεπός,[k] ἦν δ' ἐγώ, ἀλλὰ πολλαχῇ καὶ ταχὺ[l] δημιουργούμενος· τάχιστα δέ που, εἰ θέλεις[m] λαβὼν κάτοπτρον περιφέρειν πανταχῇ, ταχὺ μὲν ἥλιον ποιήσεις καὶ τὰ ἐν τῷ[n] οὐρανῷ, ταχὺ δὲ γῆν, ταχὺ δὲ σαυτόν τε καὶ τἆλλα ζῶα καὶ σκεύη καὶ φυτὰ καὶ πάντα ὅσα νῦν δὴ ἐλέγετο.[o] Ναί, ἔφη, φαινόμενα,[p]

—[a] μανθάνω, ἔφη. θῶμεν r.—[b] που om v.—[c] κλῖναι ΘΞΠΦ: κλίναι *s.—[d] δὲ τραπέζας m.—[e] τὸν om K.—[f] ταῦτα ΘΠDKqr.—[g] καὶ γῆν ΞΦm.—[h] δοκῇ Φ, δοκοῖ qr. —[i] ἂν om Θr.—[k] χαλεπῶς Φvm.—[l] καὶ ταχὺ om q.—[m] θέλοις Π.—[n] τῷ om ΘΦr.

κατὰ ταυτὰ] Sic bene Stephanus correxit. Ald. Bas. 1. et 2. κατὰ ταῦτα. Ast.

νῦν δὴ ἐλέγομεν] Sic Bas. 2. ut Ficinus vertit, *quæcunque nuper commemoravimus.* Ast.

οὐ μέντοι ὄντα γέ που τῇ ἀληθείᾳ. Καλῶς, ἦν δ' ἐγώ, καὶ εἰς δέον ἔρχει[q] τῷ λόγῳ. τῶν τοιούτων γάρ, οἶμαι, δημιουργῶν καὶ ὁ ζωγράφος ἐστίν. ἦ γάρ; Πῶς γὰρ οὔ; Ἀλλὰ φήσεις οὐκ ἀληθῆ, οἶμαι, αὐτὸν[r] ποιεῖν ἃ ποιεῖ. καί τοι τρόπῳ γέ τινι καὶ ὁ ζωγράφος κλίνην ποιεῖ. ἢ οὔ; Ναί, ἔφη, φαινομένην[s] γε καὶ οὗτος. [§. 2.] Τί δὲ ὁ κλινοποιός; οὐκ ἄρτι μέντοι ἔλεγες ὅτι οὐ[t] τὸ εἶδος ποιεῖ ὃ II. 597. ἐστὶ κλίνη, ἀλλὰ κλίνην τινά; Ἔλεγον[u] γάρ. Οὐκοῦν εἰ μὴ ὃ ἔστι ποιεῖ,[v] οὐκ ἂν τὸ ὂν ποιοῖ, ἀλλά τι τοιοῦτον[w] οἷον τὸ ὄν, ὂν δὲ[x] οὔ; τελέως δὲ εἶναι ὂν τὸ τοῦ κλινουργοῦ[y] ἔργον ἢ ἄλλου τινὸς χειροτέχνου εἴ τις φαίη, κινδυνεύει οὐκ ἂν[z] ἀληθῆ λέγειν;[a] Οὔκουν, ἔφη, ὥς γ' ἂν[b] δόξειε τοῖς περὶ τοὺς τοιούσδε[c] λόγους διατρίβουσιν. Μηδὲν ἄρα θαυμάζωμεν[d] εἰ καὶ τοῦτο ἀμυδρόν τι τυγχάνει[e] ὂν πρὸς ἀλήθειαν; Μὴ γάρ. Βούλει οὖν, III. i. 470. ἔφην, ἐπ' αὐτῶν τούτων ζητήσωμεν[f] τὸν μιμητὴν τούτου[g] τίς ποτ' ἐστίν; Εἰ βούλει, ἔφη. Οὐκοῦν τρισταί τινες κλῖναι αὗται γίγνονται, μία μὲν ἡ ἐν[h] τῇ φύσει οὖσα, ἣν φαῖμεν ἄν,[i] ὡς ἐγᾦμαι, θεὸν ἐργάσασθαι.[k] ἢ τίνα[l] ἄλλον;

—[o] ἐλέγομεν Ξ.—[p] φαινόμεθα r.—[q] ἄρχη Kv, κέχρη r.—[r] αὐτὸν οἶμαι v.—[s] φαινομένης Φ.—[t] οὐδὲ Φ.—[u] ἐλέγομεν ΘΠDKqr.—[v] ποιοῖ Φ.—[w] τοιοῦτον ΘΞΠΦDKq κλιν mr: τοιοῦτο [s]σ.—[x] ὂν δὲ...ὂν om v.—[y] δημιουργοῦ v, δημιουργοῦ ΘΠDKqr.—[z] ἂν οὑσδε om Θ.—[a] λόγον q.—[b] γὰρ v.—[c] τοιούτους Φ.—[d] θαυμάζομεν r.—[e] τε τυγχάνοι Φ.—[f] ζητήσομεν r: ζητήσωμεν post τούτου ponit q.—[g] τοῦτον ΘΞΠΦDmr, τούτων Kv.—[h] ἐν om Am.—[i] ἂν om r.—[k] εἰργάσθαι Dq.—[l] τίν' m.—[m] ναὶ ἔφη om K.—

ἐς δέον] *Ita ut expedit.* Ast.

ἔρχει τῷ λόγῳ] I. q. ἐς s. ἐπὶ τὸν λόγον, *orationem* (i. e. rem, quæstionem propositam) *aggrederis*, i. e. capis. Ast.

§. 2. τούτου] Quidam vet. τούτων. Steph.

μιμητὴν τοῦτον] Sic Cod. Monac. Bas. 2. et Ficinus, qui vertit: *qui imitator iste sit.* Vulgo τούτου. Ast.

ἡ ἐν τῇ φύσει οὖσα] *Quæ in natura*, h. e. per se et revera (φύσει, ut infra: μίαν φύσει αὐτὴν) est. Sic infra μίαν ἐν τῇ φύσει, et αὐτὸ ἐν τῇ φύσει ἕκαστον. Sic et in Parmenide p. 132. D. vel φύσει vel ἐν τῇ φύσει (posterius nunc amplexandum existimo) legendum est. Vid. nostra ad Phædr. p. 314. Ast.

ἢ τίνα ἄλλον] Affertur et alia lectio ἢ τινα ἄλλον: sed alteram, quæ habet interrogationem, retinendam esse ostendit etiam responsio, Οὐδένα. Quamvis autem hæc ἢ τινα ἄλλον et ἢ τίνα ἄλλον, non aliter quam accentu differant, quod ad scripturam attinet, valde tamen diversum sensum efficiunt. Nam ἢ τινὰ ἄλλον esset dubitantis, et alium quempiam non minus existimantis potuisse idem efficere (quod inepte subjungeretur post illa verba, ἣν φαῖμεν ἄν, ὡς ἐγᾦμαι, θεὸν ἐργάσασθαι) at vero ἢ τίνα ἄλλον, est existimantis non debere alium censeri ejus auctorem. Quasi dicat, 'Alioqui enim, quem, nisi deum, illam fecisse diceremus?' Quod si scriberetur, ἢ τινὰ ἄλλον, subjuncta interrogationis nota, sensus esset, 'An alium quempiam?' sub. censes eam fecisse? Steph.

Οὐδένα, οἶμαι. Μία δέ γε ἦν ὁ τέκτων. Ναί, ἔφη.[m] Μία δὲ ἦν[n] ὁ ζωγράφος. ἦ γάρ; Ἔστω.[o] Ζωγράφος δή, κλινοποιός, θεός, τρεῖς οὗτοι ἐπιστάται τρισὶν εἴδεσι κλινῶν. Ναὶ τρεῖς. Ὁ μὲν δὴ θεός, εἴτε οὐκ ἐβούλετο εἴ τέ τις ἀνάγκη ἐπῆν μὴ πλέον ἢ μίαν ἐν τῇ φύσει ἀπεργάσασθαι[p] αὐτὸν κλίνην, οὕτως ἐποίησε μίαν μόνην[q] αὐτὴν[r] ἐκείνην[s] ὃ ἔστι κλίνη. δύο δὲ τοιαῦται ἢ πλείους οὔτε ἐφυτεύθησαν ὑπὸ τοῦ θεοῦ οὔτε μὴ φυῶσιν.[t] Πῶς δή;[u] ἔφη. Ὅτι, ἦν δ' ἐγώ, εἰ δύο μόνας ποιήσειε, πάλιν ἂν μία ἀναφανείη ἧς ἐκεῖναι ἂν[v] αὖ ἀμφότεραι τὸ εἶδος ἔχοιεν, καὶ εἴη ἂν ὃ ἔστι κλίνη ἐκείνη, ἀλλ' οὐχ αἱ δύο. Ὀρθῶς, ἔφη. Ταῦτα δή, οἶμαι, εἰδὼς ὁ θεός, βουλόμενος εἶναι ὄντως[w] κλίνης ποιητὴς ὄντως οὔσης, ἀλλὰ μὴ κλίνης τινὸς μηδὲ κλινοποιός τις, μίαν φύσει αὐτὴν ἔφυσεν. Ἔοικεν. Βούλει οὖν τοῦτον[x] μὲν φυτουργὸν τούτου
III. i. 471. προσαγορεύωμεν,[y] ἢ[z] τι τοιοῦτον; Δίκαιον γοῦν, ἔφη, ἐπειδή περ φύσει γε καὶ τοῦτο καὶ τἆλλα πάντα πεποίηκε. Τί δέ; τὸν τέκτονα ἆρ' οὐ δημιουργὸν κλίνης; Ναί. Ἦ καὶ τὸν ζωγράφον δημιουργὸν καὶ ποιητὴν[a] τοῦ τοιούτου; Οὐδαμῶς. Ἀλλὰ τί αὐτὸν κλίνης φήσεις εἶναι;[b] Τοῦτο, ἦ δ' ὅς, ἔμοιγε δοκεῖ μετριώτατ'[c] ἂν προσαγορεύεσθαι, μιμητὴς[d] οὖ ἐκεῖνοι δημιουργοί. Εἶεν, ἦν δ' ἐγώ, τὸν τοῦ τρίτου ἄρα γεννήματος ἀπὸ τῆς φύσεως μιμητὴν καλεῖς;

[m] δὲ οἶμαι ἦν Κ.—[o] ἔσται Φm.—[p] ἀπεργάζεσθαι ΞΦm.—[q] μόνον ΘΠDKq, μόνον ν.—[r] αὐτὸν om ν.—[s] ἐκείνην om ϒ.—[t] μὴν φύσει Φ.—[u] δ' ΘΠDKqϒ.—[v] ἂν om q.—[w] οὕτως ν.—[x] τὸν Κ.—[y] προσαγορεύομεν DK.—[z] ὃ q.—[a] ποιητὴν καὶ δημιουργὸν Θ.—[b] εἶναι φήσεις Κ.—[c] μετριώτερ' ϒ.—[d] μηνυτὴς m, ποιητὴς ϒ.—[e] μὲν om ν.—

ἢ τίνα ἄλλον] Ficinus videtur legisse ἤ τινα ἄλλον; vertit enim, *num alium quemquam;* sed rectius habet ἢ τίνα (*quem*) ἄλλον; Ast.

ναί, ἔφη] Hæc absunt a Codd. Reg. et Monac. Ficinus expressit vertendo *plane.* Ast.

ὃ ἔστι κλίνη] Est, *Scilicet κλίνην per se s. κλίνην ὄντως οὖσαν,* ut infra. Sic paulo post καὶ εἴη ἄν, ὃ ἔστι κλίνη, ἐκείνη (*ille esset lectus per se et revera existens, ὄντως ὤν*). Neutrum in definitionibus significat generale, ut in αὐτὸ δικαιοσύνη al. vid. ad l. i. 9. τοῦτο ἐφάνη ἡ δικαιοσύνη ὄν.—De sequente οὔτε μὴ φυῶσι (*neque cogitandum eas nascituras esse,* h. e. numquam nascentur) vid. ad i. 15. Ast.

κλίνης] Genitivus absolutus, *quod attinet ad lectum;* v. Matth. Gr. Gr. p. 435. Ast.

τοῦτο] Verbis appellandi sic solet jungi, ut sit *ita* (proprie *hoc nomine, κατὰ τοῦτο τὸ ὄνομα*; vide nostra ad Phædr. p. 258. et Matthiæ Gr. Gr. p. 569.).—Mox ad μιμητὴς int. τούτου, οὗ ἐκεῖνοι δημιουργοί. Ast.

Πάνυ μὲν[e] οὖν, ἔφη. Τοῦτ'[f] ἄρα[g] ἔσται καὶ ὁ τραγῳδοποιός,[h] εἴ περ μιμητής ἐστι, τρίτος τις[i] ἀπὸ βασιλέως καὶ τῆς ἀληθείας πεφυκώς, καὶ πάντες οἱ ἄλλοι μιμηταί. Κινδυνεύει. Τὸν μὲν δὴ[k] μιμητὴν ὡμολογήκαμεν· εἰπὲ δέ μοι περὶ τοῦ ζωγράφου τόδε. πότερα ἐκεῖνο αὐτὸ τὸ ἐν II. 598.
τῇ φύσει ἕκαστον δοκεῖ σοι ἐπιχειρεῖν[l] μιμεῖσθαι ἢ τὰ τῶν δημιουργῶν ἔργα; Τὰ τῶν δημιουργῶν, ἔφη. Ἆρα οἷα ἔστιν ἢ οἷα φαίνεται; τοῦτο γὰρ ἔτι διόρισον. Πῶς λέγεις; ἔφη. Ὧδε. κλίνη, ἐάν τε ἐκ πλαγίου αὐτὴν θεᾷ[m] ἐάν τε καταντικρὺ ἢ ὁπηοῦν, μή τι διαφέρει αὐτὴ ἑαυτῆς, ἢ διαφέρει μὲν οὐδέν,[n] φαίνεται δὲ ἀλλοία;[o] καὶ τἆλλα ὡσαύτως; Οὕτως, ἔφη· φαίνεται, διαφέρει δ' οὐδέν. Τοῦτο III. i. 472.
δὴ αὐτὸ σκόπει. πρὸς πότερον[p] ἡ γραφικὴ πεποίηται περὶ ἕκαστον; πότερα[q] πρὸς τὸ ὄν,[r] ὡς ἔχει, μιμήσασθαι, ἢ πρὸς τὸ φαινόμενον, ὡς φαίνεται, φαντάσματος ἢ ἀληθείας οὖσα μίμησις; Φαντάσματος, ἔφη. Πόρρω που ἄρα[s] τοῦ ἀληθοῦς ἡ μιμητικὴ ἐστι· καὶ ὡς ἔοικε, διὰ τοῦτο πάντα[t] ἀπεργάζεται, ὅτι σμικρόν τι ἑκάστου ἐφάπτεται, καὶ τοῦτο εἴδωλον. οἷον ὁ ζωγράφος, φαμέν, ζωγραφήσει ἡμῖν σκυτοτόμον, τέκτονα, τοὺς ἄλλους δημιουργούς, περὶ οὐδενὸς τούτων ἐπαΐων τῶν τεχνῶν· ἀλλ' ὅμως παῖδάς γε[u] καὶ ἄφρονας ἀνθρώπους, εἰ ἀγαθὸς εἴη ζωγράφος, γράψας[v] ἂν[w] τέκτονα καὶ πόρρωθεν ἐπιδεικνὺς ἐξαπατῷ[x] ἂν τῷ δοκεῖν ὡς ἀληθῶς τέκτονα εἶναι. Τί δ' οὔ; Ἀλλὰ γάρ, οἶμαι, ὦ φίλε, τόδε[y] δεῖ περὶ πάντων τῶν τοιούτων διανοεῖσθαι, ἐπει-

[e] τοῦτ' ΑΘΠΦDKqv: ταῦτ' *s.—[g] ἄρ' m.—[h] τραγῳδοποιὸς ΑΞΦKvmr: τραγῳδιοποιὸς *s.—[i] τις τρίτος Θ: τις om r.—[k] δή ΞΦKvm.—[l] ἐπιχειρεῖ Ξ.—[m] θεῷ Φm, θεὸν r.—[n] αὐτὴν r.—[o] ἄλληλα Θ.—[p] πρότερον ΘΠ.—[q] πότερον m.—[r] ὂν r.—[s] ἄρα που ΑΞΦvm, που ἄρα που Π.—[t] πάντα ΑΘΞΠDKqvmr, ταῦτα πάντα Φ: ταῦτα s.—[u] γε ΘΠDq: τε *s.—[v] γράψαι m.—[w] ἀγὸν q.—[x] ἐξαπατῶι ΑΘΠΦDqvmr et pr Ξ, ἐξαπατᾶ K: ἐξαπατῴη s.—[y] τότε K.—[z] του ΑΘΠDKqvr: τούτου *s.—

τοῦτ' ἄρα] E cod. Monac. recepimus pro ταῦτ' ἄρα. Deinde ex eodem et Proclo in Polit. p. 405. p. 15. scripsimus τραγῳδοποιὸς, vid. Fischer. ad Sympos. p. 203. Paulo post Proclus τὶς præ-termittit et οἱ ἄλλοι πάντες legit. Ast.

εἰπὲ δέ μοι] Cod. Monac. δή μοι. Ficinus: *sed de pictore mihi dicas velim.* Ast.

πάντα] Sic Cod. Reg. quod et Ficinus expressit vertendo, *propterea omnia potest facere*, et sensus requirit. Ast.

περὶ οὐδενὸς—ἐπαΐων] Exspectabas οὐδὲν περὶ τούτων ἐπαΐων τῶν τεχνῶν, et fortasse ita legendum est. Ast.

γράψας ἂν] *Si forte pinxerit fabrum.* Ast.

δάν τις ἡμῖν ἀπαγγέλλῃ περί του,[z] ὡς ἐνέτυχεν[a] ἀνθρώπῳ πάσας ἐπισταμένῳ τὰς δημιουργίας καὶ τἆλλα πάντα, ὅσα εἷς ἕκαστος οἶδεν, οὐδὲν ὅ τι οὐχὶ[b] ἀκριβέστερον ὁτουοῦν[c] ἐπισταμένῳ·[d] ὑπολαμβάνειν δεῖ τῷ τοιούτῳ[e] ὅτι εὐήθης τις ἄνθρωπος, καὶ ὡς ἔοικεν, ἐντυχὼν γόητί τινι καὶ μιμητῇ ἐξηπατήθη, ὥστε ἔδοξεν αὐτῷ πάσσοφος[f] εἶναι, διὰ
XII. i. 473. τὸ αὐτὸς μὴ οἷός τ' εἶναι ἐπιστήμην καὶ ἀνεπιστημοσύνην καὶ μίμησιν[g] ἐξετάσαι. Ἀληθέστατα, ἔφη. [§. 3.] Οὐκοῦν, ἦν δ' ἐγώ, μετὰ τοῦτο ἐπισκεπτέον τήν τε τραγῳδίαν καὶ τὸν ἡγεμόνα αὐτῆς Ὅμηρον, ἐπειδή[h] τινων ἀκούομεν ὅτι οὗτοι πάσας μὲν τέχνας ἐπίστανται,[i] πάντα δὲ τἀνθρώπεια[k] τὰ πρὸς ἀρετὴν καὶ κακίαν, καὶ τά γε θεῖα·[l] ἀνάγκη γὰρ τὸν ἀγαθὸν ποιητήν, εἰ μέλλει, περὶ ὧν ἂν ποιῇ,[m] καλῶς ποιήσειν, εἰδότα[n] ἄρα ποιεῖν ἢ μὴ οἷόν τε[o] εἶναι ποιεῖν. δεῖ δὴ ἐπισκέψασθαι πότερον μιμηταῖς τούτοις[p] οὗτοι ἐντυχόντες ἐξηπάτηνται καὶ τὰ ἔργα αὐτῶν
II. 599. ὁρῶντες οὐκ αἰσθάνονται τριττὰ ἀπέχοντα τοῦ ὄντος καὶ[q] ῥᾴδια ποιεῖν μὴ εἰδότι[r] τὴν ἀλήθειαν, φαντάσματα γὰρ[s] ἀλλ' οὐκ ὄντα ποιοῦσιν, ἢ[t] τι καὶ λέγουσι καὶ τῷ ὄντι οἱ[u] ἀγαθοὶ ποιηταὶ ἴσασι περὶ ὧν δοκοῦσι τοῖς πολλοῖς εὖ λέγειν; Πάνυ μὲν οὖν, ἔφη, ἐξεταστέον. Οἴει οὖν, εἴ τις ἀμφότερα δύναιτο ποιεῖν, τό τε μιμηθησόμενον καὶ τὸ εἴδωλον,[v] ἐπὶ τῇ τῶν εἰδώλων δημιουργίᾳ ἑαυτὸν ἀφεῖναι ἂν σπουδά-

γον ὑπὲρ αὐτῆς εἰπεῖν, ὡς οὐ μόνον ἡδεῖα ἀλλὰ καὶ ὠφελίμη πρὸς τὰς πολιτείας καὶ τὸν βίον τὸν ἀνθρώπινον ἐστί· καὶ εὐμενῶς ἀκουσόμεθα. κερδανοῦμεν γάρ που, ἐὰν μὴ μόνον ἡδεῖα φανῇ ἀλλὰ καὶ ὠφελίμη. Πῶς δ' οὐ μέλλομεν, ἔφη, κερδαίνειν; Εἰ δέ γε μή, ὦ φίλε ἑταῖρε, ὥς περ οἱ ποτέ που[r] ἐρασθέντες, ἐὰν ἡγήσωνται μὴ ὠφέλιμον εἶναι τὸν ἔρωτα, βίᾳ μέν, ὅμως δὲ ἀπέχονται,[s] καὶ ἡμεῖς οὕτω, διὰ τὸν ἐγγεγονότα μὲν ἔρωτα τῆς τοιαύτης ποιήσεως ὑπὸ
II. 608. τῆς[t] τῶν καλῶν[u] πολιτειῶν τροφῆς, εὖνοι μὲν ἐσόμεθα φανῆναι αὐτὴν ὡς βελτίστην καὶ[v] ἀληθεστάτην, ἕως δ' ἂν μὴ οἵα τ' ᾖ[w] ἀπολογήσασθαι, ἀκροασόμεθ'[x] αὐτῆς ἐπᾴδοντες ἡμῖν αὐτοῖς τοῦτον τὸν λόγον ὃν[y] λέγομεν[z] καὶ ταύτην[a] τὴν ἐπῳδήν, εὐλαβούμενοι πάλιν ἐμπεσεῖν[b] εἰς τὸν παιδικόν[c] τε[d] καὶ τὸν τῶν[e] πολλῶν ἔρωτα. αἰσθόμεθα[f] δ' οὖν[g] ὡς οὐ[h]
III. i. 491. σπουδαστέον ἐπὶ τῇ τοιαύτῃ ποιήσει ὡς ἀληθείας τε ἁπτομένῃ καὶ σπουδαίᾳ, ἀλλ' εὐλαβητέον αὐτὴν ὃν[i] τῷ ἀκροωμένῳ, περὶ τῆς ἐν αὑτῷ πολιτείας δεδιότι, καὶ νομιστέα ἅ περ εἰρήκαμεν περὶ ποιήσεως. Παντάπασιν, ἦ δ' ὅς, ξύμφημι. [§. 9.] Μέγας γάρ, ἔφην, ὁ ἀγών, ὦ φίλε Γλαύκων, μέγας, οὐχ ὅσος δοκεῖ, τὸ χρηστὸν ἢ κακὸν γε-

[r] scribe του cum ΑΘΠΦDKqvπτ.—[s] ἀποδέχονται τ.—[t] τῆς om K.—[u] κακῶν Ξ.—[v] τε καὶ Φ.—[w] ἦν Φν.—[x] ἀκροασώμεθα ν, οὐκ ἀκροασόμεθα K.—[y] ὧν ν.—[z] λέγομεν ΑΘΠDKτ: ἐλέγομεν *s.—[a] ταῦτα τ.—[b] ἐκπεσεῖν ν.—[c] τῶν παιδικῶν τ.—[d] τε om τ.—[e] τὸν τῶν om Θτ, τὸν om K.—[f] αἰσθόμεθα ΑΠΦDKνπ, εἰσόμεθα q: αἰσθώμεθα *s.—[g] οὖν om ΘΠDKqτ.—[h] οὐ om DK.—[i] ὃν om ν.—[k] ὥστε τιμῇ τ.—[l] γε

οἵ ποτέ που] Scribendum puto, οἵ ποτέ του ἐρασθέντες. Steph.

οἵ ποτέ του] Sic Cod. Reg. et Stephanus conjecit. Vulgo οἵ ποτέ που. Etiam Ficinus vertit, *quemadmodum qui quandoque aliquid amaverunt*. Ast.

τῶν καλῶν πολιτειῶν] Ironice; namque a vera civitate τροφὴ μιμητικὴ s. ποιητικὴ aliena est, ex Platonis sententia. Ast.

εὖνοι μὲν ἐσόμεθα, φανῆναι] *Non invidebimus ipsi, si optima et verissima videatur esse*. Ast.

αἰσθώμεθα] Cod. Reg. Ald. Bas. 1. et 2. αἰσθόμεθα: Stephanus correxit αἰσθώμεθα et Ficinus vertit, *sentiemus*. Equidem malim legere ᾐσθόμεθα: *intellectum s. judicatum volumus* (v. Hermann. ad Viger. p. 734.). Verba autem hæc prægressis explicationis causa annexa sunt, quocirca punctum, quod in libris editis comparet, in colon mutavimus. Ast. qui sic in Addend. 'Scr. ᾐσθόμεθα, quod si interpreteris *intelleximus* s. *perspeximus*, pro δ' οὖν vide ne γοῦν scribendum sit, ut verba ita se excipiant: ἔρωτα· ᾐσθόμεθα γοῦν; sin explices: *judicatum volumus* s. *sit*, plena interpunctio post ἔρωτα recte habet; tunc enim his verbis conclusio continetur totius orationis prægressæ.'

εὐλαβητέον ὂν] Pro εὐλαβητέον εἶναι (participium pro infinitivo propter αἰσθώμεθα positum est), i. q. εὐλαβεῖσθαι δεῖν αὐτήν. Ast.

§. 9. μέγας—ὁ ἀγών] Similiter Phæ-

νέσθαι, ὥστε οὔτε τιμῇ[k] ἐπαρθέντα οὔτε χρήμασιν οὔτε ἀρχῇ οὐδεμιᾷ οὐδέ γε ποιητικῇ ἄξιον ἀμελῆσαι δικαιοσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς. Ξύμφημί σοι, ἔφη, ἐξ ὧν διεληλύθαμεν· οἶμαι δὲ καὶ ἄλλον οὐτινοῦν.

Καὶ μήν, ἦν δ' ἐγώ, τά γε[l] μέγιστα ἐπίχειρα ἀρετῆς καὶ προκείμενα ἆθλα οὐ διεληλύθαμεν. Ἀμήχανόν τι, ἔφη, λέγεις μέγεθος, εἰ τῶν εἰρημένων μείζω ἐστὶν ἄλλα. Τί δ' ἄν, ἦν δ' ἐγώ, ἕν γε[m] ὀλίγῳ χρόνῳ μέγα γένοιτο; πᾶς[n] γὰρ οὗτός γε ὁ ἐκ παιδὸς μέχρι πρεσβύτου χρόνος πρὸς τὸν[o] πάντα ὀλίγος πού τις ἂν εἴη. Οὐδὲν μὲν οὖν,[p] ἔφη. Τί οὖν; οἴει ἀθανάτῳ πράγματι ὑπὲρ τοσούτου δεῖν[q] χρόνου ἐσπουδακέναι, ἀλλ' οὐχ ὑπὲρ τοῦ παντός; Οἶμαι ἔγωγ', ἔφη. ἀλλὰ τί τοῦτο λέγεις; Οὐκ ἤσθησαι, ἦν δ' ἐγώ, ὅτι ἀθάνατος ἡμῶν ἡ ψυχὴ καὶ οὐδέποτε ἀπόλλυται; Καὶ ὃς ἐμβλέψας[r] μοι καὶ θαυμάσας εἶπε Μὰ Δί' οὐκ III. i. 492.
ἔγωγε· σὺ δὲ τοῦτ'[s] ἔχεις λέγειν; Εἰ μὴ ἀδικῶ γ', ἔφην.[t] οἶμαι δὲ καὶ σύ· οὐδὲν γὰρ χαλεπόν. Ἔμοιγ',[u] ἔφη· σοῦ δ' ἂν ἡδέως ἀκούσαιμι τὸ οὐ[v] χαλεπὸν τοῦτο. Ἀκούοις ἄν, ἦν δ' ἐγώ. Λέγε μόνον, ἔφη.

Ἀγαθόν τι, εἶπον, καὶ κακὸν καλεῖς; Ἔγωγε. Ἆρ' οὖν ὥς περ ἐγὼ περὶ αὐτῶν διανοεῖ;[w] Τὸ ποῖον; Τὸ μὲν ἀπολλύον καὶ διαφθεῖρον πᾶν τὸ κακὸν εἶναι, τὸ δὲ σῶζον καὶ ὠφελοῦν τὸ[x] ἀγαθόν. Ἔγωγ',[y] ἔφη. Τί[z] δέ; κακὸν ἑκάστῳ τι καὶ ἀγαθὸν λέγεις; οἷον ὀφθαλμοῖς ὀφ- II. 609.
θαλμίαν καὶ ξύμπαντι τῷ σώματι νόσον, σίτῳ τε ἐρυσίβην, σηπεδόνα τε[a] ξύλοις, χαλκῷ δὲ καὶ σιδήρῳ ἰόν, καὶ ὅ περ λέγω, σχεδὸν πᾶσι ξύμφυτον ἑκάστῳ κακόν τε[b] καὶ νόση-

om ΘΞmr.—[m] τε v, om q.—[n] πῶς v.—[o] τὸν add q.—[p] οὖν ΑΘΞΠΦqvmr: γοῦν *σ.—[q] δὴ v.—[r] ἐπιβλέψας v.—[s] ποῦτ' v.—[t] ἔφην ΑΘΞΠDKqvmr: ἔφη σ.—[u] οὐ-
μοιγε r.—[v] οὐ om q.—[w] διανοεῖ D, διανόει v.—[x] ὠφελοῦν πᾶν τὸ v.—[y] ἔγωγε τοῦτό γε rc A.—[z] ἔτι v.—[a] τε...τε] γε...γε v.—[b] τι qr, τι om K, post τούτων po-

don. p. 114. C. ubi cf. Wyttenb. Ast.

πᾶς γὰρ οὗτος] Sic vi. 10. ἐς σμικρόν γ', ἔφη, χρόνον εἴρηκας. Ἐς οὐδὲν μὲν οὖν, ἔφην, ἅς γε πρὸς τὸν ἅπαντα. Cicero ad Attic. xii. 18. 'longum illud tempus, quum non ero, magis me movet, quam hoc exiguum.' Pallad. Epigr. cxliv.—πόσον χρόνον ἐνθάδε μίμνεις, Ὡς πρὸς ἐκεῖνον ὅλον τὸν μετὰ ταῦτα βίον; Cf. Plutarch. ad Apollon. p. 111. C. Senec. Epist. 99. §. 10. Soph. Antig. 74. Ast.

εἰ μὴ ἀδικῶ γε] *Si recte sentio, ni fallor.* Vide supra. Ast.

μα; Ἔγωγ', ἔφη. Οὐκοῦν ὅταν τῷ τι τούτων προσγένηται, πονηρόν τε ποιεῖ ᾧ προσεγένετο καὶ τελευτῶν ὅλον διέλυσε καὶ ἀπώλεσεν; Πῶς γὰρ οὔ; Τὸ[c] ξύμφυτον ἄρα κακὸν ἑκάστου καὶ ἡ πονηρία ἕκαστον[d] ἀπόλλυσιν, ἢ εἰ μὴ τοῦτο ἀπολεῖ, οὐκ ἂν ἄλλο γε αὐτὸ ἔτι διαφθείρειεν. οὐ γὰρ τό γε ἀγαθὸν μή ποτέ τι[e] ἀπολέσῃ, οὐδὲ αὖ τὸ μήτε
III. i. 493. κακὸν μήτε ἀγαθόν.[f] Πῶς γὰρ ἄν; ἔφη. Ἐὰν ἄρα τι εὑρίσκωμεν τῶν ὄντων[g] ᾧ[h] ἔστι μέν τι[i] κακὸν ὃ[k] ποιεῖ αὐτὸ μοχθηρόν, τοῦτο μέντοι οὐχ οἷόν τε αὐτὸ λύειν ἀπολλύον, οὐκ ἤδη εἰσόμεθα ὅτι τοῦ πεφυκότος οὕτως ὄλεθρος[l] οὐκ ἦν; Οὕτως, ἔφη, εἰκός. Τί οὖν; ἦν δ' ἐγώ· ψυχῇ[m] ἆρ' οὐκ ἔστιν ὃ ποιεῖ αὐτὴν κακήν; Καὶ μάλ', ἔφη, ἃ νῦν δὴ[n] διῆμεν πάντα, ἀδικία τε καὶ ἀκολασία καὶ δειλία καὶ ἀμαθία. Ἦ οὖν τι τούτων αὐτὴν διαλύει τε καὶ ἀπόλλυσι; καὶ ἐννόει μὴ ἐξαπατηθῶμεν οἰηθέντες τὸν ἄδικον ἄνθρωπον καὶ ἀνόητον, ὅταν ληφθῇ ἀδικῶν, τότε ἀπολωλέναι ὑπὸ τῆς ἀδικίας, πονηρίας[o] οὔσης ψυχῆς. ἀλλ' ὧδε[p] ποίει·[q] ὡς περ σῶμα[r] ἡ[s] σώματος πονηρία νόσος οὖσα τήκει καὶ διόλλυσι καὶ ἄγει εἰς τὸ μηδὲ σῶμα εἶναι, καὶ ἃ νῦν δὴ ἐλέγομεν ἅπαντα ὑπὸ τῆς οἰκείας[t] κακίας, τῷ προσκαθῆσθαι[u] καὶ ἐνεῖναι διαφθειρούσης, εἰς τὸ μὴ εἶναι ἀφικνεῖται. οὐχ οὕτως; Ναί. Ἴθι δή,[v] καὶ ψυχὴν κατὰ τὸν αὐτὸν τρόπον σκόπει. ἆρα ἐνοῦσα[w] ἐν αὐτῇ ἀδικία[x] καὶ ἡ ἄλλη κακία τῷ ἐνεῖναι καὶ προσκαθῆσθαι[y] φθείρει αὐτὴν καὶ

nunt ΘΞr.—[c] τὸ om r.—[d] ἕκαστον...τό γε om Φ.—[e] τι om K.—[f] ἀγαθὸν μήτε κακόν Θr.—[g] εὑρίσκωμεν τῶν ὄντων ΑΘΠDKqvmr : τῶν ὄντων εὑρίσκωμεν *s.—[h] ᾧ Dem.—[i] τι om ΑΘΠDKqvr.—[k] ὃ Φm.—[l] τοῦτο ὄλλυσθαι Ξ, οὗτος ὄλεθρος γρ Ξ : οὗτος etiam mr.—[m] ψυχῇ K, ψυχὴν v.—[n] δὴ ante νῦν ponunt Θr, om qm.—[o] πονηρᾶς Π et pr Θ.—[p] ἀλλ' εἰ ὧδε v.—[q] ποιεῖ Kv, πῃ q.—[r] σῶμα om q.—[s] ἡ D, om q.—[t] ἰδίας r.—[u] προκαθῆσθαι Θr.—[v] δέ K.—[w] ἀνοῦσα v.—[x] ἡ ἀδικία Θr.—

μή ποτέ τι ἀπολέσῃ] Matthiæ Gr. Gr. p. 728. ἀπολέσει (Atticum esset ἀπολεῖ) corrigi jubet, quia μὴ cum aoristo i. activ. conjunct. construi nequeat, sed vid. Heind. ad Phædon. §. 29. et nostra ad Legg. x. §. 11. Ast.

οὕτως ὄλεθρος] Bas. 2. τοῦτο ὄλλυσθαι. Ast.

ποίει] Verbum ποίει suspectum esse non debet: sed ad ἴθι δή, σκόπει, referri animadvertendum est: hoc modo, ὧδε ποίει· ὥσπερ σῶμα, etc. ἴθι δή, καὶ ψυχὴν σκόπει etc. (interjectis velut per parenthesin illis, οὐχ οὕτω; Ναί.) q. d. 'Hanc inito rationem ad investigandam hujus rei veritatem.' Steph.

ποίει] Ni fallor, νόει pro ποίει legendum est. Ast.

ἃ νῦν δή] Sic Bas. 2. et Steph. In Ald. et Bas. 1. deest δή. Ast.

μαραίνει, ἕως ἂν εἰς θάνατον ἀγαγοῦσα τοῦ σώματος χωρίσῃ; Οὐδαμῶς, ἔφη, τοῦτό γε.[z] Ἀλλὰ μέντοι ἐκεῖνό γε ἄλογον, ἦν δ' ἐγώ, τὴν μὲν ἄλλου πονηρίαν ἀπολλύναι III. i. 494.
τι,[a] τὴν δὲ αὑτοῦ μή. Ἄλογον. Ἐννόει γάρ, ἦν δ' ἐγώ,[b] ὦ[b] Γλαύκων, ὅτι οὐδ' ὑπὸ τῆς τῶν σιτίων πονηρίας, ἣ[c] ἂν ᾖ αὐτῶν ἐκείνων, εἴτε παλαιότης εἴτε σαπρότης εἴτε ἠτισοῦν οὖσα, οὐκ οἰόμεθα δεῖν σῶμα ἀπόλλυσθαι· ἀλλ' ἐὰν μὲν ἐμποιῇ ἡ αὐτῶν πονηρία τῶν σιτίων[d] τῷ σώματι σώματος μοχθηρίαν, φήσομεν αὐτὸ δι' ἐκεῖνα ὑπὸ τῆς αὑτοῦ κακίας νόσου οὔσης ἀπολωλέναι· ὑπὸ δὲ σιτίων πονηρίας ἄλλων ὄντων[e] ἄλλο ὂν τὸ σῶμα, ὑπ' ἀλλοτρίου κακοῦ μὴ ἐμποιή- II. 610.
σαντος τὸ ἔμφυτον κακόν, οὐδέποτε ἀξιώσομεν διαφθείρεσθαι. Ὀρθότατα,[f] ἔφη, λέγεις.[g] [§. 10.] Κατὰ τὸν αὐτὸν τοίνυν λόγον, ἦν δ' ἐγώ, ἐὰν μὴ σώματος πονηρία ψυχῇ ψυχῆς πονηρίαν ἐμποιῇ, μή[h] ποτε ἀξιῶμεν ὑπ' ἀλλοτρίου κακοῦ ἄνευ τῆς ἰδίας πονηρίας ψυχὴν[i] ἀπόλλυσθαι, τῷ ἑτέρου[k] κακῷ ἕτερον. Ἔχει γάρ, ἔφη, λόγον. Ἢ τοίνυν ταῦτα ἐξελέγξωμεν[l] ὅτι οὐ καλῶς λέγομεν, ἢ ἕως ἂν ᾖ ἀνέλεγκτα, μή ποτε[m] φῶμεν ὑπὸ πυρετοῦ[n] μηδ' αὖ ὑπ'[o] ἄλλης νόσου μηδ' αὖ ὑπὸ σφαγῆς, μηδ' εἴ τις ὅτι σμικρότατα[p] ὅλον τὸ σῶμα κατατέμοι, ἕνεκα[q] τούτων μηδὲν μᾶλλόν ποτε[r] ψυχὴν ἀπόλλυσθαι, πρὶν ἄν τις ἀποδείξῃ ὡς διὰ ταῦτα τὰ παθήματα τοῦ[s] σώματος αὐτὴ ἐκείνη ἀδικωτέ- III. i. 495.
ρα καὶ ἀνοσιωτέρα γίγνεται. ἀλλοτρίου δὲ κακοῦ ἐν ἄλλῳ[t] γιγνομένου, τοῦ δὲ[u] ἰδίου ἑκάστῳ[v] μὴ ἐγγιγνομένου,

[y] προσκαθεῖσθαι v.—[z] γε om ΘΚr.—[a] τι om ΘΞ.—[b] ὁ Π.—[c] ἡ ΑΘΦΚ et corr Ξ, ἡ Π, ἢ οἷα v: ἥ *s.—[d] τῶν σιτίων add ΑΘΠΦDKqvmr.—[e] ἄλλων ὄντων om q.—[f] libri ὀρθότατ' ἂν.—[g] λέγοις Ξ.—[h] μὴ ἡ q.—[i] ψυχῇ add ΑΘΞΠΦvmr.—[k] ἑτέρῳ K.—[l] ἐλέγξωμεν DK, ἐξελέγξομεν v.—[m] τε Ξm.—[n] ὑπὸ τοῦ πυρετοῦ ΞΦm.—[o] μηδ' ὑπ' v.—[p] σμικρότατον K.—[q] ἕνεκεν v.—[r] ποτε om Kq.—[s] ante τοῦ omisi τὰ cum ΑΘΠDKqmr.—[t] ἄλλου r.—[u] γε Φ.—[v] ἑκάστῳ ΑΘΠDKqrr: ἑκάστου *s.

ἢ ἂν ᾖ] *Quæ sua s. propria ipsorum (ciborum) pravitas sit, sive vetustas sive putor sive aliud quidquam.* Vulgo ἤ, unde Stephanus scribi volebat ἤ ἤ ἂν ᾖ. Mox δι' ἐκεῖνα causam indicat remotiorem s. exteriorem. Ast.

ὑπ' ἀλλοτρίου κακοῦ] Adjunctum est propter oppositum ἄλλο ὂν τὸ σῶμα. Mox τὸ ἔμφυτον κακὸν, *naturale*, insitum malum est morbus corpori proprius, qui externo malo opponitur, ut ciborum pravitati. Ast.

ὀρθότατ' ἂν] Vel ὀρθότατα absque ἂν, vel ὀρθότατ' αὖ, legendum videtur. Steph. Ita scripsimus. Ast.

§. 10. ἑκάστῳ] Sic Cod. Reg. Vulgo ἑκάστου. Ficinus: *nec proprium cuiquam malum adhæret.* Ast.

μήτε ψυχὴν μήτε[w] ἄλλο μηδὲν ἐῶμεν φάναι[x] τινὰ ἀπόλλυσθαι. Ἀλλὰ μέντοι, ἔφη, τοῦτό γε οὐδείς ποτε δείξει,[y] ὡς τῶν ἀποθνησκόντων ἀδικώτεραι αἱ ψυχαὶ διὰ τὸν θάνατον γίγνονται. Ἐὰν δέ γέ τις, ἔφην ἐγώ, ὁμόσε τῷ λόγῳ τολμᾷ ἰέναι καὶ λέγειν ὡς πονηρότερος[z] καὶ ἀδικώτερος γίγνεται ὁ ἀποθνήσκων, ἵνα δὴ μὴ ἀναγκάζηται ἀθανάτους τὰς ψυχὰς ὁμολογεῖν, ἀξιώσομέν[a] που, εἰ ἀληθῆ λέγει ὁ ταῦτα λέγων, τὴν ἀδικίαν εἶναι θανάσιμον τῷ ἔχοντι ὥς περ νόσον, καὶ ὑπ' αὐτοῦ τούτου[b] ἀποκτιννύντος τῇ ἑαυτοῦ φύσει ἀποθνήσκειν τοὺς λαμβάνοντας αὐτό, τοὺς μὲν μάλιστα θᾶττον, τοὺς δὲ[c] ἧττον σχολαίτερον,[d] ἀλλὰ μή, ὥς περ νῦν διὰ τούτου[e] ὑπ' ἄλλων[f] δίκην ἐπιτιθέντων[g] ἀποθνήσκουσιν οἱ ἄδικοι. Μὰ Δία,[h] ἦ δ' ὅς, οὐκ ἄρα πάνδεινον φανεῖται ἡ ἀδικία, εἰ θανάσιμον ἔσται τῷ λαμβάνοντι· ἀπαλλαγὴ γὰρ ἂν[i] εἴη κακῶν. ἀλλὰ μᾶλλον οἶμαι αὐτὴν φανήσεσθαι πᾶν τοὐναντίον τοὺς ἄλλους ἀποκτιννῦσαν, εἴ περ οἷόν τε· τὸν δ' ἔχοντα καὶ μάλα ζωτικὸν παρέχουσαν,[k] καὶ πρός γ' ἔτι[l] τῷ ζωτικῷ[m] ἄγρυπνον· οὕτω πόρρω
III. i. 496. που, ὡς[n] ἔοικεν, ἐσκήνηται[o] τοῦ θανάσιμος εἶναι. Καλῶς,

—[w] μήτ' r.—[x] πάνυ Φm.—[y] δείξοι r.—[z] τολμηρότερος DKq.—[a] ἀξιώσωμέν v.—[b] τούτου q, om Ξ: τοῦ s.—[c] δ' νm.—[d] σχολαιότερον DKr.—[e] τοῦτο q.—[f] ἀλλήλων K.—[g] ἐπιτιθέντων AΦνm: ἐπιθέντων s.—[h] δῆ mr.—[i] ἂν om Ξ.—[k] παρέχουσα m.—[l] γ' ἔτι AΞΦνm, γέ τοι K, γε pr Π, τε Θr: γέ τι s.—[m] ζῶντι κακῷ Φm, ζω-

ὁμόσε τῷ λόγῳ—ἰέναι] *ὁμόσε ἰέναι* s. ἔρχεσθαι, *cominus congredi, tendere* s. irruere et adoriri. Euthyphr. c. 2. *οὐδὲν αὐτῶν χρὴ φροντίζειν, ἀλλ' ὁμόσε ἰέναι.* Euthydem. p. 294. D. *τὰ δὲ ἀνδρειότατα ὁμόσε ἴτην τοῖς ἐρωτήμασιν.* Aristoph. Eccles. 894. 907. *ὁμόσε χωρεῖν.* Theæt. 165. E. Plutarch. de Profectu in Virt. Sent. p. 85. C. *ὁμόσε βαδίζειν.* Aristot. Metaphys. xii. 2. Vid. Timæi Lex. p. 191. (ubi *τῷ ἐναντίῳ* pro *ὑπὸ τῶν ἐναντίων* legendum esse, monuerunt Toupius et Bastius Epist. Crit. Append. p. 23.) vid. ibi Ruhnken. qui bene monet, hanc, ut plures alias loquendi rationes Platoni frequentatas, ab Homero petitas esse, cf. Valcken. Opuscul. vol. ii. p. 193. et Boissonad. ad Philostrat. p. 610. Ast.

τῇ αὐτοῦ φύσει] Scripsi pro *τῇ ἑαυτοῦ φύσει*, quod nonnisi ad *ἀποκτιννύντος* referri posset: *ab eo, quod sua ipsum natura perimat;* quum sensus ad *ἀποθνήσκειν* trahi jubeat: *per ipsum hoc perimens et quidem propria ipsius natura mori eos, qui id suscipiant.* Mox ad *μάλιστα* intelligo *λαμβάνοντας.* Ast.

σχολαίτερον] Cod. Reg. *σχολαιότερον.* sed vid. Maittair. de Dialect. p. 43. Ast.

ἀποθνήσκουσιν] Oratio obliqua in rectam transiit. Ast.

οὐκ ἄρα πάνδεινον—ἡ ἀδικία] Sententiam hanc illustrarunt Morgenstern. Commentatt. p. 127. et Wyttenbach. ad Phædon. §. 60. Ast.

πρός γέ τι] Vel *πρός γέ τοι* vel *πρός γ' ἔτι* scribendum videtur. Steph.

πρός γε τῷ ζωτικῷ] Cod. Reg. *πρός γέ τοι τῷ ζωτικόν*, in quo *τοὶ* haud dubie e *τῷ* enatum est, e *τοὶ* vero fluxit *τὶ*, quod in Ald. Bas. 1. 2. et Steph. comparet. Ast.

ἐσκήνωται] *Castra locavit, habitat,* i. e. remota est s. abest. Ast.

ἦν δ' ἐγώ, λέγεις. ὁπότε γὰρ δὴ μὴ ἱκανὴ ἦ γε οἰκεία πονηρία καὶ τὸ οἰκεῖον κακὸν ἀποκτεῖναι καὶ ἀπολέσαι ψυχήν, σχολῇ τό γε ἐπ'[p] ἄλλου[q] ὀλέθρῳ[r] τεταγμένον κακὸν ψυχὴν ἤ τι ἄλλο ἀπολεῖ,[s] πλὴν ἐφ' ᾧ τέτακται. Σχολῇ γ',[t] ἔφη, ὡς γε τὸ εἰκός. Οὐκοῦν ὁπότε μηδ'[u] ὑφ' ἑνὸς ἀπόλλυται[w] κακοῦ, μήτε οἰκείου μήτε ἀλλοτρίου, δῆλον II. 611.
ὅτι ἀνάγκη αὐτὸ ἀεὶ ὂν εἶναι·[x] εἰ[y] δ' ἀεὶ ὄν, ἀθάνατον. Ἀνάγκη, ἔφη.

Τοῦτο μὲν τοίνυν, ἦν δ' ἐγώ, οὕτως ἐχέτω. εἰ δ' ἔχει,[z] ἐννοεῖς[a] ὅτι ἀεὶ[b] ἂν εἶεν αἱ αὐταί. οὔτε γὰρ ἂν που ἐλάττους[c] γένοιντο μηδεμιᾶς ἀπολλυμένης, οὔτε[d] αὖ πλείους· εἰ γὰρ ὁτιοῦν τῶν ἀθανάτων πλέον[e] γίγνοιτο, οἶσθ' ὅτι ἐκ τοῦ θνητοῦ ἂν γίγνοιτο καὶ πάντα ἂν εἴη τελευτῶντα ἀθάνατα; Ἀληθῆ λέγεις. Ἀλλ', ἦν δ' ἐγώ, μήτε τοῦτο οἰώμεθα,[f] ὁ γὰρ λόγος οὐκ ἐάσει, μή τέ γε[g] αὖ τῇ ἀληθεστάτῃ φύσει τοιοῦτον εἶναι ψυχὴν ὥστε πολλῆς ποικιλίας καὶ ἀνομοιότητός τε καὶ διαφορᾶς[h] γέμειν αὐτὸ πρὸς αὑτό.[i] Πῶς λέγεις; ἔφη. Οὐ ῥᾴδιον, ἦν δ' ἐγώ, ἀϊδίου εἶναι σύνθετόν τε ἐκ πολλῶν καὶ μὴ τῇ καλλίστῃ κεχρημένον συνθέσει, ὡς νῦν ἡμῖν ἐφάνη ἡ ψυχή. Οὔκουν εἰκός γε. Ὅτι μὲν τοίνυν ἀθάνατον[k] ψυχή,[l] καὶ ὁ ἄρτι λόγος III. i. 497.
καὶ οἱ ἄλλοι ἀναγκάσειαν ἄν· οἷον δ' ἐστὶ τῇ ἀληθείᾳ, οὐ λελωβημένον δεῖ αὐτὸ θεάσασθαι[m] ὑπό τε τῆς τοῦ σώματος κοινωνίας καὶ ἄλλων κακῶν, ὡς περ νῦν ἡμεῖς θεώμεθα, ἀλλ' οἷόν ἐστι καθαρὸν γιγνόμενον, τοιοῦτον ἱκα-

τικὸν DK.—[n] τοῦ v.—[o] ἐσκήνηται AΦvm : ἐσκήνωται [b]s.—[p] ὑπ' Φm.—[q] ἄλλων q.—[r] ὀλέθρου Φmr et pr Θ.—[s] εἴ τι ἀπολεῖ ἄλλο r.—[t] γ' om v.—[u] μὴ (omisso δ') DKr.—ἀεὶ
[w] ἀπόληται DK.—[x] εἶναι ὂν εἶναι Θ, εἶναι ὂν εἶναι Πr, ὂν εἶναι ἀεὶ pr D.—[y] εἰ...ὂν] ὃ ...ἂν v.—[z] ἔχει ΑΞΠΦKqvmr et pr Θ : ἔχεις corr Θ : ἔχοι s.—[a] ἐννοεῖν Θ.—[b] ἀεὶ om
ω
q.—[c] ἐλάττονες Θr, ἐλάττονας Π.—[d] μήτε K, οὔτ' r.—[e] πλεῖον Θr.—[f] οἰόμεθα m : οἰόμεθα s.—[g] γε om q.—[h] διαφθορᾶς v.—[i] πρὸς αὑτὸ om ΘΠDKqr.—[k] ἀθάνατος

σχολῇ] Ald. Bas. 1. et 2. σχολή. Mox ἄλλου pro ἄλλου Ald. Bas. 1. et 2. Ast.

πλὴν] Int. τοῦτο, ἐφ' ᾧ τέτακται. Deinde ὥς τε pro ὡς γε Ald. Bas. 1. et 2. et ἀπόληται Bas. 1. et 2. Ast.

εἰ δ' ἔχει] Sic Cod. Reg. Vulgo ἔχοι. Ast.

οἰόμεθα] Malim οἰώμεθα, *ne existimemus*. Itidemque paulo post, *arbitremur*. Stephanus. οἰώμεθα Stephano suadente scripsimus. Ast.

νῶς[n] λογισμῷ διαθεατέον,[o] καὶ πολύ γε[p] κάλλιον αὐτὸ εὑρήσει[q] καὶ ἐναργέστερον δικαιοσύνας τε καὶ ἀδικίας διόψεται καὶ πάντα ἃ νῦν διήλθομεν. νῦν δὲ εἴπομεν[r] μὲν ἀληθῆ περὶ αὐτοῦ, οἷον ἐν τῷ παρόντι φαίνεται· τεθεάμεθα μέντοι διακείμενον αὐτὸ[s] ὥς περ οἱ τὸν θαλάττιον[t] Γλαῦκον ὁρῶντες οὐκ ἂν ἔτι ῥᾳδίως αὐτοῦ ἴδοιεν[u] τὴν ἀρχαίαν φύσιν, ὑπὸ τοῦ τά τε παλαιὰ τοῦ σώματος μέρη τὰ μὲν ἐκκεκλάσθαι,[v] τὰ δὲ συντετρίφθαι καὶ πάντως[w] λελωβῆσθαι ὑπὸ τῶν κυμάτων, ἄλλα δὲ προσπεφυκέναι, ὄστρεά[x] τε καὶ φύκια[y] καὶ πέτρας, ὥστε παντὶ[z] μᾶλλον θηρίῳ ἐοικέναι[a] ἢ οἷος ἦν φύσει. οὕτω[b] καὶ τὴν ψυχὴν ἡμεῖς θεώμεθα διακειμένην ὑπὸ μυρίων κακῶν. ἀλλὰ δεῖ, ὦ Γλαύκων, ἐκεῖσε βλέπειν. Ποῖ;[c] ἦ δ' ὅς. Εἰς τὴν φιλοσοφίαν αὐτῆς, καὶ ἐννοεῖν ὧν ἅπτεται καὶ οἵων ἐφίεται ὁμιλιῶν, ὡς ξυγγενὴς οὖσα τῷ τε[d] θείῳ καὶ ἀθανάτῳ καὶ
III. i. 498. τῷ[e] ἀεὶ ὄντι, καὶ οἷα ἂν γένοιτο τῷ τοιούτῳ πᾶσα ἐπισπομένη[f] καὶ ὑπὸ ταύτης τῆς ὁρμῆς ἐκκομισθεῖσα ἐκ τοῦ πόντου ἐν ᾧ νῦν ἐστί, καὶ περικρουσθεῖσα[g] πέτρας τε καὶ
II. 612. ὄστρεα,[h] ἃ νῦν αὐτῇ, ἅτε γῆν[i] ἑστιωμένη, γεηρὰ καὶ πετρώδη πολλὰ καὶ ἄγρια περιπέφυκεν ὑπὸ τῶν εὐδαιμόνων λεγομένων ἑστιάσεων. καὶ τότ' ἄν τις ἴδοι[k] αὐτῆς τὴν ἀληθῆ φύσιν, εἴτε πολυειδὴς εἴτε μονοειδής, εἴτε ὅπῃ ἔχει καὶ ὅπως. [§. 11.] Νῦν δὲ τὰ ἐν τῷ ἀνθρωπίνῳ βίῳ πάθη τε καὶ εἴδη, ὡς ἐγῷμαι, ἐπιεικῶς αὐτῆς διεληλύθαμεν. Παντάπασι μὲν οὖν, ἔφη.

Θr.—[l] ἡ ψυχὴ r.—[m] θεᾶσθαι *v*.—[n] ἱκανῶ *v*.—[o] διαθετέον ΑΘΠDr, διενθετέον K, θεατέον Φm, θατέον *v*.—[p] γε om Am.—[q] εὑρήσεις Θr.—[r] εἶπωμεν D.—[s] αὐτὸν K.—[t] θαλάσσιον r.—[u] αὐτοῦ ἴδοιεν ΑΘΠDKqvmr : ἴδοιεν αὐτοῦ *s*.—[v] κεκλάσθαι Am.—[w] πάντα K.—[x] ὄστρεια rc *q*.—[y] κύφια Θ.—[z] παντὸς Θr.—[a] προσεοικέναι Θr.—[b] αὐτῷ r.—[c] πῇ Θr.—[d] τε om *v* et pr Ξ.—[e] τῷ ante ἀεὶ add ΑΞΦm.—[f] ἐπισπωμένη ΞΦKvmr et corr Θ.—[g] ἑστὶ περικρ. m.—[h] ὄστρεια DKq.—[i] νῦν m.—[k] ἴδοι

εὑρήσει] Sc. ὁ λογισμὸς, et αὐτὸ, animum. Ast.

θαλάττιον (rectius, ni fallor, θαλάσσιον) Γλαῦκον] Varia traduntur de Glauco marino, vid. Athen. vii. 12. Schol. ad h. l. p. 196. et Moser. in Nonn. p. 237. Respexit h. l. Plotin. Ennead. i. lib. i. p. 6. F. τεθεάμεθα γὰρ αὐτὴν, ὥσπερ οἱ τὸν θαλάττιον Γλαῦκον ὁρῶντες. Verba ἄλλα δὴ προσπεφυκέναι laudat Athen. iii. 44. p. 362. ubi cf. Schweighæuser. Ast.

ἑστιάσεων] Tropice, ut apud Ciceronem *animi pastus*, vid. nostra ad Phædr. p. 221. Ast.

ἴδοι] Vulgo ἴδῃ, quod linguæ legibus adversatur. Vid. Matthiæ Gr. Gr. p. 729. Ast.

Οὐκοῦν, ἦν δ' ἐγώ, τά τε ἄλλα ἀπεδυσάμεθα[l] ἐν τῷ λόγῳ, καὶ οὐ τοὺς μισθοὺς οὐδὲ τὰς δόξας δικαιοσύνης ἐπηνέγκαμεν,[m] ὥς περ Ἡσίοδόν[n] τε καὶ Ὅμηρον ὑμεῖς ἔφατε, ἀλλ' αὐτὸ δικαιοσύνην[o] αὐτῇ ψυχῇ ἄριστον εὕρομεν, καὶ ποιητέον εἶναι αὐτῇ τὰ δίκαια, ἐάν τ' ἔχῃ τὸν Γύγου δακτύλιον ἐάν τε μή, καὶ πρὸς τοιούτῳ δακτυλίῳ τὴν Ἀΐδος κυνῆν; Ἀληθέστατα, ἔφη, λέγεις. Ἆρ' οὖν, ἦν[p] δ' ἐγώ, ὦ Γλαύκων, νῦν ἤδη ἀνεπίφθονόν ἐστι πρὸς ἐκείνοις καὶ τοὺς μισθοὺς τῇ δικαιοσύνῃ καὶ τῇ ἄλλῃ ἀρετῇ ἀποδοῦναι, ὅσους τε καὶ οἵους τῇ ψυχῇ παρέχει[q] παρ' ἀνθρώπων τε καὶ θεῶν, ζῶντός τε[r] ἔτι τοῦ ἀνθρώπου καὶ ἐπειδὰν τελευτήσῃ; Παντάπασι μὲν οὖν, ἦ δ' ὅς. Ἆρ' οὖν ἀποδώσετέ μοι ἃ ἐδανείσασθε ἐν τῷ λόγῳ; Τί μάλιστα; Ἔδωκα ὑμῖν[s] τὸν δίκαιον δοκεῖν ἄδικον εἶναι καὶ τὸν ἄδικον δίκαιον. ὑμεῖς γὰρ ἡγεῖσθε,[t] κἂν εἰ μὴ δυνατὸν[u] εἴη[v] ταῦτα[w] λανθάνειν καὶ θεοὺς καὶ ἀνθρώπους, ὅμως δοτέον εἶναι τοῦ λόγου ἕνεκα, ἵνα αὐτὴ δικαιοσύνη πρὸς ἀδικίαν[x] αὐτὴν κριθείη. ἢ οὐ μνημονεύεις; Ἀδικοίην μέντ' ἄν, ἔφη, εἰ[y] μή. Ἐπειδὴ τοίνυν[z] κεκριμέναι εἰσίν, ἐγὼ[a] πάλιν ἀπαιτῶ ὑπὲρ[b] δικαιοσύνης, ὥς περ ἔχει δόξης καὶ παρὰ[c] θεῶν καὶ παρὰ ἀνθρώπων, καὶ ὑμᾶς[d] ὁμολογεῖν

III. i. 499.

ΑΘΞΠΦνmr: ἤδη *s.—[l] ἀπελυσάμεθα ΑΘΠDKqvr.—[m] ἐπηνέσαμεν Κ.—[n] περ καὶ ἡσίοδόν Φm.—[o] αὐτὸ δικαιοσύνην ΘΠDKqrmr, αὐτοδικαιοσύνην ΑΦ: αὐτὴν δικαιοσύνην *s.—[p] ἦν om Π.—[q] παρέχει om Κ.—[r] τε om Θr.—[s] ἡμῖν Φ.—[t] ἡγεῖσθε ΑΦm.—[u] δυνατὰ q.—[v] ἦ Φ.—[w] τοῦτον r.—[x] ἄδικοι ἦμεν τ' Θr et pr D, ἀδικοίημεν (omisso μέντ') v, ἀδικοῖμεν q.—[y] ἢ m.—[z] ἦν τοίνυν ΑΘΠΦmr, οὖν τοίνυν DKq, τοίνυν ἦν δ' ἐγώ Ξν et γρ A.—[a] ἐγὼ, ΑΠ: om γρ A.—[b] ὅπως r.—[c] παρ' vmr.—

§. 11. *οὔκουν, ἦν δ' ἐγὼ*] Laudat Stob. ix. p. 122. Ast.

ἀπελυσάμεθα] E Stobæo reposuimus pro ἀπεδυσάμεθα: ἀπολύεσθαι est id quod ἀπαλλάττεσθαι, *se liberare, defungi*. Mox Stob. *ἀπηνέγκαμεν*, contra sensum. Ast.

αὐτὸ δικαιοσύνην] Sic Cod. Reg. et Stob. Vulgo *αὐτὴν*, quo retento articulus *τὴν* inserendus esset. Mox *αὐτῇ τῇ ψυχῇ* Stob. vulgo *τῇ* desideratur. Ast.

τὴν Ἄϊδος κυνῆν] *Orci galeam* qui impositam haberet, eum cerni non posse veteres credebant (Ἄδης est enim *ὁ ἀϊδὴς* s. *ἀειδὴς*, v. Cratyl. 403. A. Phurnut. de Nat. Deor. c. 5. 35.) Vid. Homer. Il. v. 845. ubi v. interpp. Ast.

ἀποδώσετέ μοι] Politic. 267. A. *καλῶς καὶ καθαπερεὶ χρέως ἀποδέδωκάς μοι τὸν λόγον, προσθεὶς τὴν ἐκτροπὴν οἷον τόκον, καὶ ἀναπληρώσας αὐτόν*. Cf. Wyttenbach. Animadv. in Julian. Bibl. Crit. vol. iii. p. ii. p. 58. Ast.

αὐτὴ ἡ δικαιοσύνη] Stob. *ἡ αὐτὴ δικαιοσύνη*, libri reliqui *αὐτὴ δικαιοσύνη*. Ast.

τοίνυν ἦν δ' ἐγὼ] E Stob. et Bas. 2. interposuimus *ἦν δ' ἐγώ*. Mox Ald. et Stob. *κεκριμέναι*. Deinde Bas. 1. 2. et Stob. *ἡμᾶς* pro *ὑμᾶς*. Ast.

περὶ αὐτῆς δοκεῖσθαι οὕτως, ἵνα καὶ τὰ νικητήρια κομίσηται ἃ[a] ἀπὸ τοῦ δοκεῖν κτωμένη δίδωσι τοῖς ἔχουσιν αὐτήν, ἐπειδὴ καὶ τὰ ἀπὸ τοῦ εἶναι ἀγαθὰ διδοῦσα ἐφάνη καὶ οὐκ ἐξαπατῶσα τοὺς τῷ ὄντι λαμβάνοντας αὐτήν. Δίκαια, ἔφη, αἰτεῖ.[f] Οὐκοῦν, ἦν δ' ἐγώ, πρῶτον μὲν τοῦτο ἀποδώσετε, ὅτι θεούς γε οὐ λανθάνει ἑκάτερος αὐτῶν οἷός ἐστιν; Ἀποδώσομεν, ἔφη. Εἰ δὲ μὴ λανθάνετον, ὁ μὲν θεοφιλὴς ἂν εἴη, ὁ δὲ θεομισής, ὥς περ καὶ κατ' ἀρχὰς ὡμολογοῦ-
III. i. 500. μεν.[g] Ἔστι ταῦτα.[h] Τῷ δὲ θεοφιλεῖ οὐχ ὁμολογήσο-
II. 613. μεν, ὅσα γε[i] ἀπὸ θεῶν[k] γίγνεται, πάντα γίγνεσθαι ὡς οἷόν τε ἄριστα, εἰ μή τι ἀναγκαῖον αὐτῷ κακὸν ἐκ προτέρας ἁμαρτίας ὑπῆρχεν; Πάνυ μὲν οὖν. Οὕτως[l] ἄρα ὑπολεπτέον περὶ τοῦ δικαίου ἀνδρός, ἐάν[m] τ' ἐν[n] πενίᾳ[o] γίγνηται ἐάν τε[p] ἐν νόσοις ἢ τινι ἄλλῳ τῶν δοκούντων κακῶν, ὡς τούτῳ ταῦτα εἰς ἀγαθόν τι[q] τελευτήσει ζῶντι ἢ καὶ[r] ἀποθανόντι. οὐ γὰρ δὴ ὑπό γε θεῶν[s] ποτὲ ἀμελεῖται ὃς ἂν προθυμεῖσθαι ἐθέλῃ[t] δίκαιος γίγνεσθαι καὶ[u] ἐπιτηδεύων ἀρετὴν εἰς ὅσον δυνατὸν ἀνθρώπῳ ὁμοιοῦσθαι[v] θεῷ. Εἰκός γ', ἔφη, τὸν τοιοῦτον μὴ ἀμελεῖσθαι ὑπὸ τοῦ ὁμοίου. Οὐκοῦν περὶ τοῦ ἀδίκου τἀναντία τούτων δεῖ διανοεῖσθαι; Σφόδρα γε. Τὰ μὲν δὴ παρὰ θεῶν τοιαῦτ' ἄττ'[w] ἂν εἴη νικητήρια τῷ δικαίῳ. Κατὰ[x] γοῦν ἐμὴν δόξαν, ἔφη. Τί δέ, ἦν δ' ἐγώ, παρ' ἀνθρώπων; ἆρ' οὐχ ὧδε ἔχει, εἰ δεῖ τὸ ὂν τιθέναι; οὐχ οἱ μὲν δεινοί τε καὶ ἄδικοι δρῶσιν ὅ περ

[a] ἡμᾶς ΑΘΞΠΦνmr.—[e] ἃ om ΑΠΦm et pr Θ, ante δίδωσι ponit m et rc A: ἃ δ δίδωσι v.—[f] αἰτεῖς q, αὐτῇ v.—[g] ὁμολογοῦμεν m.—[h] in hac voce desinit Π.—[i] τε A, τε ΘDKvr.—[k] ὑπὸ θεῶ K.—[l] hinc b ad θεῷ.—[m] ἀνδρὸς ὅτι ἐάν b.—[n] ἐάν τ' ἐν πενίᾳ om v.—[o] πενίη DKr.—[p] τ' vbm.—[q] τι om vr.—[r] καὶ om q.—[s] γε ὑπὸ θεῶν b, ὑπὸ θεῶν γε ΞΦ, ὑπὸ θεοῦ γε m.—[t] ἐθέλοι q.—[u] καὶ q.—[v] ὁμοιωθῆναι r.—[w] ἄττ'

δοκεῖσθαι οὕτω] Respicit præcedens: ὥσπερ—δόξης (quod ad δόξαν attinet) ἔχει: ita etiam censeri. Ast.

αἰτεῖ] Stob. Bas. 1. et 2. αὐτῇ. Vulgo αἰτῇ. Ast.

θεούς γε] Stob. θεούς τε. De sententia, cf. Morgenstern. Commentat. p. 140. Ast.

ὁμοιοῦσθαι θεῷ] Theæt. p. 176. B. διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα· φυγὴ δὲ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν. De Legg. iv. p. 716. B. C. Cf. Themist. Orat. ii. p. 32. D. Jo. Damascen. Dialect. c. iii. p. 9. B. t. i. ed. Par. Clemens Alex. Strom. ii. 19. t. i. p. 403. c. 22. p. 499. Theodoret. Therapeut. xii. p. 665. B. Arnob. adv. Gent. ii. p. 30. ed. Hamb. v. Wyttenbach. ad Plutarch. de S. N. V. p. 27. Ast.

οἱ δρομῆς,[y] ὅσοι ἂν[z] θέωσιν εὖ ἀπὸ τῶν κάτω, ἀπὸ δὲ τῶν ἄνω μή; τὸ μὲν πρῶτον ὀξέως ἀποπηδῶσι, τελευτῶντες δὲ καταγέλαστοι γίγνονται, τὰ ὦτα ἐπὶ τῶν ὤμων ἔχοντες καὶ ἀστεφάνωτοι ἀποτρέχοντες. οἱ δὲ τῇ ἀληθείᾳ δρομικοὶ εἰς τέλος[a] ἐλθόντες τά τε ἆθλα λαμβάνουσι καὶ στεφα- III. i. 501.
νοῦνται. οὐχ οὕτω καὶ περὶ τῶν δικαίων τὸ πολὺ ξυμβαίνει;[b] πρὸς τέλος[c] ἑκάστης πράξεως καὶ ὁμιλίας καὶ τοῦ βίου εὐδοκιμοῦσί τε καὶ τὰ ἆθλα παρὰ[d] τῶν ἀνθρώπων φέρονται; Καὶ μάλα.[e] Ἀνέξει[f] ἄρα λέγοντος ἐμοῦ περὶ τούτων ἅ περ αὐτὸς ἔλεγες περὶ[g] τῶν ἀδίκων. ἐρῶ γὰρ δὴ ὅτι οἱ μὲν δίκαιοι, ἐπειδὰν πρεσβύτεροι γένωνται, ἐν τῇ αὑτῶν πόλει ἄρχουσί τε ἂν βούλωνται τὰς ἀρχάς, γαμοῦσί τε ὁπόθεν[h] ἂν βούλωνται, ἐκδιδόασί τε εἰς οὓς ἂν ἐθέλωσι· καὶ πάντα ἃ σὺ περὶ ἐκείνων, ἐγὼ νῦν λέγω περὶ τῶνδε. καὶ[i] αὖ καὶ[k] περὶ τῶν ἀδίκων, ὅτι οἱ πολλοὶ αὐτῶν, καὶ ἐὰν νέοι ὄντες λάθωσιν,[l] ἐπὶ τέλους τοῦ δρόμου αἱρεθέντες[m] καταγέλαστοί[n] εἰσι καὶ γέροντες γιγνόμενοι ἄθλιοι προπηλακίζονται ὑπὸ ξένων τε καὶ ἀστῶν, μαστιγούμενοι καὶ ἃ[o] ἄγροικα ἔφησθα σὺ εἶναι ἀληθῆ λέγων,[p] εἶτα στρεβλώσονται[q] καὶ ἐκπαυθήσονται· πάντα ἐκεῖνα[r] οἶου καὶ ἐμοῦ ἀκηκοέναι ὡς[s] πάσχουσιν. ἀλλ' ὃ λέγω, ὅρα εἰ ἀνέξει.[t] Καὶ πάνυ, ἔφη· δίκαια γὰρ[u] λέγεις.

[v]Ἃ μὲν τοίνυν,[w] ἦν δ' ἐγώ, ζῶντι τῷ δικαίῳ παρὰ θεῶν τε καὶ ἀνθρώπων ἆθλά τε καὶ μισθοὶ καὶ δῶρα γίγνεται II. 614.

om ΑΘΞΦΚmr.—[x] καὶ τὰ r.—[y] δρομῆς A: δρομεῖς s.—[z] αὖ K.—[a] εἰς τὸ τέλος Θ.
ξ
—[b] συμβαίνει A, ξυμβαίνει Φrm.—[c] πρὸς τέλος ΑΦm: πρὸς τὸ τέλος *s.—[d] περὶ
η
pr Θ.—[e] μάλα γε q.—[f] ἀνέξει D, ἀνέξει v.—[g] παρὰ pr Θ.—[h] ὅθεν m.—[i] καὶ post αὖ om K.—[k] καὶ ante περὶ om m.—[l] λανθάνωσιν Kq.—[m] εὑρεθέντες q.—[n] καταστεγασται pr Θ.—[o] ἃ καὶ v.—[p] λέγοντα γρ A: ante εἶναι ponit r.—[q] στρεβλήσονται rc q.—[r] ἐκεῖνα om Θr.—[s] ὡς om Φm.—[t] ἀνέξει Drm.—[u] γὰρ om v.—[v] hinc ϐ ad 229, 21. περιαγειρόμενοι, principio sic mutato: ζῶντι μὲν οὖν τῷ δικαίῳ ἆθλα καὶ μισθοὶ καὶ δῶρα δίδοται παρὰ θεοῦ· ἃ δὲ αὐτὸν περιμένει τελευτήσαντα, χρὴ ἀκοῦσαι. λέγοις ἂν ἥδιον ἀκούοντι. ἀλλ'....—[w] τοίνυν om K.—[x] ἵνα...ἀκοῦσαι

ἀνέξει] ἀνέχεσθαι cum genitivo et participio, ut Apolog. p. 31. B. ἀνέχεσθαι τῶν οἰκείων ἀμελουμένων. Eurip. Tro. 101. Androm. 341. Ast.

ἃς ἂν βούλωνται ἀρχὰς] E Stobæo recepi pro ἂν βούλωνται τὰς ἀρχάς. Respicitur vero l. ii. c. 5. Ast.

καὶ αὖ περὶ τ.] Sic Cod. Reg. Vulgo καὶ αὖ καὶ περὶ τ. ἀδ. Ast.

III. i. 502. πρὸς ἐκείνοις τοῖς ἀγαθοῖς οἷς αὐτὴ παρείχετο ἡ δικαιοσύνη, τοιαῦτ' ἂν εἴη. Καὶ μάλ', ἔφη, καλά τε καὶ βέβαια. [§. 12.] Ταῦτα τοίνυν, ἦν δ' ἐγώ, οὐδέν ἐστι πλήθει οὐδὲ μεγέθει πρὸς ἐκεῖνα ἃ τελευτήσαντα ἑκάτερον περιμένει. χρὴ δ' αὐτὰ ἀκοῦσαι, ἵνα[x] τελέως ἑκάτερος[y] αὐτῶν ἀπειλήφῃ[z] τὰ ὑπὸ τοῦ λόγου ὀφειλόμενα ἀκοῦσαι.[a] Λέγοις ἄν, ἔφη, ὡς[b] οὐ πολλὰ ἄλλ' ἥδιον[c] ἀκούοντι.[d] Ἀλλ' οὐ μέντοι σοι, ἦν δ' ἐγώ, Ἀλκίνου γε ἀπόλογον ἐρῶ, ἀλλ' ἀλκίμου μὲν[e] ἀνδρός, Ἠρὸς[f] τοῦ Ἀρμενίου, τὸ γένος Παμφύλου· ὃς ποτε[g] ἐν πολέμῳ τελευτήσας, ἀναιρεθέντων

om r.—[y] ἑκάτερον AΘqm et pr ΞD.—[z] ἀπειλήφῃ τὰ A, ἀπειλήφει τὰ Φm, ἀπειλήφει ἢ τα v, ἀπειληφότα q, ἀπειληφὼς τὰ DK, ἀπειληφὼς ἢ τὰ Θ, ἀπειληφὼς ἢ τὰ corr Ξ cum s.—[a] ἀκούσῃ q.—[b] ὡς om pr A.—[c] ἡδίον' K.—[d] ἀκούοντες K.—[e] μὲν om m.—[f] ἤρος Φb, ἤρωος DK.—[g] ποτ' r.—[h] δεκαταίων τῶν om q.—[i] ἀνηρέθη Φ, ἀνευ

§. 12. *ταῦτα τοίνυν*] Laudat Euseb. Præp. Evang. xi. 35. p. 562. Ast.

ἀπειληφὼς ᾖ] Bas. 2. *ἀπειληφὸς* (ut et *ἑκάτερον*), Euseb. *ἀπειλήφῃ*. Ast.

ἀκοῦσαι] Non dubito quin *ἀκοῦσαι* ex præcedente versu irrepserit, expungendumque sit: quum elegans hæc sit simulque *ἐντελὴς* oratio, *ἑκάτερος ἀπειληφὼς ᾖ τὰ ὑπὸ τοῦ λόγου ὀφειλόμενα*. Steph.

ἀκοῦσαι] Sane *ἀποδοῦναι*, non vero *ἀκοῦσαι* exspectasses et facile illud ex hoc enasci potuit. Ast.

ἀλλ' οὐ μέντοι] Laudat Theodoret. Therapeut. xi. p. 635. C. Ast.

Ἀλκίνου ἀπόλογον] Apologus Alcinoi in proverbium abiit de longis fabulosisque narrationibus. Suidas: *Ἀπόλογος Ἀλκίνου, ἐπὶ τῶν φλυαρούντων καὶ μακρὸν ἀποτεινόντων λόγων.* Sumtum esse putant ex Homeri Od. (*ι*, *κ'*, *λ'* *μ'*), ubi Ulysses in convivio Alcinoi, Phæacum regis, fabulas illas de inferis et portentosa commenta de Lotophagis, Læstrygonibus aliis id genus narrat. Vid. Schol. Ruhnk. p. 197. et Erasm. Adag. Chil. ii. Centur. iv. 32. p. 388. Ceterum notandus est lusus in verbis sibi oppositis *Ἀλκίνου* et *ἀλκίμου*. Fabulam, quæ sequitur, de Ere Pamphylio, Armenii filio, *παλιμβίῳ* s. *redivivo* (vid. de his fabulis Æneas Gaz. in Theophrast. p. 76. et J. C. Wolf. ad Centur. Liban. p. 292.) plurimi respexerunt serioris temporis scriptores, v. Justin. Cohort. ad Gent. p. 101. Clemens Alexandr. Strom. v. p. 598. D. t. ii. p. 710. ubi vid. not. Potter. Origen. contra Cels. ii. 16. t. i. p. 402. ed. Paris. ubi vid. Spencer. Cyrill. contra Julian. vii. p. 250. C. Theodoret. Serm. xi. p. 653. Cf. Valer. Maxim. i. 8. 1. Augustin. de Civit. Dei xxii. 28. Macrob. in Somn. Scip. i. 1. 2. et 5. Cf. P. Leopard. Emendat. ix. 2. Gataker. ad M. Antonin. iv. §. 48. p. 131. et Wyttenbach. ad Plutarch. de S. N. V. p. 90. *Er* (sic plurimi libri v. c. apud Macrob. l. l. et ipsa Platonis exemplaria *Ἤρὸς* exhibent, alii *Her* scribunt, ut Procl. in Polit. p. 396. v. 2. infra *Ἠρός*. *Er* nomen esse orientale, monet Gronov. ad Macrob. i. 1. p. 3.) qui plerumque Armenii filius fertur, dicitur Plutarcho Symposiac. ix. 5. p. 740. B. Harmonii filius: *ἐνταῦθα δὴ τὸν αὐτάγγελον τῶν ἐν ᾅδου Πάμφυλον γένος, Ἁρμονίου πατρὸς, Ἥρα* (sic pro *Ἤραν* legendum esse patet) *δὲ αὐτὸν ὀνομάζειν, αἰνιττόμενον, ὅτι γεννῶνται μὲν αἱ ψυχαὶ καθ' ἁρμονίαν καὶ συναρμόττονται τοῖς σώμασιν, ἀπαλλαγεῖσαι δὲ συμφέρονται πανταχόθεν εἰς τὸν ἀέρα* (quasi *Ἥρα*), *κἀκεῖθεν αὖθις ἐπὶ τὰς δευτέρας γενέσεις τρέπονται.* Quæ arguta est serioris temporis interpretatio allegorica. Clemens vero Alexandrinus l. l. Erem Armenii filium fuisse et nomine proprio Zoroastrem vocatum esse scribit. Ast.

ὅς ποτε] In Theodoret. l. l. *ποτὲ* desideratur, et *ἐν τῷ πολέμῳ* legitur, mox

δεκαταίων τῶν[h] νεκρῶν ἤδη διεφθαρμένων, ὑγιὴς μὲν ἀνῃρέθη,[i] κομισθεὶς δὲ[k] οἴκαδε, μέλλων[l] θάπτεσθαι, δωδεκαταῖος ἐπὶ τῇ πυρᾷ κείμενος ἀνεβίω,[m] ἀναβιοὺς δ' ἔλεγεν ἃ ἐκεῖ ἴδοι. ἔφη δέ, ἐπειδὴ οὖ[n] ἐκβῆναι τὴν ψυχήν, πορεύεσθαι μετὰ πολλῶν,[o] καὶ ἀφικνεῖσθαι σφᾶς εἰς τόπον τινὰ δαιμόνιον, ἐν ᾧ τῆς τε[p] γῆς δύ'[q] εἶναι[r] χάσματα[s] ἐχομένω ἀλλήλοιν καὶ τοῦ οὐρανοῦ αὖ[t] ἐν τῷ ἄνω ἄλλα[u] καταντικρύ. δικαστὰς δὲ μεταξὺ τούτων καθῆσθαι, οὕς, ἐπειδὴ διαδικάσειαν, τοὺς μὲν δικαίους κελεύειν πορεύεσθαι τὴν εἰς[v] δεξιάν[w] τε καὶ ἄνω διὰ τοῦ οὐρανοῦ, σημεῖα περιάψαντας τῶν δεδικασμένων ἐν τῷ πρόσθεν, τοὺς δὲ ἀδίκους τὴν εἰς III. i. 503.
ἀριστερὰν[x] τε καὶ κάτω, ἔχοντας καὶ τούτους ἐν τῷ ὄπισθεν σημεῖα πάντων ὧν ἔπραξαν. ἑαυτοῦ δὲ προσελθόντος[y] εἰπεῖν ὅτι δέοι αὐτὸν ἄγγελον ἀνθρώποις γενέσθαι τῶν ἐκεῖ, καὶ διακελεύοιντό[z] οἱ ἀκούειν τε καὶ θεᾶσθαι[a] πάντα τὰ

ρέθη v.—[k] δ' v.—[l] καὶ μέλλων r.—[m] ἐνεβίω v.—[n] οὖν ΑΦbm, οὖν οὖ v, οἱ r.—[o] τῶν πολλῶν r.—[p] τε ΞΚqbmr, om v: γε *s.—[q] δύ' ΘΞrbm.—[r] εἶναι ante δύο ponit K.—[s] scribe χάσματε cum q.—[t] αὖ om q.—[u] ἄλλα D.—[v] εἰς τὴν K.—[w] δεξιὰ r.—[x] ἀριστερά r.—[y] ἑαυτὸν δὲ προσελθόντα K.—[z] διακελεύειν τέ Θr, διακελεύειν γέ Ξ, διακελεύοιτό m, διεκελεύοντο b.—[a] θεάσασθαι pr A.—[b] δὲ q.—

δεκαταίων νεκρῶν (Euseb. l. l. τῶν νεκρῶν δεκαταίων) πεφθαρμένων, et εἶδεν pro ἴδοι. Ast.

ἐπειδὴ] Cum infinitivo in oratione obliqua, ut Sympos. p. 174. D. ἐπειδὴ δὲ γενέσθαι ἐπὶ τῇ οἰκίᾳ τῇ Ἀγάθωνος. Alcibiad. ii. p. 199. A. ἐπειδὴ εἰρηκέναι ταῦτα. Sic infra οὐκ—κελεύειν. Vid. Zeun. ad Viger. p. 401. ed. Herm. Matthiæ Gr. Gr. p. 773.—Pro οὖ Euseb. et Theodor. οἱ. Mox ἤδη addit Theodor. post πορεύεσθαι. Ast.

δύο χάσματα] *Duo ostia*, alterum, per quod animæ descendant in corpora, alterum, per quod e vita redeant. Plutarch. Gen. Socrat. p. 591. C. unum χάσμα ponit, per quod animæ ascendant ac descendant. v. Wyttenbach. ad Plutarch. de S. N. V. p. 114. et ad Phædon. Præf. p. xlii. Vide quæ more suo de his exponit Porphyr. de antro Nymphar. p. 264. 268. 269. ed. Cantab. et S. Petit. de Sibylla ii. p. 231. Ast.

ἐχομένω ἀλλήλοιν] Euseb. ἀλλήλων. Theod. ἐχόμενα. Mox ἐπειδὰν δικάσειεν. Ast.

τὴν ἐς δεξιὰν] Duas ponebant veteres vias animarum, alteramque dextrorsum justarum, alteram sinistrorsum impiarum, vid. Hippolyt. contra Platon. p. 220. ed. Fabric. t. i. Sic et Philemon vel Diphilus apud Clem. Alex. Strom. v. (v. Rittershus. ad Isiodor. Pelus. Epist. iii. 413.): Καὶ γὰρ καθ' ἕδην δύο τρίβους νομίζομεν, Μίαν δικαίων, ἑτέραν δ' ἀσεβῶν εἶν' ὁδόν. Unde perspicitur, quantopere mythi Græci cum Orientalibus concordent, et quot reperiantur in Platonicis potissimum fabulis vestigia pristinæ cujusdam ac primitivæ orientalium et Græcorum placitorum convenientiæ. Ast.

σημεῖα περιάψαντας] Theodoret. περιβάψαντας. Sic Gorg. 526. B. καὶ τοῦτο κατιδὼν ἀπέπεμψεν εἰς Τάρταρον, ἐπισημηνάμενος, ἐάν τε ἰάσιμος ἐάν τε ἀνίατος δοκῇ εἶναι, ὁ δὲ ἐκεῖσε ἀφικόμενος τὰ προσήκοντα πάσχει. Ast.

σημεῖα πάντων] Theodoret. σημεῖον ἁπάντων. Mox αὐτοῦ Euseb. et Theodor. Cod. Reg. vero αὐτὸν δὲ προσελθόντα. Ast.

διακελεύοιντο οἱ] In Ald. quidem exempl. mendose scriptum est διακελεύοιν τό οἱ ἀκούειν τε etc. sed hoc mendum statim in oculos incurrit: at in Basil.

ἐν τῷ τόπῳ. ὁρᾶν δὴ[b] ταύτῃ μὲν καθ' ἑκάτερον[c] τὸ χάσμα τοῦ οὐρανοῦ τε καὶ τῆς[d] γῆς ἀπιούσας[e] τὰς ψυχάς, ἐπειδὴ αὐταῖς[f] δικασθείη,[g] κατὰ δὲ[h] τὼ ἑτέρω[i] ἐκ μὲν τοῦ ἀνιέναι ἐκ τῆς γῆς μεστὰς αὐχμοῦ τε καὶ κόνεως, ἐκ δὲ τοῦ ἑτέρου καταβαίνειν ἑτέρας ἐκ τοῦ οὐρανοῦ καθαράς. καὶ τὰς ἀεὶ ἀφικνουμένας ὡς περ ἐκ πολλῆς πορείας φαίνεσθαι ἥκειν, καὶ ἀσμένας[k] εἰς τὸν λειμῶνα ἀπιούσας οἷον ἐν πανηγύρει κατασκηνῶσθαι,[l] καὶ ἀσπάζεσθαί τε ἀλλήλας ὅσαι γνώριμαι,[m] καὶ πυνθάνεσθαι τάς τε ἐκ τῆς γῆς ἡκούσας παρὰ τῶν ἑτέρων[n] τὰ ἐκεῖ καὶ τὰς ἐκ τοῦ οὐρανοῦ τὰ[o] παρ' ἐκείναις. διηγεῖσθαι δὲ ἀλλήλαις τὰς μὲν ὀδυρομένας τε
11. 615. καὶ κλαούσας,[p] ἀναμιμνησκομένας ὅσα τε καὶ οἷα πάθοιεν καὶ ἴδοιεν ἐν τῇ ὑπὸ γῆς πορείᾳ[q]—εἶναι δὲ τὴν πορείαν χιλιετῆ[r]—τὰς δ' αὖ ἐκ τοῦ οὐρανοῦ εὐπαθείας διηγεῖσθαι[s]

[c] κατὰ θάτερον q.—[d] τῆς om v.—[e] ἀπτούσας r.—[f] αὐταῖς AΦvdm: αὐτοῦ *s.—[g] δικασθείη Avdm, καταδικασθείη Φ: δικασθεῖεν *s.—[h] κατὰ δὲ om Θr.—[i] τὼ ἑτέρω Adm, om Θr: τὸ ἕτερον *s.—[k] ἀσμένας AΞΦdm: ἀσμένως *s.—[l] κατεσκηνῶσθαι K, κατασκηνοῦσθαι v.—[m] γνώριμοι Φqvdr.—[n] ἑτέρων K.—[o] τῶν K, καὶ τὰ Θ.—[p] κλαούσας q: κλαιούσας *s.—[q] ὑπωρεία b.—[r] χιλίετιν A (cf. Anecd. nostr. p.

editione, non minore errore, sed minus (primo saltem aspectu) aperto, est scriptum, διακελεύειν τὸ οἱ ἀκούειν τε etc. Qui autem Aldinam lectionem ibi sic mutarunt, duobus modis, dum emendare illam vellent, peccarunt: primum, quod verbo Græcis scriptoribus ignoto uti Platonem voluerint (quamvis enim κελεύω dicatur, in compositione tamen non διακελεύω sed διακελεύομαι est in usu) deinde articulo τὸ locum qui nullo modo ei convenire potest dederint. Quanto igitur satius erat Aldinam lectionem retinere, quæ illius quam esse sinceram manifestum est, vestigia retinet? quis enim in lingua Græca aliquantum exercitatus non videat, ex διακελεύοιν τό οἱ faciendum esse διακελεύοιντο οἱ? Nec vero hic tantum sed aliis plerisque in locis editio illa Basiliensis errores Aldinos, dum emendare vellet, eorum loco alios occultiores ideoque periculosiores substituit. Cæterum quamvis lectio illa vocari in dubium non possit, διακελεύοιντό οἱ, tamen quidam ex Aldina et Basiliensi quandam tertiam fecit, διακελεύειν οἱ, animadvertens quidem articulum τὸ ibi ferri non posse, sed unde irrepsisset, id vero non perspiciens. In eo porro quod dico, διακελεύειν apud Græcos scriptores non extare, triviales excipiendos censeo: non quod tamen apud quenquam illorum me id legere meminerim, sed quod puri sermonis Græci consuetudinem illos sæpe negligere aut etiam ignorare non sim nescius. Steph.

διακελεύεσθαι] Sic Euseb. et Theodoret. Vulgo διακελεύοντο, quod, e conjunctione ὅτι pendens, orationem turbat. Bas. 2. διακελεύειν το. Etiam Ficinus διακελεύεσθαι et εἰπεῖν conjunxit: *illos aiebat respondisse—jussisseque illum audire et intueri.* Mox Euseb. et Theod. pro οἱ ἀκούειν exhibet διακούειν. Ast.

καθ' ἑκάτερον] Alia invenitur lectio, quam sequendam censeo, vel potius quam sequi necesse est: ὁρᾶν δὴ ταύτῃ καθ' ἕτερον μὲν τὸ χάσμα etc. dicet enim mox, κατὰ δὲ τὸ ἕτερον, ἐκ μὲν τοῦ etc. Steph.

ἑκάτερον] Recte habet; distinguuntur enim in sequentibus κατὰ δὲ τὸ ἕτερον (ostium s. porta terræ) et ἐκ τοῦ ἑτέρου (porta cœli). Ast.

ἐς τὸν λειμῶνα] De hac voce vid. nostra ad Phædr. p. 305. Ast.

καὶ θέας ἀμηχάνους τὸ κάλλος. τὰ μὲν οὖν πολλά, ὦ Γλαύκων,[t] πολλοῦ χρόνου διηγήσασθαι· τὸ δ' οὖν κεφά- III. i. 504.
λαιον ἔφη τόδε εἶναι, ὅσα πώποτέ τινα ἠδίκησαν[u] καὶ ὅσους[v] ἕκαστοι, ὑπὲρ ἁπάντων δίκην δεδωκέναι ἐν μέρει, ὑπὲρ ἑκάστου δεκάκις. τοῦτο δ' εἶναι κατὰ ἑκατονταετηρίδα ἑκάστην, ὡς βίου ὄντος τοσούτου τοῦ ἀνθρωπίνου, ἵνα δεκαπλάσιον τὸ ἔκτισμα τοῦ ἀδικήματος ἐκτίνοιεν·[w] καὶ οἷον εἴ τινες[x] πολλῶν[y] θανάτων ἦσαν αἴτιοι, ἢ πόλεις προδόντες[z] ἢ στρατόπεδα καὶ εἰς δουλείας[a] ἐμβεβληκότες,[b] ἢ[c] τινος ἄλλης κακουχίας μεταίτιοι, πάντων τούτων δεκαπλασίας[d] ἀλγηδόνας ὑπὲρ ἑκάστου κομίσαιντο, καὶ αὖ εἴ τινας εὐεργεσίας εὐεργετηκότες[e] καὶ δίκαιοι καὶ ὅσιοι γεγονότες εἶεν, κατὰ ταὐτὰ[f] τὴν ἀξίαν κομίζοιντο. τῶν δὲ[g] εὐθὺς γενομένων[h] καὶ ὀλίγον χρόνον βιούντων πέρι ἄλλα ἔλεγεν οὐκ ἄξια μνήμης. εἰς δὲ θεοὺς ἀσεβείας τε καὶ εὐσεβείας[i] καὶ γονέας καὶ αὐτόχειρας φόνου μείζους ἔτι τοὺς μισθοὺς διηγεῖτο. ἔφη γὰρ δὴ παραγενέσθαι ἐρωτωμένῳ ἑτέρῳ ὑπὸ ἑτέρου[k] ὅπου εἴη[l] Ἀρδιαῖος[m] ὁ μέγας. ὁ δὲ Ἀρδιαῖος οὗτος[n] τῆς Παμφυλίας ἔν τινι πόλει τύραννος ἐγεγόνει, ἤδη

1376.), χιλιέτη δ.—[s] ἡγεῖσθαι pr Θ.—[t] ὦ Γλαύκων om δ.—[u] τινα post ἠδίκησάν ponit Ξ, om r.—[v] οὓς ΦDm et corr A.—[w] ἐκτιννύη Φ, ἐκτίνυε m, ἐκτείροιεν v.—[x] οἵτινες ΘΞυτ.—[y] πολλοὶ ΑΦqvDm, πολλοῖς D.—[z] προδιδόντες Φm.—[a] δουλείαν Φ.—[b] ἐμβεβηκότες v.—[c] ἢ om r.—[d] δεκαπλασίους q.—[e] εὐεργετηκότες ΑΘΞυδ. ν ε —[f] ταύτην DKqr.—[g] δ' m.—[h] γενωμένων Ξ, γινομένων v.—[i] εὐσεβείας τε καὶ ἀσεβείας r.—[k] ὑπὸ τοῦ ἑτέρου Θυ.—[l] ὅπου εἴη ΑΘΦDKqvDmr: ὅπου ἂν εἴη [s]τ.—

πορείαν χιλιετῆ] Respexit Aristid. Orat. Platon. iii. t. ii. p. 326. Cf. nostra ad Phædr. p. 307. Ast.

καὶ οἷον] Vel καὶ ἵνα, vel οἷον sine καὶ scribendum videtur. Steph.

οἷον] Vulgo ante οἷον legitur καί, quod Stephano etiam suadente expunximus, propterea quod orationis nexum turbat. Ast.

αὐτόχειρος] Scripsimus pro αὐτόχειρας, quia genitivus requiritur, ut ἀσεβείας—εὐσεβείας—αὐτόχειρος φόνου μισθούς. Φόνος αὐτόχειρ (passive) est cædes manu facta. Ast. qui sic in Addend. 'Sed probabilius est, quod reposuimus, αὐτοχειρίας.'

ἔφη γὰρ] Laudat Justin. l. l. ubi γὰρ deest, ἑτέρου pro ἑτέρῳ scribitur et ὅπου εἴη. Pro ὑπὸ ἑτέρου Bas. 2. ὑπὲρ τοῦ ἑτέρου. Ast.

Ἀρδιαῖος] Non Ἀρδιαῖος sed Ἀρίδαιος vocatur a Justino Martyre, afferente hunc locum. Sic in sequent. Ἀρίδαιος et Ἀρίδαιον. Steph.

Ἀριδαῖος] Sic apud Justin. Clem. et Plutarch. de S. N. V. p. 83. ubi Aridæus quidam, postea Thespius dictus, memoratur ejusque iter ad inferos describitur; vid. ibi Wyttenb. p. 103. Sic et in Xenophonte Græc. Hist. iv. 1. 27. ubi Ariæus memoratur, qui cum Cyro contra Artaxerxem bellum gesserat et Cyri σατράπης erat (v. Xenoph. Anabas. i. 8. Diodor. xiv. 24.) libri fluctuant inter Ἀραῖος, Ἀριδαῖος et Ἀριταῖος. Vid. Wesseling. ad Diodor. l. l. et Schneid. ad Xenoph. l. l. Cf. ad c. 13. Ast.

χιλιοστὸν ἔτος εἰς ἐκεῖνον τὸν χρόνον, γέροντά τε[o] πατέρα
III. i. 505. ἀποκτείνας καὶ πρεσβύτερον ἀδελφόν, καὶ ἄλλα δὴ πολλά τε καὶ ἀνόσια εἰργασμένος, ὡς ἐλέγετο. ἔφη οὖν τὸν ἐρωτώμενον εἰπεῖν, Οὐχ ἥκει, φάναι, οὐδ' ἂν ἥξοι[p] δεῦρο. [§. 13.] Ἐθεασάμεθα γὰρ οὖν δὴ καὶ τοῦτο τῶν δεινῶν θεαμάτων. ἐπειδὴ ἐγγὺς τοῦ στομίου ἦμεν[q] μέλλοντες ἀνιέναι καὶ τἆλλα πάντα πεπονθότες, ἐκεῖνόν τε κατείδομεν ἐξαίφνης καὶ ἄλλους σχεδόν τι αὐτῶν τοὺς πλείστους τυράννους· ἦσαν δὲ καὶ ἰδιῶταί τινες τῶν μεγάλα ἡμαρτηκότων. οὓς οἰομένους ἤδη ἀναβήσεσθαι οὐκ ἐδέχετο τὸ στόμιον, ἀλλ' ἐμυκᾶτο, ὁπότε τις τῶν οὕτως ἀνιάτως ἐχόντων[r] εἰς πονηρίαν ἢ μὴ ἱκανῶς δεδωκὼς δίκην ἐπιχειροῖ[s] ἀνιέναι. ἐνταῦθα δὴ ἄνδρες, ἔφη, ἄγριοι,[t] διάπυροι[u] ἰδεῖν, παρεστῶτες καὶ καταμανθάνοντες τὸ φθέγμα, τοὺς μὲν διαλαβόντες[v] ἦγον, τὸν δὲ Ἀρδιαῖον[w] καὶ ἄλλους συμποδίσαντες χεῖράς

δ ι

[m] ἀριδαῖος ὁ K, ἀρδίαιος m.—[n] οὗτος δὲ m.—[o] τε om Θr.—[p] ἥξει AΦDKqrdm.—[q] ἦμεν om q.—[r] ἐχόντων ἀνιάτως Φ.—[s] ἐπιχειρεῖ τ.—[t] ἔφη ἄνδρες ἄγριοι K, ἄγριοι ἔφη ἄνδρες ΞΦm.—[u] ante διάπυροι omisi καὶ cum AΘΦDKqrdmr.—[v] διαλαβόντες K

δ ι

qrr et pr AΘD : ἰδίᾳ λαβόντες *s.—[w] ἀριδαιον K, ἀρδίαιον ϸ.—[x] κνάπτοντες Φqm,

ἔτος] Accusativi χιλιοστὸν ἔτος tempus jam elapsum significant, vid. Matthiæ Gr. Gr. p. 584. Ast.

πολλά τε καὶ ἀνόσια] Notus est hic particulæ καὶ usus post πολλά. Sic Lys. 253. E. πολλοὶ καὶ καλοί. Protag. καὶ ἄλλοι πολλοὶ καὶ σοφοί. Phædr. 515. B. πολλὰ δὴ καὶ καλά. Vid. Herm. ad Viger. p. 797. Brunck. ad Aristoph. Thesm. 351. Nub. 1329. et Jacobs. Animadv. in Athen. p. 79. Ast.

εἰργασμένος] Justin. ἐργασάμενος. Ast.

οὐδ' ἂν ἥξοι] (Justin. ἥξει. Cod. Reg. ἔξει,) modeste et dubitanter pro, *minime huc veniet*. Exempla vid. in Matthiæ Gr. Gr. p. 721. Ast.

§. 13. αὐτῶν] Apud Justinum αὐτοῦ, quod malo. Steph.

αὐτῶν] Construe καὶ ἄλλους, σχεδόν τι τοὺς πλείστους αὐτῶν τυράννους (int. ὄντας.) Ast.

ἢ μὴ] Justin. εἰ μή. Ficinus vertit: *quoties aliquis eorum, qui vel insanabiles essent, vel nondum purgati, egredi niteretur*. Mox Atticam formam ἐπιχειροίη servavit Justin. Vulgo ἐπιχειροῖ. Ast.

ἐνταῦθα δὴ] Justin. δὴ non habet, etiam ἔφη abest a Justin. et Clement. Ast.

ἄγριοι καὶ διάπυροι] καὶ abest a Justin. Cohort. ad Græc. p. 102. ed. Oxon. Clement. Strom. v. p. 592. A. t. ii. p. 700. ubi v. not. Potter. Euseb. Præpar. Evang. xiii. 13. p. 669. D. et Theodoret. Therap. xi. p. 647. C. Vocem διάπυρος (quam metaphorice legimus usurpatam in Legg. vi. 783. A. διαπυρωτάτους δὲ τοὺς ἀνθρώπους μανίαις ἀπεργάζεται πάντως ὁ περὶ τὴν τοῦ γενοῦς σπορὰν, ὕβρει πλείστῃ καιόμενος) a Platone mutuam sumserunt Plutarch. de Virtut. Moral. p. 450. F. 453. B. de Vitand. Ær. Alien. p. 828. F. de Inimic. Utilit. p. 308. de Poet. Lect. 4. p. 72. de profectu in Virtut. Sentiend. p. 290. Longin. xii. §. 2. πολὺ τὸ διάπυρον ἔχει καὶ θυμικῶς ἐκφλεγόμενον.—ἰδεῖν, *specie*, ut supra. Ast.

τὸ φθέγμα] I. e. φθόγγον vel μύκημα, *mugitum, quem immanis hiatus ediderat*. Viger. ad Euseb. p. 64. Ast.

ἰδίᾳ λαβόντες] Cod. Reg. et Justin. διαλαβόντες; Clem. et Euseb. παραλαβόντες, Theodor. παραλαμβάνοντες. Fi-

τε καὶ πόδας καὶ κεφαλήν, καταβαλόντες καὶ ἐκδείραντες, II. 616.
εἶλκον παρὰ τὴν ὁδὸν ἐκτὸς ἐπ' ἀσπαλάθων κνάπτοντες,[x]
καὶ τοῖς ἀεὶ παριοῦσι[y] σημαίνοντες ὧν ἕνεκά τε[z] ταῦτα
ὑπομένοιεν[a] καὶ ὅτι εἰς[b] τὸν τάρταρον ἐμπεσούμενοι ἄγοιν-
το, ἔνθα δὴ φόβων, ἔφη, πολλῶν καὶ παντοδαπῶν σφίσι γε-
γονότων τοῦτον[c] ὑπερβάλλειν τὸν φόβον,[d] μὴ γένοιτο ἑκάστῳ
τὸ φθέγμα, ὅτε ἀναβαίνοι,[e] καὶ[f] ἀσμενέστατα[g] ἕκαστον III. i. 506.
σιγήσαντος[h] ἀναβῆναι. καὶ τὰς μὲν δὴ δίκας τε καὶ τιμω-
ρίας τοιαύτας τινὰς εἶναι, καὶ αὖ τὰς εὐεργεσίας ταύταις
ἀντιστρόφους· ἐπειδὴ δὲ τοῖς[i] ἐν τῷ λειμῶνι ἑκάστοις ἑπτὰ
ἡμέραι γένοιντο, ἀναστάντας[k] ἐντεῦθεν δεῖν τῇ ὀγδόῃ[l] πορεύ-
εσθαι, καὶ ἀφικνεῖσθαι τεταρταίους ὅθεν καθορᾶν ἄνωθεν διὰ
παντὸς τοῦ οὐρανοῦ καὶ γῆς τεταμένον[m] φῶς εὐθύ, οἷον κίονα,
μάλιστα[n] τῇ Ἰριδι προσφερῆ,[o] λαμπρότερον δὲ καὶ καθα-
ρώτερον. εἰς ὃ ἀφικέσθαι προελθόντας[p] ἡμερησίαν ὁδόν, καὶ
ἰδεῖν αὐτόθι κατὰ μέσον τὸ φῶς ἐκ τοῦ οὐρανοῦ τὰ ἄκρα

κάμπτοντες DKν: κνάμπτοντες *σ.—[y] παροῦσι ν.—[z] τε om ϒ.—[a] ταῦτα ὑπομέ-
νοιεν om ΘΦDKqνbm et pr Ξ.—[b] εἰς ὅ, τι ΑΦbm.—[c] τούτων ΞΦbm.—[d] τὸν φόβον
om ΘKq.—[e] μὴ γένοιτο ἑκάστῳ τὸ φθέγμα ὅτε ἀναβαίνοι ΑΘDKqbr: εἰ μυκήσαιτο
τὸ στόμιον *σ.—[f] μὴ καὶ ν.—[g] ἀσμενέστατον ΘDKqr, ἀσμεναίστατα ν.—[h] σιγή-
σαντα corr q.—[i] οἷς τοὺς ν.—[k] ἀναστάντες ν.—[l] τὴν ὀγδόην ν.—[m] τεταγμένον Θ.
[n] κίονα καὶ μάλιστα Ξ.—[o] προσφερῆ ΑΘΦDKqνbmr: προσφερές *σ.—[p] προελθόντες

cinus vertit: *hos seorsum rapiebant.* Ast.

Ἀριδαῖον] Sic et h. l. Justin. Clemens, Euseb. et Theodoret. (ubi Ἀρίδαιον). Vulgo Ἀρδιαῖον. Mox Clem. et Euseb. *τοὺς ἄλλους*, quod fortasse recipiendum, si intelligas *τυράννους*, de quibus supra verba fecit. Ast.

ἐπ' ἀσπαλάθων] *ἀσπάλαθος, frutex* admodum spinosus (v. Dioscorid. v. 19. cf. Brodæus ad Theophrast. p. 1026.) quocirca h. l. ejus spinis, tanquam tormento, laniati esse dicuntur improbi. Pro *κνάμπτοντες* vero scripsimus *κνάπτοντες* e Clemente. Justinus habet *γνάμπτοντες*, Euseb. *κάμπτοντες*, Ms. *κνάμπτοντες*, ubi vid. Viger. p. 64. Verba *κνάπτειν, κνάμπτειν* et *γνάμπτειν* ubique variant. v. Duker. ad Thucyd. iii. 38. Observat. Miscell. vol. ix. t. i. p. 118. Ceterum respexisse videtur h. l. Synes. Epist. p. 182. C. *δαίμονές εἰσι καθαρτήριοι, τέχνην ἔχοντες ἐπὶ ταῖς ψυχαῖς, ἣν οἱ κναφεῖς ἐπὶ τοῖς ἱματίοις τοῖς πιναροῖς.* Ast.

ἀεὶ παριοῦσι] Justin. *παροῦσιν*, omisso *ἀεί*. Ast.

μὴ γένοιτο ἑκάστῳ τὸ φθέγμα, ὅτε ἀναβαίνοι] Sic Cod. Reg. et Bas. 2. in quo *διαβαίνει* scribitur. Similiter apud Justin. legitur *ὅτε ἀναβαίνοιεν*. Vulgo *τὸν φόβον* (quod a Justino abest), *εἰ μυκήσαιτο τὸ στόμιον*. Mox Justin. *ὡς καὶ ἀσμενέστατον* (ut in Cod. Reg.). Ast.

τὰς μὲν δὴ] In Justin. deest *δή*; mox *αὐτὰς* pro *αὖ τάς*. Ast.

ἐπειδὴ δὲ τοῖς] Laudant Clemens Alexandr. Strom. v. 560. B. p. 712. t. ii. Potter. et Euseb. Præp. Evang. xiii. 13. p. 677. A. ubi *δεῖν* pro *δεῖ* scribitur. Ast.

φῶς] Hanc luminis columnam per totum cœlum tensam videtur imitatus esse Plutarch. de S. N. V. p. 100. ubi v. Wyttenb. p. 119. Ast.

αὐτοῦ τῶν δεσμῶν[q] τεταμένα· εἶναι[r] γὰρ[s] τοῦτο τὸ φῶς ξύνδεσμον τοῦ οὐρανοῦ, οἷον τὰ ὑποζώματα τῶν τριήρων,[t] οὕτω πᾶσαν ξυνέχουν[u] τὴν[v] περιφοράν· ἐκ δὲ[w] τῶν ἄκρων τεταμένον Ἀνάγκης[x] ἄτρακτον, δι' οὗ πάσας ἐπιστρέφεσθαι τὰς περιφοράς· οὗ τὴν μὲν ἠλακάτην τε καὶ τὸ ἄγκιστρον εἶναι ἐξ ἀδάμαντος,[y] τὸν δὲ σφόνδυλον[z] μικτὸν ἐκ τε τούτου καὶ ἄλλων γενῶν. τὴν δὲ τοῦ σφονδύλου φύσιν εἶναι τοιάνδε, τὸ μὲν σχῆμα, οἷα περ[a] ἡ τοῦ ἐνθάδε·[b] νοῆσαι δὲ δεῖ ἐξ ὧν ἔλεγε,[c] τοιόνδε αὐτὸν εἶναι, ὥς περ ἂν εἰ ἐν[d] ἐνὶ μεγάλῳ σφονδύλῳ[e] κοίλῳ καὶ ἐξεγλυμμένῳ διαμ-
III. i. 507. περὲς ἄλλος τοιοῦτος ἐλάττων ἐγκέοιτο ἁρμόττων, καθά περ οἱ κάδοι[f] οἱ[g] εἰς ἀλλήλους ἁρμόττοντες· καὶ οὕτω δὴ τρίτον ἄλλον καὶ τέταρτον καὶ ἄλλους τέτταρας. ὀκτὼ γὰρ εἶναι τοὺς ξύμπαντας σφονδύλους, ἐν ἀλλήλοις ἐγκειμένους, κύκλους[h] ἄνωθεν τὰ χείλη φαίνοντας, νῶτον συνεχὲς ἑνὸς σφονδύλου[i] ἀπεργαζομένους περὶ[k] τὴν ἠλακάτην·[l] ἐκείνην δὲ[m] διὰ μέσου τοῦ ὀγδόου διαμπερὲς ἐληλάσθαι.[n] τὸν μὲν οὖν πρῶτόν τε καὶ ἐξωτάτω σφόνδυλον πλατύτατον τὸν τοῦ χείλους κύκλον ἔχειν, τὸν δὲ τοῦ ἕκτου[o] δεύτερον, τρίτον δὲ τὸν τοῦ τετάρτου, τέταρτον δὲ τὸν τοῦ ὀγδόου, πέμπτον[p] δὲ τὸν τοῦ ἑβδόμου, ἕκτον δὲ τὸν τοῦ πέμπτου,[q]

ΑΞΦνδm, ἐλθόντας r.—[q] αὐτοῦ τῶν δεσμῶν ΑΘDKqνδm, ἐκ τῶν δεσμῶν r: τῶν δεσμῶν αὐτοῦ *s.—[r] εἶτα ΘDKr.—[s] γὰρ...ὑποζώματα om ΘDKqr.—[t] τριηρῶν ΞΦδ m.—[u] ξυνέχον Ξm, συνέχοντα DKq, ξυνεχομένην Φ, συνεχομένην δ: συνέχον *s.—[v] τὴν om Φδ.—[w] τε Φm, om Ξ.—[x] ἀνάγκη ν.—[y] ἀδάμαντος Ξ.—[z] σπόνδυλον r.—[a] οἷαπερ Θ.—[b] ἐν om r.—[c] ἔλεγον Φ.—[d] ἐν om Θ.—[e] σφονδύλῳ μεγάλῳ ν.—[f] κάδοι ΑΘΞΦδmr: κάδδοι *s.—[g] οἱ om Φ.—[h] κύκλῳ q.—[i] σφονδύλους r.—[k] περὶ om q.—[l] τὴν δ' ἠλακάτην q.—[m] δὲ om DKq.—[n] ἐλήλασθαι δm.—[o] ἕκτου om Θ.—

φῶς ξύνδεσμον τοῦ οὐρανοῦ] In his quoque Platonem antiquiorum philosophorum in primis Pythagoreorum decreta secutum esse, dubitari nequit. Similiter enim Parmenides summum æthera omnia cingentem coronam, Στεφάνην, posuit. Cicero de Nat. Deor. i. 11. 'Stephanen appellat, continente ardore lucis (sic Davisius) orbem, qui cingit cœlum, quem appellat deum.' Etiam quæ sequuntur de verticillorum sibi invicem insertorum convenientia, ad Parmenidis στεφάνας περιπεπλεγμένας ἐπαλλήλους (v. Stob. Eclog. Physic. p. i. p. 482. ed. Heer. et Annal. Litterar. Heidelberg. 1808. Fasc. i. p. 116.) efficta videntur esse. Ἀνάγκη s. Δίκη quoque et κληδοῦχος (Vesta, anima corporis universi, moderans cœli stellantis habenas juxta legem a providentia sanctam) v. Chalcid. p. 269. in Parmenidis fragmentis (v. Stob. l. l. p. 484. et Fragm. ed. Fulleborn. p. 42.) reperiuntur. Ast.

εἰ, ἐν] Ald. Bas. 1. et 2. εἶεν. Ast.

νῶτον ξυνεχὲς ἑνὸς σφονδύλου] Explicavit hoc Plutarch. Symposiac. ix. p. 745. F. et respexit Themist. Orat. xxxii. p. 356. B. C. Ast.

πέμπτου] Bas. 2. δευτέρου. Ceterum quod ad res a Platone propositas attinet,

ἕβδομον δὲ τὸν τοῦ τρίτου, ὄγδοον δὲ τὸν τοῦ δευτέρου. καὶ τὸν μὲν τοῦ μεγίστου ποικίλον, τὸν δὲ τοῦ ἑβδόμου λαμπρότατον, τὸν δὲ τοῦ ὀγδόου τὸ[r] χρῶμα ἀπὸ τοῦ ἑβδόμου ἔχειν προσλάμποντος, τὸν δὲ τοῦ δευτέρου καὶ πέμπτου II. 617.
παραπλήσια[s] ἀλλήλοις, ξανθότερα ἐκείνων, τρίτον δὲ λευκότατον χρῶμα ἔχειν, τέταρτον δὲ ὑπέρυθρον, δεύτερον δὲ λευκότητι τὸν ἕκτον[t] ὑπερβάλλειν.[u] κυκλεῖσθαι δὲ[v] δὴ[w] στρεφόμενον τὸν ἄτρακτον ὅλον μὲν τὴν αὐτὴν φοράν· ἐν δὲ τῷ[x] ὅλῳ περιφερομένῳ τοὺς μὲν ἐντὸς[y] ἑπτὰ κύκλους τὴν ἐναντίαν τῷ ὅλῳ ἠρέμα περιφέρεσθαι, αὐτῶν δὲ τούτων[z] τά- III. i. 508.
χιστα μὲν ἰέναι τὸν ὄγδοον, δευτέρους δὲ καὶ[a] ἅμα ἀλλήλοις τόν τε ἕβδομον καὶ ἕκτον καὶ πέμπτον· τὸν[b] τρίτον δὲ

p πέμπτον...τρίτου om K.—q δευτέρου Θqr et pr D.—r τὸ om m.—s παραπλήσιον K, παραπλησίως r.—t τῶν ἕκτων Φm.—u ὑπερβάλλειν om AΘΦDKqvδr.—v δὲ om Θvr.—w δὴ AΘΞΦKvm, μὴ r: δεῖ s.—x τῷ om v.—y ἐντὸς K.—z αὐτὸν δὲ τοῦτον

μούμενοι τὰς τοῦ θεοῦ πάντως[q] ἀπλανεῖς[r] οὔσας, τὰς ἐν ἡμῖν πεπλανημένας καταστησαίμεθα.[s] Φωνῆς τε δὴ καὶ ἀκοῆς πέρι πάλιν ὁ[t] αὐτὸς λόγος, ἐπὶ ταὐτὰ[u] τῶν αὐτῶν ἕνεκα παρὰ[v] θεῶν δεδωρῆσθαι. λόγος τε γὰρ ἐπ' αὐτὰ[w] ταῦτα τέτακται, μεγίστην[x] ξυμβαλλόμενος[y] εἰς αὐτὰ μοῖραν, ὅσον τ' αὖ[z] μουσικῆς φωνῆς[a] χρήσιμον, πρὸς ἀκοὴν ἕνεκα ἁρμονίας ἐστὶ δοθέν· ἡ δὲ ἁρμονία, ξυγγενεῖς ἔχουσα φορὰς[b] ταῖς[c] ἐν ἡμῖν τῆς ψυχῆς περιόδοις, τῷ μετὰ νοῦ προσχρωμένῳ Μούσαις[d] οὐκ ἐφ' ἡδονὴν ἄλογον, καθά περ νῦν, εἶναι δοκεῖ χρήσιμος, ἀλλ' ἐπὶ τὴν γεγονυῖαν ἐν ἡμῖν ἀνάρμοστον ψυχῆς περίοδον εἰς κατακόσμησιν καὶ συμφωνίαν[e] ἑαυτῇ[f] ξύμμαχος[g] ὑπὸ[h] Μουσῶν δέδοται· καὶ ῥυθμὸς αὖ διὰ τὴν ἄμετρον ἐν ἡμῖν[i] καὶ χαρίτων ἐπιδεᾶ γιγνομένην ἐν τοῖς πλείστοις ἕξιν ἐπίκουρος ἐπὶ ταῦτα[k] ὑπὸ τῶν αὐτῶν ἐδόθη.

§. 21. Τὰ μὲν οὖν παρελληλυθότα τῶν εἰρημένων, πλὴν βραχέων,[l] ἐπιδέδεικται τὰ διὰ νοῦ δεδημιουργημένα· δεῖ δὲ καὶ τὰ δι' ἀνάγκης γιγνόμενα τῷ λόγῳ παραθέσθαι. III. ñ. 56. μεμιγμένη γὰρ οὖν ἡ τοῦδε τοῦ κόσμου γένεσις ἐξ ἀνάγ- III. 48. κης τε καὶ νοῦ συστάσεως ἐγεννήθη·[m] νοῦ δὲ ἀνάγκης ἄρχοντος τῷ πείθειν αὐτὴν τῶν γιγνομένων τὰ πλεῖστα ἐπὶ τὸ βέλτιστον ἄγειν, ταύτῃ κατὰ[n] ταῦτά τε[o] δι' ἀνάγκης ἡττωμένης ὑπὸ πειθοῦς ἔμφρονος οὕτω[p] κατ' ἀρχὰς ξυνίστατο[q] τόδε τὸ πᾶν. εἴ τις οὖν ἦ[r] γέγονε, κατὰ ταῦτα[s]

αι

[r] πλανεῖς x.—[s] καταστησομεθα Y.—[t] ὁ om ΘΥYxegr et pr S.—[u] ταυτὰ A et corr Σ : ταῦτα *s.—[v] παρὰ...ἕνεκα om g.—[w] εἰς δύο γρ A.—[x] τὴν μεγίστην A.—[y] ξυμβαλλόμενος ΑΘΣΤSYqsxeor : ξυμβαλόμενος *s.—[z] ἂν ΥYer et pr Θ.—[a] φωνῆ Fs et pr A.—[b] συμφορὰς s, om Yr et (apposito in mg ξυμφορὰς) S.—[c] τὰς...περιόδους r.—[d] μούσας r.—[e] ξ. F.—[f] ἑαυτῆς o.—[g] ξύμμαχον e, ξύμμαχος ἡ τω Y.—[h] ἀπὸ Θ.—[i] ἐν ἡμῖν διὰ τὴν ἄμετρον FSYsr.—[k] ταυτὰ A.—[l] βραχέα ὧν r.—[m] ἐγεννήθη ΞFor et pr A : ἐγενήθη *s.—[n] καὶ κατὰ rc Σ.—[o] ταῦτά τε A, ταῦτα pr Ξ : ταυτὰ *s.—[p] οὕτω τε rc Σ.—[q] ξυνίσταται FYr.—[r] ἢ Yor.—[s] ταῦτα ΑΘΣ : ταυτὰ *s.—

cedunt, *μετέχουσα* cum illo ipso genitivo *λογισμοῦ* junxit. Interim tamen non ignoro, inveniri accusativo etiam junctum apud Atticos scriptores: ideoque contingere poterit ut apud hunc quoque in alio quopiam loco inveniatur.'

λογισμὸν] Scribe hic cum Cod. Tub. λογισμοῦ quod pendet a voce ὀρθότητος nexa e voce μετασχόντες. Lind.

φωνῆς] Cod. Tub. habet hic variam lectionem φωνή. Unde locum sic putamus scribendum: ὅσον τ' αὖ μουσικῆς φωνῇ χρήσιμον πρὸς ἀκοὴν ἕνεκα ἁρμονίας, ἐστὶ δοθέν. Lind.

ὄντως[t] ἐρεῖ, μικτέον καὶ τὸ τῆς πλανωμένης εἶδος αἰτίας, ᾗ[u] φέρειν πέφυκεν. ὧδε οὖν πάλιν ἀναχωρητέον, καὶ λαβοῦσιν αὐτῶν τούτων προσήκουσαν[v] ἀρχὴν ἑτέραν[w] αὖθις αὖ, καθάπερ περὶ τῶν τότε, νῦν οὕτω περὶ τούτων πάλιν ἀρκτέον ἀπ'[x] ἀρχῆς. τὴν δὴ[y] πρὸ τῆς οὐρανοῦ γενέσεως πυρὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς φύσιν θεατέον[z] αὐτὴν καὶ τὰ πρὸ τούτου[a] πάθη. νῦν γὰρ οὐδείς πω γένεσιν αὐτῶν μεμήνυκεν, ἀλλ' ὡς εἰδόσι πῦρ ὅ τί ποτε[b] ἔστι καὶ ἕκαστον αὐτῶν λέγομεν ἀρχὰς αὐτὰ τιθέμενοι στοιχεῖα τοῦ παντός, προσῆκον αὐτοῖς οὐδ' ὡς[c] ἐν συλλαβῆς εἴδεσι μόνον εἰκότως[d] ὑπὸ τοῦ καὶ βραχὺ φρονοῦντος ἀπεικασθῆναι. νῦν δὲ οὖν τό γε παρ' ἡμῶν ὧδε[e] ἐχέτω· τὴν[f] μὲν περὶ ἁπάντων εἴτε ἀρχὴν εἴτε ἀρχὰς εἴτε ὅπῃ δοκεῖ τούτων πέρι,[g] τὸ[h] νῦν οὐ ῥητέον,
III. ii. 57. δι' ἄλλο μὲν οὐδέν, διὰ δὲ τὸ χαλεπὸν εἶναι κατὰ τὸν παρόντα τρόπον τῆς διεξόδου δηλῶσαι τὰ δοκοῦντα. μήτ' οὖν[i] ὑμεῖς οἴεσθε δεῖν ἐμὲ λέγειν, οὔτ' αὐτὸς αὖ[k] πείθειν ἐμαυτὸν εἴην ἂν[l] δυνατὸς ὡς ὀρθῶς[m] ἐγχειροῖμ'[n] ἂν τοσοῦτον ἐπιβαλλόμενος[o] ἔργον. τὸ δὲ κατ' ἀρχὰς ῥηθὲν διαφυλάττων, τὴν τῶν εἰκότων λόγων δύναμιν, πειράσομαι μηδενὸς ἧττον εἰκότα,[p] μᾶλλον δὲ καὶ ἔμπροσθεν ἀπ' ἀρχῆς περὶ ἑκάστων[q] καὶ ξυμπάντων λέγειν. θεὸν δὴ[r] καὶ νῦν ἐπ' ἀρχῇ τῶν λεγομένων σωτῆρα ἐξ ἀτόπου καὶ ἀήθους[s] διηγήσεως πρὸς τὸ τῶν εἰκότων δόγμα διασώζειν ἡμᾶς ἐπικαλεσάμενοι πάλιν ἀρχώμεθα[t] λέγειν.

§. 22. Ἡ δ' οὖν αὖθις ἀρχὴ περὶ τοῦ παντὸς ἔστω[u] μειζόνως τῆς πρόσθεν διῃρημένη.[v] τότε μὲν γὰρ δύο εἴδη

[t] οὕτως Ss et corr Y.—[u] ᾗ ATFSsxegr, ἡ Θ et corr Y, ἧς ἡ ο: οἷ cum ᵉs corr Σ.—[v] προσήκουσαν om F.—[w] ἑτέραν ἀρχην AFo.—[x] ἐξ r.—[y] δὲ s.—[z] θετέον F.—[a] τούτων corr Σ.—[b] ποτ' ο.—[c] οὐδαμῶς A.—[d] εἰκότος g.—[e] ὧδ' sor, τόδ' F.—[f] τὸ F.—[g] τούτων ἡμῖν πέρι ο.—[h] τὸ om x.—[i] μὴ γοῦν F.—[k] ἂν pr Θ, om SYsr.—[l] ἂν os om F.—[m] ὀρθῶς αὐτὸς ο.—[n] ἐγχειροῖμεν ε.—[o] ἐπιβαλλόμενον Ss.—[p] εἰκότα F, εἰκότος r.—[q] ἑνὸς ἑκάστου ο.—[r] δὲ ss.—[s] ἀληθοῦς A.—[t] ἀρχώμεθα Ar: ἀρχόμεθα

§. 21. μικτέον] Scribe hic aut μηνυτέον, ut paulo infra est: νῦν γὰρ οὐδείς πω γένεσιν αὐτῶν μεμήνυκεν: aut λεκτέον. Lind.

μᾶλλον δὲ καὶ] Ne dubita mecum hic rescribere, μᾶλλον δὲ ἡ καὶ ἔμπροσθεν. Ut dicitur paulo infra: ἔστω μειζόνως τῆς πρόσθεν διῃρημένη. Lind.

ἀρχόμεθα] Magis mihi placeret ἀρχώμεθα. Steph. Nempe Ficinus, *exordiamur*. Bip.

διειλόμεθα, νῦν δὲ τρίτον ἄλλο γένος ἡμῖν δηλωτέον.[w] τὰ μὲν γὰρ δύο ἱκανὰ ἦν ἐπὶ[x] τοῖς ἔμπροσθεν λεχθεῖσιν,[y] ἓν μὲν[z] ὡς παραδείγματος εἶδος ὑποτεθέν, νοητὸν καὶ ἀεὶ κατὰ ταὐτὰ ὄν,[a] μίμημα[b] δὲ[c] παραδείγματος δεύτερον, γένεσιν III. 49.
ἔχον καὶ ὁρατόν. τρίτον δὲ τότε μὲν οὐ διειλόμεθα, νομίσαντες τὰ δύο ἕξειν ἱκανῶς· νῦν δὲ ὁ λόγος ἔοικεν εἰσαναγκάζειν χαλεπὸν καὶ ἀμυδρὸν εἶδος ἐπιχειρεῖν λόγοις ἐμφανίσαι. τίνα[d] οὖν ἔχον δύναμιν κατὰ[e] φύσιν αὐτὸ ὑπο- III. ii. 58.
ληπτέον; τοιάνδε[f] μάλιστα, πάσης εἶναι γενέσεως ὑποδοχὴν αὐτό,[g] οἷον τιθήνην. εἴρηται μὲν οὖν τἀληθές,[h] δεῖ δ' ἐναργέστερον εἰπεῖν περὶ αὐτοῦ. χαλεπὸν δὲ ἄλλως τε καὶ[i] διότι προαπορηθῆναι περὶ πυρὸς καὶ τῶν μετὰ πυρὸς ἀναγκαῖον[k] τούτου χάριν· τούτων γὰρ εἰπεῖν ἕκαστον,[l] ὁποῖον ὄντως ὕδωρ χρὴ λέγειν μᾶλλον[m] ἢ πῦρ καὶ ὁποῖον ὁτιοῦν μᾶλλον ἢ καὶ ἅπαντα[n] καθ' ἕκαστόν[o] τε, οὕτως ὡς τέ[p] τινι πιστῷ καὶ βεβαίῳ[q] χρήσασθαι[r] λόγῳ, χαλεπόν. πῶς οὖν δὴ[s] τοῦτ' αὐτὸ καὶ πῇ καὶ τί περὶ αὐτῶν εἰκότως διαπορηθέντες ἂν λέγοιμεν;[t] πρῶτον[u] μὲν δὴ νῦν ὕδωρ ὠνομάκαμεν, πηγνύμενον, ὡς δοκοῦμεν, λίθους καὶ γῆν γιγνόμενον ὁρῶμεν, τηκόμενον δὲ[v] καὶ διακρινόμενον αὖ[w] ταὐτὸν τοῦτο[x] πνεῦμα καὶ ἀέρα, ξυγκαυθέντα[y] δὲ ἀέρα[z] πῦρ,[a]

*ς.—[u] ἔσται F.—[v] διηρημένης ε.—[w] δηλότερον Υr.—[x] ἐν xe, om S.—[y] ῥηθεῖσιν r.—[z] μὲν γὰρ 0.—[a] ταυτὸν 0.—[b] τμῆμα xeg, corr Υ, post lacunam r: μῆμα post lituram Y.—[c] δὴ s.—[d] τίν' 0.—[e] κατὰ A: καὶ *ς.—[f] τοιάνδε g, ποιάνδε x, τρία δὲ (adscripto in mg τήνδε) F.—g αὐτὴν A0, αὐτῶν ΘΥSYsxegr, om F: αὐτὸ cum *ς corr Σ.—[h] ἀληθὲς A.—[i] καὶ om Υxeg.—[k] ἀναγκαίων F.—[l] ἕκαστος ΥYer.—[m] μᾶλλον om F.—[n] ἅπαν s.—[o] ἑκάστων s.—[p] ὡς ὅτε g.—[q] πιστῷ καὶ βεβαίῳ AFq0: πιστῶς καὶ βεβαίως *ς.—[r] χρήσασθαι A: χρῆσθαι *ς.—[s] δή που A.—[t] ἂν λέγοιμεν A, λέγομεν ΣΥFyxegor: λέγωμεν *ς.—[u] hinc b ad 294, 6. γένεσιν.—[v] δὲ om Υxe.—[w] καὶ διακρινόμενον αὖ ΑΘFSYqsbr, καὶ διακρινόμενον καὶ διακρῖνον αὖ 0: αὖ καὶ διακρινόμενον *ς.—[x] ταυτὸ ΞFSsb0.—[y] ξ. S: ξυγκαφθέντα s.—[z] δὲ ἀέρα ΑΣFSqsx begor, δὲ καὶ ἀέρα ΘΣΥYq (Σ quidem additis in mg tanquam omissis διακριθέντα

§. 22. *ὁρατὸν*] Nonne hic scribendum, *ὁρατὸν ὄν*. Lind.

τοιάνδε] Vocabulum *τοιάνδε* cum voc. *ὑποδοχὴν* jungi posse non videtur, sed ad præcedentia *δύναμιν* et *φύσιν* referri: ut interrogationi factæ per *τίνα* respondeat: q. d. *Hanc, quam dicturus jam sum, nimirum esse receptaculum, etc.* Vel, *Talem, qualem etc.* Ponenda igitur post *μάλιστα* fuerit hypostigme. At vero particip. *ἔχων* infinitivi *ἔχειν* non male habere locum hic videtur. Steph. Cod. Tub. habet *τρία δὲ μάλιστα*. At Stephani ratio comparet in Ficini versione, *Hanc utique, generationis etc.* Bip.

τοιάνδε] Male. Junge enim *τοιάνδε* antecedentibus *δύναμιν καὶ φύσιν*, nisi præstat scribi *τοιάσδε*. Lind.

πιστῶς καὶ βεβαίως] Scribe cum Cod. Tub. *πιστῷ καὶ βεβαίῳ*. Lind.

συγκαυθέντα] Sequendo hanc interpretationem, *Si exarserit, ignem*, scri-

ἀνάπαλιν δὲ πῦρ[b] συγκριθὲν[c] καὶ κατασβεσθὲν[d] εἰς ἰδέαν τε ἀπιὸν[e] αὖθις[f] ἀέρος,[g] καὶ πάλιν ἀέρα ξυνιόντα καὶ πυκνούμενον[h] νέφος καὶ ὁμίχλην, ἐκ δὲ τούτων ἔτι μᾶλλον[i] ξυμπιλουμένων[k] ῥέον ὕδωρ, ἐξ ὕδατος δὲ γῆν καὶ λίθους αὖθις, κύκλον τε οὕτω διαδιδόντα εἰς ἄλληλα, ὡς φαίνεται, τὴν γένεσιν. [§. 23.] Οὕτω δὴ τούτων οὐδέποτε τῶν αὐ-
III. ii. 59. τῶν ἑκάστων φανταζομένων, ποῖον αὐτῶν[l] ὡς ὂν ὁτιοῦν τοῦτο καὶ οὐκ ἄλλο[m] παγίως διισχυριζόμενος οὐκ αἰσχυνεῖταί[n] τις ἑαυτόν;[o] οὐκ ἔστιν, ἀλλ' ἀσφαλέστατον[p] μακρῷ περὶ τούτων τιθεμένους ὧδε λέγειν· ἀεὶ ὃ καθορῶμεν ἄλλοτε ἄλλῃ[q] γιγνόμενον, ὡς πῦρ, μὴ[r] τοῦτο ἀλλὰ τὸ[s] τοιοῦτον ἑκάστοτε προσαγορεύειν πῦρ, μηδὲ ὕδωρ τοῦτο ἀλλὰ τὸ τοιοῦτον ἀεί, μηδὲ ἄλλο ποτὲ μηδὲν ὥς τιν' ἔχον βεβαιότητα, ὅσα δεικνύντες τῷ ῥήματι τῷ τόδε[t] καὶ τοῦτο[u] προσχρώμενοι δηλοῦν ἡγούμεθά τι· φεύγει[w] γὰρ οὐχ ὑπομένον τὴν τοῦ τόδε καὶ τὴν[x] τούτου[y] καὶ τὴν[z] τῷδε[a] καὶ πᾶσαν ὅση μόνιμα ὡς ὄντα αὐτὰ ἐνδείκνυται[b] φάσις.[c] ἀλλὰ ταῦτα μὲν ἕκαστα μὴ λέγειν, τὸ δὲ τοιοῦτον ἀεὶ περιφερόμενον ὅμοιον ἑκάστου πέρι καὶ ξυμπάντων οὕτω καλεῖν· καὶ δὴ καὶ πῦρ τὸ διὰ παντὸς τοιοῦτον,[d] καὶ ἅπαν ὅσον περ ἂν ἔχῃ[e] γένεσιν. ἐν ᾧ δὲ ἐγγιγνόμενα ἀεὶ[f] ἕκαστα

ἔτι): δὲ τὸν ἀέρα *s.—[a] ante πῦρ omisi καὶ cum AΘΣΥFSYsδ.—[b] alterum πῦρ add Aδ, deleto quod v. inf. post ἀέρος inferebatur.—[c] συγκραθὲν o.—[d] ϱ κατασκευασθέν.—[e] ἀπιὸν Y.—[f] αὖθις δὲ b et rc A.—[g] ἀέρα s.—[h] πηγνύμενον (ut videtur) pr Υ, πηχνύμενον s.—[i] μεγάλα ϱ.—[k] ξυμπιλούμενον corr F.—[l] αὐτῶν om x.—[m] οὐ μᾶλλον x.—[n] αἰσχυνεῖται AFq: αἰσχυνεῖ γε cum *s corr o.—[o] ἑαυτὸν A: αὐτῶν Θ Ygr et corr o: αὐτὸν *s.—[p] ἀσφαλέστατα Ao, ἀσφαλέσταθ' ἂν ΘΥFSYsxegr: ἀσφαλέστατον ἂν *s.—[q] ἄλλο ϱ.—[r] καὶ ϱ.—[s] τὸ om F.—[t] τῷδε τὸ pr o.—[u] καὶ τῷ τοῦτο Σ, καὶ τούτω Fr.—[w] φεύγειν x.—[x] τὴν om A.—[y] τοῦτο Θ et pr Yo.—[z] τὴν ν om pr o.—[a] τόδε r.—[b] ἐνδείκνυνται ΞΥ, ἐνδεικνύμενος s.—[c] φάσις F: om s.—[d] τοιοῦτο Ss.—[e] ἔχοι SYqsgr, om xe.—[f] ἀεὶ add A.—[g] φαίνεται o.—[h] αὖ AFo et

bendum esset συγκαυθὲν δὲ, πῦρ: referendo et hoc ad ὕδωρ. Steph.

συγκαυθέντα δὲ] Scribe hic cum Serrano [Stephano] συγκαυθὲν δὲ (scil. τὸ ὕδωρ), πῦρ, atque expungas mecum vocem πῦρ, quæ mox sequitur post ἀέρος. Lind.

§. 23. τούτου καὶ τὴν τῷδε] Locus satis corruptus, cui emendando Cod. Tub. solum habens variam lectionem τοῦτο καὶ τὴν τόδε parum affert auxilii. Opinamur igitur hic scribendum: φεύγει γὰρ οὐχ ὑπομένον τὴν τοῦ τόδε, καὶ τὴν τοῦ τοῦτο, καὶ τὴν τοῦ ὧδε, καὶ πᾶσαν ὅση ὡς μόνιμα ὄντα αὐτὰ ἐνδείκνυται φάσις. Ut infra τῷ τε τοῦτο καὶ τῷ τόδε προσχρωμένους ὀνόματι; Unde efficitur, ut etiam supra concinnius rescribatur τῷ τόδε καὶ τῷ τοῦτο προσχρώμενοι. Lind.

ὅμοιον] Scribatur hic necesse est ἀνόμοιον, atque incidendum post τοιοῦτον. Lind.

αὐτῶν φαντάζεται[g] καὶ πάλιν ἐκεῖθεν ἀπόλλυται, μόνον 7
ἐκεῖνο αὖ[h] προσαγορεύειν τῷ τε τοῦτο καὶ τῷ τόδε προσ- III. 50.
χρωμένους ὀνόματι, τὸ δὲ ὁποιονοῦν τι, θερμὸν ἢ λευκὸν ἢ
καὶ ὁτιοῦν τῶν[i] ἐναντίων, καὶ πάνθ' ὅσα ἐκ τούτων, μηδὲν[j]
ἐκεῖνο αὖ[k] τούτων καλεῖν. ἔτι δὲ σαφέστερον αὐτοῦ[l] πέρι[m] III. ii. 60.
προθυμητέον αὖθις[n] εἰπεῖν. εἰ γὰρ πάντα τις[o] σχήματα
πλάσας ἐκ χρυσοῦ μηδὲν μεταπλάττων παύοιτο[p] ἕκαστα
εἰς ἅπαντα, δεικνύντος δή τινος αὐτῶν ἓν καὶ προσερομένου[q]
τί ποτ'[r] ἐστι, μακρῷ πρὸς ἀλήθειαν[s] ἀσφαλέστατον[t] εἰ-
πεῖν ὅτι χρυσός,[u] τὸ δὲ τρίγωνον ὅσα τε ἄλλα σχήματα
ἐνεγίγνετο, μηδέποτε λέγειν ταῦτα ὡς ὄντα, ἅ γε μεταξὺ
τιθεμένου μεταπίπτει, ἀλλ' ἐὰν ἄρα καὶ τὸ τοιοῦτον[v] μετ'[w]
ἀσφαλείας ἐθέλῃ δέχεσθαί[x] τινος, ἀγαπᾶν. ὁ[y] αὐτὸς δὴ
λόγος καὶ περὶ τῆς τὰ πάντα δεχομένης σώματα φύσεως·
ταὐτὸν[z] αὐτὴν[a] ἀεὶ προσρητέον· ἐκ γὰρ τῆς ἑαυτῆς τὸ πα-
ράπαν οὐκ ἐξίσταται δυνάμεως. δέχεταί τε[b] γὰρ ἀεὶ
τὰ πάντα, καὶ μορφὴν οὐδεμίαν ποτὲ οὐδενὶ τῶν εἰσιόν-
των ὁμοίαν εἴληφεν οὐδαμῇ οὐδαμῶς· ἐκμαγεῖον γὰρ φύ-
σει παντὶ κεῖται, κινούμενόν τε καὶ διασχηματιζόμενον[c]
ὑπὸ[d] τῶν εἰσιόντων.[e] φαίνεται δὲ[f] δι' ἐκεῖνα ἄλλοτε[g] ἀλ-
λοῖον. τὰ δὲ εἰσιόντα καὶ ἐξιόντα τῶν ὄντων ἀεί[h] μι-
μήματα, τυπωθέντα[i] ἀπ'[k] αὐτῶν τρόπον τινὰ δύσφρα-

corr Θ: ἂν *s.—[i] τι τῶν o.—[j] μηδὲν...τούτων om o.—[k] αὖ AF: ἂν *s.—[l] αὐτῶν o.—[m] πέρι om e.—[n] αὖθις om o.—[o] τι Y.—[p] παύοι r.—[q] καὶ ἐρομένου Ao: om SYsr.—[r] ποτ' or.—[s] ἀληθεία s.—[t] ἀσφαλέστατα T.xeg.—[u] ὅτι χρυσὸς εἰπεῖν o.—[v] τοιοῦτο Ssxegr.—[w] μετ' ΘFS.—[x] γενέσθαι Ss.—[y] ὁ om ΘΞTFSqsxegor.—[z] ταυτὸν...δυνάμεως om pr T.—[a] αὐτὴν om F.—[b] τε om FSYqsgr.—[c] σχηματιζ. s.—[d] ὑπὲρ s.—[e] σιόντων x.—[f] δὴ g.—[g] ἄλλοτ' s.—[h] ἀεὶ ὄντα A, qui in mg ἄλλων ἀεὶ

μόνον ἐκεῖνο ἂν προσαγορεύειν] Hæc et ea, paulo post, *μηδὲν ἐκεῖνο ἂν τούτων καλεῖν*, cuncta pendent a remoto illo *ἀσφαλέστατον ἂν* sc. *εἴη*, ita ut, quam Cod. Tub. utrobique offert, varia lectio *αὖ* hic locum non habeat: *ἐκεῖνο* sc. *τὸ τόδε ἢ τὸ τοῦτο ἢ τὸ ᾧδε*: quare, quum plura sint, præstare videtur *ἐκείνως*. Lind.

ἐκμαγεῖον γὰρ φύσει παντὶ κεῖται] Sequens verba, quæ paulo antecedunt, *περὶ τῆς τὰ πάντα δεχομένης σώματα φύσεως*, (ubi fortasse præstat scribere *σχήματα* loco *τοῦ σώματα*, cui opinioni suffragantur quæ infra sunt, p. 51. A. *ἀλλ' ἀόρατον εἶδός τι καὶ ἄμορφον, πανδεχὲς*,) rescribe hic nobiscum: *ἐκμαγεῖον γὰρ φύσις παντὶ* (sc. *σχήματι*) *κεῖται*, ita ut voces *κινούμενόν τε καὶ διασχηματιζόμενον* referantur ad vocem *ἐκμαγεῖον*. Unde efficitur, ut male hic verterit Ficinus: *Omnis sane natura fictioni subjecta est*. Lind.

τυπωθέντα ὑπ' αὐτῶν] Cod. Tub. hic offert lectionem *ἀπ' αὐτῶν*, quæ videtur longe altera elegantior; siquidem hic agitur de *rerum imitamentis*. Ut non multo post eadem fere ratione dicitur: *τὸ δ' ὅθεν ἀφομοιούμενον φύεται τὸ γιγνόμενον*. Lind.

στον καὶ θαυμαστόν, ὃν εἰσαῦθις μέτιμεν. [§. 24.] Ἓν δ' οὖν τῷ παρόντι χρὴ γένη διανοηθῆναι[l] τριττά, τὸ μὲν γιγνόμενον, τὸ δ' ἐν ᾧ γίγνεται, τὸ δ' ὅθεν ἀφο-
III. ii. 61. μοιούμενον φύεται τὸ γιγνόμενον. καὶ δὴ καὶ πρόσεικάσαι πρέπει τὸ μὲν[m] δεχόμενον μητρί, τὸ δ' ὅθεν πατρί, τὴν δὲ μεταξὺ τούτων φύσιν ἐκγόνῳ,[n] νοῆσαί τε ὡς οὐκ ἂν ἄλλως ἐκτυπώματος ἔσεσθαι μέλλοντος ἰδεῖν ποικίλου[o] πάσας ποικιλίας τοῦτ' αὐτὸ ἐν ᾧ ἐκτυπούμενον ἐνίσταται,[p] γένοιτ' ἂν παρεσκευασμένον[q] εὖ, πλὴν ἄμορφον ὂν ἐκείνων ἁπασῶν τῶν ἰδεῶν ὅσας[r] μέλλοι[s] δέχεσθαί ποθεν. ὅμοιον γὰρ ὂν τῶν ἐπεισιόντων τινὶ τὰ[t] τῆς ἐναντίας τά τε τῆς τὸ[u] παράπαν ἄλλης φύσεως, ὁπότ' ἔλθοι,[v] δεχόμενον κακῶς ἂν ἀφομοιοῖ, τὴν αὐτοῦ παρεμφαῖνον[w] ὄψιν. διὸ καὶ πάντων ἐκτὸς[x] εἰδῶν εἶναι χρεὼν τὸ τὰ πάντα ἐκδεξόμενον[y] ἐν αὑτῷ γένη, καθάπερ περὶ[z] τὰ ἀλείμματα, ὁπόσα εὐώδη, τέχνη[a] μηχανῶνται πρῶτον τοῦτ' αὐτὸ ὑπάρχον, ποιοῦσιν ὅτι μάλιστα ἀνώδη τὰ δεξόμενα ὑγρὰ[b] τὰς ὀσμάς· ὅσοι τε ἔν τισι τῶν μαλακῶν σχήματα ἀπομάττειν[c] ἐπιχειροῦσι, τὸ παράπαν σχῆμα οὐδὲν ἔνδηλον[d] ὑπάρχειν ἐῶσι,[e] προομαλύναντες[f] δὲ ὅτι λειότατον[g] ἀπεργάζονται. ταὐτὸν
III. 51. οὖν καὶ τῷ τὰ τῶν πάντων ἀεί[h] τε ὄντων κατὰ[i] πᾶν ἑαυτοῦ πολλάκις ἀφομοιώματα καλῶς μέλλοντι δέχεσθαι πάν-
III. ii. 62. των[k] ἐκτὸς αὐτῷ[l] προσήκει πεφυκέναι τῶν εἰδῶν. διὸ δὴ[m]

μιμητὰ.—[l] κεῖται τυπωθ. ο.—[k] ἐπ' g, ὑπ' χος.—[l] διανοηθῆναι γένη τ.—[m] τὸν μὲν Τχε.—[n] ἐγγόνῳ Fo.—[o] ποικίλας gτ.—[p] ἐνίστανται ο.—[q] παρασκευασάμενον ο.—[r] ὅσας γε ο.—[s] μέλλοι ΑΘ: μέλλει *s.—[t] τά τε ο.—[u] τὸ add A.—[v] ἔλθη τ.—[w] παρεμφαῖνον ΑΞΣΥSYqxgοτ et corr Θ, παρεμφαίνων F, παρεμφαῖναι ε, παρεμφαίνων *s.—[x] πάντων ἄρ' ἐκτὸς ο.—[y] ἐκδεξόμενον ΑΘΣΤFSYsxg, εἰσδεχόμενον ο: ἐνδεξόμενον *s.—[z] περὶ om g.—[a] τέχνη....ἀνώδη add Aqo et mg Θ, sed Ao et mg Θ εὐώδη.—[b] ὑγρὰς ο.—[c] ἀπομάττειν σχήματα χε.—[d] ἔκδηλον τ.—[e] ἐῶσιν ὑπάρχειν ο.—[f] προομαλύνοντες ε.—[g] λειότατα q et corr Σ.—[h] τῶν ἀεί ο.—[i] τὸ κατὰ ο.—[k] πάντα g.—[l] αὐτῶι A: αὐτῶν *s.—[m] δὴ add A.—[n] πάντως ΘΞΤFSYqsxεοτ:

§. 24. καθάπερ περὶ τὰ ἀλείμματα] Scribe nobiscum: καθάπερ τὰ ἀλείμματα, ὁπόσα εὐώδη, ἢ τὰ δεξόμενα ὑγρὰ τὰς ὀσμὰς sc. πάντων ἐκτὸς εἰδῶν εἶναι χρεών, quæ intelligas ex antecedentibus. Lind.

ὁπόσα εὐώδη] Plenius hic Tub. atque sic quidem: ὁπόσα εὐώδει τέχνῃ μὴ χαμῶνται (corr. μηχανῶνται) πρῶτον τοῦτ' αὐτὸ ὑπάρχον ποιοῦσιν ὅτι μάλιστα εὐώδη τὰ δεξόμενα ὑγρὰ τὰς ὀσμάς. Atque ita fere Ficinus legisse videtur. Bip.

αὐτῶν] Mutandum puto αὐτῶν in αὐτό. Steph.

πάντων ἐκτὸς αὐτῶν] Quem locum, nequaquam intellectum, male habuit Stephanus proponens conjecturam πᾶν ἐκτὸς αὐτό. Etenim si ταὐτὸν explicas

τὴν τοῦ γεγονότος ὁρατοῦ καὶ πάντως[n] αἰσθητοῦ μητέρα καὶ ὑποδοχὴν μήτε γῆν μήτε[o] ἀέρα μήτε πῦρ μήτε ὕδωρ λέγωμεν, μήτε ὅσα ἐκ τούτων μήτε ἐξ ὧν ταῦτα γέγονεν· ἀλλ' ἀνόρατον[p] εἶδός τι καὶ ἄμορφον, πανδεχές, μεταλαμβάνον δὲ ἀπορώτατά[q] πῃ[r] τοῦ νοητοῦ καὶ δυσαλωτότατον αὐτὸ λέγοντες οὐ ψευσόμεθα. καθ' ὅσον δὲ[s] ἐκ τῶν προειρημένων δυνατὸν ἐφικνεῖσθαι τῆς φύσεως αὐτοῦ, τῇδ' ἂν τις ὀρθότατα λέγοι, πῦρ μὲν ἑκάστοτε αὐτοῦ τὸ πεπυρωμένον μέρος φαίνεσθαι, τὸ δὲ ὑγρανθὲν ὕδωρ, γῆν δὲ[t] καὶ ἀέρα, καθ' ὅσον ἂν μιμήματα[u] τούτων[v] δέχηται. [§. 25.] Λόγῳ δὲ[w] δὴ μᾶλλον τὸ τοιόνδε διοριζομένοις[x] περὶ αὐτῶν διασκεπτέον· ἆρ' ἔστι τι[y] πῦρ αὐτὸ ἐφ' ἑαυτοῦ, καὶ πάντα περὶ ὧν ἀεὶ λέγομεν οὕτως αὐτὰ καθ' αὑτὰ[z] ὄντα ἕκαστα,[a] ἢ ταῦτα ἅ περ καὶ βλέπομεν ὅσα τε ἄλλα διὰ τοῦ σώματος αἰσθανόμεθα, μόνα[b] ἐστὶ τοιαύτην ἔχοντα ἀλήθειαν, ἄλλα δὲ οὐκ ἔστι παρὰ ταῦτα οὐδαμῇ οὐδαμῶς, ἀλλὰ μάτην ἑκάστοτε εἶναί τί φαμεν[c] εἶδος ἑκάστου νοητόν, τὸ δὲ οὐδὲν ἄρ' ἦν πλὴν λόγος. οὔτε οὖν δὴ[d] τὸ παρὸν ἄκριτον καὶ ἀδίκαστον ἀφέντα[e] ἄξιον φάναι διισχυριζόμενον ἔχειν οὕτως, οὔτ' ἐπὶ λόγου μήκει[f] πάρεργον ἄλλο μῆκος ἐπεμβλητέον· εἰ δέ τις ὅρος ὁρισθεὶς μέγας διὰ βραχέων φανείη, τοῦτο μάλιστα καιριώτατον[g] γένοιτ' ἄν. ὧδε οὖν III. ii. 63.

παντὸτ *s.—[o] μήτ' o.—[p] ἀνόρατον ΑΘFSYqsgr: ἀόρατον *s.—[q] τὰ πορρωτάτω corr A.—[r] τι corr F.—[s] δ' sxegor.—[t] γῆν τε A, γῆν τε.—[u] μιμητὰ s.—[v] τούτων... διασκ. om g.—[w] δὲ om Ss.—[x] διοριζομένους AFo.—[y] τι om r.—[z] ἑαυτὰ g.—[a] ἕκαστα om pr r, post ὄντα ponit A, ante ὄντα *s.—[b] μόνον r.—[c] φαμέν τι εἶναι r.—[d] δὴ om Ss.—[e] φανέντα r.—[f] λόγου μήκει ΑΘΣTFSYqsxego, λόγου μήκη r: μήκει λόγου s.—[g] ἐγκαιριώτατον AF, ἐγκαιρότατον o, καὶ κυρίωτατον Θ, κυριώτα-

κατὰ τὸν αὐτὸν τρόπον, loco nulla opus est mutatione, nisi forte malueris pro αὐτῶν hic rescribere αὐτῷ referendum per analepsin ad præcedens τῷ μέλλοντι δέχεσθαι. Lind.

αὐτοῦ] Malim hoc pronomen αὐτοῦ (mutata quæ in præcedent. edit. est interpunctione post ipsum) referre ad *μέρος*: ut non dicamus, *ejus ignem*, sed *ignem, partem ejus ignitam, etc.* Steph.

αὐτοῦ] Stephanus quidem vocem αὐτοῦ referens ad ignem, mirum in modum fallitur, quum ea pertineat ad vocem non multo antecedentem ἀόρατον εἶδος τι καὶ ἄμορφον, πανδεχὲς, quo ibi modo auctor eo consilio designavit φύσιν, ut mox posset dicere, καθόσον δὲ ἐκ τῶν προειρημένων δυνατὸν ἐφικνεῖσθαι τῆς φύσεως αὐτοῦ, ingratum ob concursum nolens dicere τῆς φύσεως αὐτῆς aut etiam τῆς φύσεως τῆς φύσεως. Lind.

§. 25. ἆρ' ἐστὶ] Interrog. notam non apposui, quod ἆρα videatur pendere a διασκεπτέον; ideo malim, *Utrum ignis aliquis sit.* Paulo post, *Ipsa singula per se sint. An hæc quæ conspicimus etc.* Et in sequentibus eodem modo. Steph.

τήν γ' ἐμὴν αὐτὸς τίθεμαι ψῆφον·[h] εἰ μὲν νοῦς καὶ δόξα ἀληθής ἐστον[i] δύο γένη, παντάπασιν εἶναι καθ'[k] αὐτὰ ταῦτα, ἀναίσθητα ὑφ' ἡμῶν εἴδη,[l] νοούμενα μόνον· εἰ δ' ὡς τισι φαίνεται, δόξα ἀληθὴς νοῦ διαφέρει τὸ μηδέν,[m] πάνθ' ὁπόσα[n] αὖ διὰ τοῦ σώματος αἰσθανόμεθα,[o] θετέον βεβαιότατα. δύο δὴ λεκτέον ἐκείνω, διότι χωρὶς γεγόνατον ἀνομοίως τε ἔχετον. τὸ μὲν γὰρ αὐτῶν διὰ[p] διδαχῆς, τὸ δ' ὑπὸ πειθοῦς ἡμῖν ἐγγίγνεται· καὶ τὸ μὲν ἀεὶ μετὰ[q] ἀληθοῦς λόγου, τὸ δὲ ἄλογον· καὶ τὸ μὲν ἀκίνητον πειθοῖ, τὸ δὲ μεταπειστόν·[r] καὶ τοῦ μὲν πάντα ἄνδρα μετέχειν φατέον,[s] νοῦ[t] δὲ θεούς, ἀνθρώπων δὲ γένος βραχύ τι.

[§. 26.] Τούτων δὲ οὕτως ἐχόντων ὁμολογητέον[u] ἓν[v] μὲν[w]
III. 52. εἶναι τὸ κατὰ ταὐτὰ εἶδος ἔχον,[x] ἀγέννητον,[y] καὶ ἀνώλεθρον, οὔτε εἰς ἑαυτὸ εἰσδεχόμενον ἄλλο ἄλλοθεν[z] οὔτε αὐτὸ εἰς ἄλλο ποι[a] ἰόν, ἀόρατον δὲ[b] καὶ ἄλλως ἀναίσθητον, τοῦτο ὃ δὴ νόησις[c] εἴληχεν ἐπισκοπεῖν· τὸ δὲ ὁμώνυμον
III. ii. 64. ὅμοιόν τε ἐκείνῳ δεύτερον, αἰσθητόν,[d] γεννητόν,[e] πεφορημένον[f] ἀεί, γιγνόμενόν τε[g] ἔν τινι τόπῳ καὶ πάλιν ἐκεῖθεν ἀπολλύμενον, δόξῃ μετ' αἰσθήσεως περιληπτόν· τρίτον δὲ αὖ[h] γένος ὂν τὸ τῆς χώρας ἀεί, φθορὰν οὐ προσδεχόμενον,[i]

τον ϱ.—[h] αὐτὸς τίθεμαι ψῆφον AFo, ψῆφον τίθεμαι αὐτὸς SYsgr, ψῆφον αὐτὸς τίθεμαι q : τίθεμαι ψῆφον αὐτὸς *s.—[i] ἐστι F.—[k] τὰ καθ' rc Σ.—[l] ᾖδη go.—[m] διαφέροιτο μηδὲν gs.—[n] ὁπόσ' o.—[o] αἰσθανόμεθα AFYor et pr Θ : αἰσθανώμεθα *s.—[p] διὰ om Ss.—[q] μετὰ τοῦ ἀλ. r.—[r] μετάπειστον ΘΣFY, μετ' ἀπειστον Υ.—[s] φαμὲν r.—[t] τοῦ o.—[u] hinc b ad 299, 6. εἶναι.—[v] ἓν add Aqbo et (qui habet μὲν ἓν μὲν) F.—[w] μὲν om b.—[x] εἶδος ἔχον Abo : ἔχον εἶδος *s.—[y] ἀγένητον AΘΣTSYsxbeg.—[z] ἄλλοτε ἄλλο F, ἄλλοσε ἄλλο γρ Θ.—[a] πη Fr et corr o.—[b] δὲ om F.—[c] νοήσεις o.—[d] αἰσθητον ante πεφορημένον ponunt ΣTqsrg.—[e] γεννητὸν ΘΥFx et pr A Σ : γενητὸν *s.—[f] πεφωνημένον A.—[g] τε add AΘΣTFSYsxegor.—[h] αὐτὸ ΘΥFSYs xegor et pr Σ, αὖ τὸ q et corr Σ.—[i] προσδοκώμενον F.—[k] ἔχειν Ξ.—[l] πᾶσαν s.—

εἶδη] Malim εἶδη ad præcedentia etiam referre, expuncta hypostigme post ἡμῶν : ut illa dicantur esse εἶδη ἀναίσθητα ὑφ' ἡμῶν, et νοούμενα μόνον. Steph.

εἶδη] Locus hic gravi laborat mendo, cui, intercidens post εἶδη, ne Stephanus quidem attulit medelam. Videtur autem nobis, ut res antistrophice respondeant sequentibus, sic scribendum : παντάπασιν εἶναι καθ' αὐτὰ ταῦτα, ἃ, ἀναίσθητα ὑφ' ἡμῶν, εἶδει νοοῦμεν μόνον. Lind.

διαφέροιτο] Non dubito quin scribendum sit διαφέροι, quum passiva hujus verbi vox aliam habeat significationem. Steph.

διὰ διδαχῆς] Cod. Tub. διὰ διαδοχῆς. Mox pro ἀκίνητον, Tub. ἀεὶ κίνητον. Bip.

§. 26. ὁμολογητέον μὲν] Cod. Tub. probam huc affert lectionem ὁμολογητέον ἓν μὲν εἶναι τὸ κατὰ ταὐτὰ ἔχον, cui, quæ postea sunt, τὸ δὲ ὁμώνυμον, ὅμοιόν τε ἐκείνῳ δεύτερον αἰσθητόν, atque etiam inferius, τρίτον δὲ αὖ γένος, optime respondent. Lind.

δεύτερον] Videtur interpungendum esse inter δεύτερον et αἰσθητόν. Steph.

ἔδραν δὲ παρέχον ὅσα ἔχει[k] γένεσιν πᾶσιν,[l] αὐτὸ δὲ μετ' ἀναισθησίας ἅπτὸν λογισμῷ τινὶ νόθῳ, μόγις πιστόν, πρὸς ὃ δὴ[m] καὶ ὀνειροπολοῦμεν βλέποντες καί φαμεν ἀναγκαῖον εἶναί που τὸ ὂν ἅπαν ἔν τινι τόπῳ καὶ[n] κατέχον[o] χώραν[p] τινά, τὸ δὲ μήτε ἐν γῇ μή τέ που κατ' οὐρανὸν οὐδὲν εἶναι. ταῦτα δὴ[q] πάντα καὶ τούτων[r] ἄλλ' ἀδελφὰ καὶ περὶ τὴν ἄϋπνον καὶ ἀληθῶς φύσιν ὑπάρχουσαν ὑπὸ ταύτης τῆς[s] ὀνειρώξεως οὐ δυνατοὶ γιγνόμεθα ἐγερθέντες διοριζόμενοι τἀληθὲς[t] λέγειν, ὡς εἰκόνι μέν,[u] ἐπεί περ οὐδ' αὐτὸ τοῦτο ἐφ' ᾧ γέγονεν[v] ἑαυτῆς ἐστίν, ἑτέρου δέ τινος ἀεὶ φέρεται φάνταομα, διὰ ταῦτα ἐν ἑτέρῳ[w] προσήκει τινὶ γίγνεσθαι,[x] οὐσίας ἁμῶς[y] γέ πως ἀντεχομένην, ἢ μηδὲν τὸ παράπαν αὐτὴν εἶναι, τῷ δὲ ὄντως ὄντι βοηθὸς ὁ δι'[z] ἀκριβείας ἀληθὴς λόγος, ὡς ἕως ἄν τι τὸ μὲν ἄλλο ᾖ, τὸ δὲ ἄλλο, οὐδέτερον ἐν οὐδετέρῳ ποτὲ γεγενημένον[a] ἓν ἅμα ταὐτὸν[b] καὶ δύο γενήσεσθον.[c] [§. 27.] Οὗτος μὲν οὖν III. ii. 65.
δὴ[d] παρὰ τῆς ἐμῆς[e] ψήφου λογισθεὶς ἐν κεφαλαίῳ δε-

[m] δὴ ΑΘΞΣΥFSYsxdegσr: δὲ *s.—[n] καὶ om F.—[o] κατέχειν F.—[p] μοῖράν σ.—[q] δὴ ΑΘΞΣΥFSYsxegσr: δὲ *s.—[r] καὶ τούτων ΑΘFSYqsgσr: καὶ τὰ τούτων *s. ἄλλ' add ΑΘFSYqsgσr.—[s] τῆς om x.—[t] τἀληθῆ F.—[u] μέντοι προσχρώμεθα σ, μὲν προσχρώμεθα s et rc S.—[v] γέγωνεν x.—[w] ἑτέρῳ τινὶ A.—[x] φέρεσθαι Υ.—[y] ἁμῶς ΑΘΥ.—[z] δ' F (et adscripta pro γρ δι') A.—[a] γενόμενον A.—[b] ταυτὸ Ssg.—[c] γενδὴ
ήσεσθαι g.—[d] οὖν δὴ ΑΘFYqsgσr et corr S (pr enim om οὖν), τοι οὖν x: δὴ οὖν *s.

ἀναγκαῖον] Legendum puto, ἀναγκαῖον, εἶναί που τὸ ὂν ἅπαν, ἔν τινι τόπῳ, καὶ κατέχειν etc. Steph.

λέγειν] Ita potius interpungendus esse videtur hic locus, ut post λέγειν sit stigme τελεία, at post μὲν sit duntaxat hypostigme: necnon post φάντασμα, et post εἶναι sit quod vocamus punctum superius: quod ostendat, hæc, εἰκόνι, et τῷ ὄντως ὄντι, sibi opponi. Tunc autem ὡς accipietur pro *nam:* ut sit hic loci hujus sensus, (mutando etiam ἑαυτῆς in αὐτῆς) *Nam imagini quidem, quoniam neque hoc ipsum in quo facta est, ipsius est, sed alius cujuspiam semper fertur simulacrum, ideo convenit ut in alio quodam sit, substantiam aliquatenus usurpans, aut nihil sit omnino: at vero ei quod revera est, suffragatur quæ exacte vera est ratio, etc.* Ut intelligamus, imaginem non habere naturam a se, sed aliunde: ideoque per se non posse constare, sed adminiculo materiæ opus habere. Sed ἐφ' ᾧ γέγονεν videndum annon possit et aliter reddi: videlicet, *propter quod extitit,* sive *cujus causa extitit.* Quod autem ad particulam ὡς attinet, nihil prohibet fortasse quominus et pro ὅτι eam accipiamus, jungendo cum λέγειν: sed alter ille ejus usus mihi magis placet. Steph.

τῷ δὲ ὄντως ὄντι] Hæc respondent antecedentibus ὡς εἰκόνι μὲν—βοηθὸς ὁ δι' ἀκριβείας ἀληθὴς λόγος, ubi melius legit Ficinus: ὁ δι' ἀκριβείας καὶ ἀληθὴς λόγος. Lind.

ἀκριβείας ἀληθὴς] Ita hæc vertit Ficinus ac si legerit, ὁ δι' ἀκριβείας καὶ ἀληθὴς λόγος, et ὁ δι' ἀκριβείας idem valeat quod ὁ ἀκριβής. Vide autem et supra περὶ τοῦ ἀληθοῦς λόγου, p. 37. Steph.

δόσθω[f] λόγος, ὃν[g] τε καὶ[h] χώραν καὶ γένεσιν εἶναι, τρία τριχῇ, καὶ πρὶν οὐρανὸν γενέσθαι· τὴν δὲ[i] γενέσεως[k] τιθήνην ὑγραινομένην καὶ πυρουμένην καὶ τὰς γῆς τε καὶ ἀέρος μορφὰς δεχομένην,[l] καὶ ὅσα τούτοις ἄλλα πάθη[m] ξυνέπεται πάσχουσαν, παντοδαπὴν[n] μὲν[o] ἰδεῖν φαίνεσθαι, διὰ δὲ τὸ μὴθ'[p] ὁμοίων δυνάμεων μήτ' ἰσορρόπων[q] ἐμπίπλασθαι[r] κατ' οὐδὲν αὐτῆς[s] ἰσορροπεῖν, ἀλλ' ἀνωμάλως πάντῃ ταλαντουμένην[t] σείεσθαι μὲν ὑπ' ἐκείνων αὐτήν, κινουμένην δ' αὖ[u] πάλιν ἐκεῖνα[v] σείειν· τὰ δὲ κινούμενα ἄλλα ἄλλοσε ἀεὶ φέρεσθαι διακρινόμενα, ὥς περ τὰ ὑπὸ τῶν πλοκάνων[w] τε καὶ ὀργάνων τῶν περὶ τὴν[x] τοῦ σίτου κάθαρσιν σειόμενα
III. 53. καὶ ἀναλικνώμεναι[y] τὰ μὲν πυκνὰ καὶ βαρέα ἄλλῃ,[z] τὰ δὲ μανὰ καὶ κοῦφα εἰς ἑτέραν ἴζει φερόμενα ἕδραν· τότε οὕτω τὰ τέτταρα γένη σειόμενα ὑπὸ τῆς δεξαμενῆς,[a] κινουμένης αὐτῆς οἷον ὀργάνου σεισμὸν παρέχοντος, τὰ μὲν ἀνομοιότατα πλεῖστον αὐτὰ ἀφ'[b] αὑτῶν ὁρίζειν, τὰ δ' ὁμοιότατα μάλιστα[c] εἰς ταὐτὸν[d] ξυνωθεῖν, διὸ δὴ καὶ χώραν ταῦτα ἄλλα ἄλλην ἴσχειν,[e] πρὶν καὶ τὸ πᾶν ἐξ

αι o
—[e] ἐμοῦ g.—[f] δεδόσθαι Θgr, δεδόσθω rc S.—[g] ὧν Υ.—[h] καὶ om g.—[i] δὴ A, δὲ δὴ O.—[k] γενέσεως ΑΘΥΓSYgxegor, γενήσεως Σ: γεννήσεως s.—[l] εἰσδεχομένην μορφὰς F.—[m] ἄλλα τούτοις πάθη A, ἄλλα πάθη τούτοις F.—[n] παντοδαπὸν Υ, παντοδαπὰ sg.—[o] μὲν om pr Ξ.—[p] μὴ F.—[q] ἰσορρόπως O.—[r] ἐμπίμπλασθαι
ην
A.—[s] αὐτῆς ΑΘΞΣΥΓSYsxeo, αὐτὰς g: αὐτοῖς *s.—[t] κινουμένων O.—[u] αὖ om F.—[v] ἐκείνας F.—[w] πλοχάνων (corr in littera χ) A, κάνων g, πλοκάμων sΥs.—[x] τὴν om F.—[y] ἀναλικνώμενα ΣΥe et pr AΘ, ἀνικμώμενα F, ἀνικμώμενα O, ἀναλισκώμενα x, ἀναλισκόμενα Yqgr et γρ O, ἀνακυκλώμενα s, ἀνακλώμενα mg S: ἀναλικμώμενα *s.—[z] ἄλλα g.—[a] δεξαμένης ΘFq.—[b] ἀφ' ΑΘΞΥΓSYsxegor: ὑφ' *s.—[c] μάλιστα AFYqsO: πάλιν cum *s in litura Υ.—[d] ταυτὸν ΑΘΥgor:

§. 27. καὶ πρὶν οὐρανὸν γενέσθαι] Hæc verba Fic. quoque præcedentibus jungit. Ut autem sequentibus jungi possent, (sicut in hac interpretatione) scribendum esset, τὴν δὲ, καὶ πρὶν οὐρανὸν γενέσθαι, γεννήσεως τιθήνην. Steph.

γεννήσεως] Scribe γενέσεως. Lind.

πλοκάμων] In Ald. edit. πλοκάνων legitur: quod alibi extare vix putem: at πλοκάμων (a nominativo singul. non πλόκαμος, sed πλόκαμον) confirmant cum alii aliorum loci, tum quidam Theophrasti: vel maxime autem quidam hujus ipsius scriptoris, in sequentibus, τὰ μὲν οὖν ἔνδον ἐκ πυρὸς συνεστήσατο τοῦ πλοκάμου ἅπαντα, τὰ δ' ἐγκύρτια καὶ τὸ κύτος, ἀεροειδῆ. Alioqui certe ex verbo πλέκω non minus πλόκανον quam πλόκαμον deductionem admitteret. Steph.

πυκνὰ καὶ βαρέα] Tub. πυκνὰ καὶ ἀραιά. Bip.

πάλιν] Cod. Tub. loco τοῦ πάλιν, quod, nisi falsum, certe hic est ambiguum, habet lectionem μάλιστα, quæ præcedenti πλεῖστον magis convenit. Præterea vero leges grammatices hic desiderant ὁρίζεσθαι et ξυνωθεῖσθαι, itidemque αὐτὰ ἀφ' αὑτῶν loco τοῦ αὐτὰ ὑφ' αὑτῶν. Namque hic agitur de mutua dissimilium ultro facta separatione similiumque rursus attractu. Lind.

αὐτῶν διακοσμηθὲν γενέσθαι. καὶ τὸ μὲν δὴ πρὸ τούτου
πάντα ταῦτ' ἔχειν[f] ἀλόγως[g] καὶ ἀμέτρως· ὅτε δ' ἐπεχει- III. ii. 66.
ρεῖτο[h] κοσμεῖσθαι τὸ πᾶν, πῦρ[i] πρῶτον καὶ ὕδωρ καὶ γῆν
καὶ ἀέρα,[k] ἴχνη μὲν ἔχοντα αὐτῶν[l] ἅττα,[m] παντάπασι
μὴν[n] διακείμενα ὥς περ εἰκὸς ἔχειν ἅπαν ὅταν ἀπῇ τινὸς
θεός, οὕτω δὴ[o] τότε πεφυκότα ταῦτα πρῶτον διεσχηματί-
σατο εἴδεσί τε[p] καὶ ἀριθμοῖς. τὸ δὲ ἦ[q] δυνατὸν ὡς κάλ-
λιστα ἄριστά[r] τε ἐξ οὐχ οὕτως ἐχόντων τὸν θεὸν[s] αὐτὰ
ξυνιστάναι, παρὰ[t] πάντα ἡμῖν ὡς ἀεὶ τοῦτο λεγόμενον
ὑπαρχέτω. νῦν δ'[u] οὖν τὴν διάταξιν αὐτῶν ἐπιχειρητέον
ἑκάστων καὶ γένεσιν ἀήθει[v] λόγῳ[w] πρὸς ὑμᾶς[x] δηλοῦν.
ἀλλὰ γὰρ ἐπεὶ μετέχετε τῶν κατὰ παίδευσιν ὁδῶν, δι' ὧν[y]
ἐνδείκνυσθαι[z] τὰ λεγόμενα ἀνάγκη, ξυνέψεσθε.[a]

§. 28. Πρῶτον μὲν δὴ πῦρ καὶ γῆ καὶ ὕδωρ καὶ ἀὴρ
ὅτι σώματά ἐστι, δῆλόν που καὶ παντί. τὸ δὲ τοῦ σώμα-
τος εἶδος[b] πᾶν καὶ βάθος ἔχει. τὸ δὲ βάθος αὖ[c] πᾶσα[d]
ἀνάγκη[e] τὴν ἐπίπεδον περιειληφέναι φύσιν.[f] ἡ δὲ ὀρθὴ τῆς
ἐπιπέδου βάσεως ἐκ τριγώνων ξυνέστηκε.[g] τὰ δὲ τρίγωνα
πάντα[h] ἐκ δυεῖν[i] ἄρχεται[k] τριγώνοιν,[l] μίαν μὲν ὀρθὴν ἔχον-

ταυτὸ *s.—[e] ἴσχει SYgr.—[f] εἶχεν o.—[g] ἄλλως Ygr.—[h] ἐπεχείρει τὸ o, ἐπειχείρει
ω
τῶ s, ἐπεχείρει το S, ἐπιχειρεῖ τὸ Ygr, ἐπιχειροῖ F.—[i] πῶς ε.—[k] καὶ ὕδωρ καὶ γῆν
καὶ ἀέρα AΘ, καὶ ὕδωρ γῆν καὶ ἀέρα F, καὶ γῆν καὶ ἀέρα (omissis illis καὶ ὕδωρ) pr
Υ: καὶ γῆν καὶ ἀέρα καὶ ὕδωρ s.—[l] αὐ'τῶν S: s αὐτῶν.—[m] αὐτὰ AΘΥFSYsxegor:
ἅττα cum *s corr Σ.—[n] γε μὴν A, μὲν Ξ.—[o] δὴ AΘΞΣΥFSYsxegor: δὲ *s.—[p] τε
add A.—[q] ἢ Y.—[r] ἀριστά τε ΔFo: τε καὶ ἄριστα *s.—[s] τῶν θεῶν or.—[t] παρὰ AΘ
ΣΥFSYqsxeor: περὶ *s.—[u] δ' om x.—[v] ἀληθεῖ pr o et corr A, ἀήθη Ygr.—[w] λό-
e
γων Ygr.—[x] ἡμᾶς Ysgr.—[y] δι' ὧν om pr o.—[z] ἐνδείκνυσθαι Υ, ἐνδείκνυσθε FSYxer
et corr o, ἐδείκνυσθε g.—[a] ξυνέψεσθε A, συνέψεσθαι ΥYxegr cum pr S et corr o.—
[b] εἴδους ΘΣΥε.—[c] ἂν ε, om F.—[d] πᾶν SYsr, om g.—[e] ἀνάγκη om SYsgr.—[f] φύ-
σιν πᾶσα ἀνάγκη sgr.—[g] ξ. Σx.—[h] πάντα A: ἅπαντα *s.—[i] δυεῖν S: δυοῖν *s.—
[k] ἄρχεται AΘFSYqsgor: ἄρχονται *s.—[l] τριγώνοιν add AFqo et mg ΘS, τριγώνων

παντάπασι μὴν διακείμενα] I. e. διε-
σκεδασμένα: *omnino tamen dispersa* sive
potius *sparsim jacentia*, nisi forte ma-
lueris legere διακεκινημένα, quod tamen
altero est fortius. LIND.

τὸν θεὸν] Ferri non potest genitivus
pluralis τῶν θεῶν, qui est in præced.
edit. STEPH.

περὶ πάντα] Cod. Tub. huc attulit
παρὰ πάντα, quod videtur sane præfe-
rendum. LIND.

§. 28. ἐπίπεδον] Scribendum hic vide-
tur ἐπιπέδου. LIND.

ἡ δὲ ὀρθὴ] Videtur χώρη scriben-
dum loco inepti hic ὀρθή. Etenim a
plano quadrangulari usque ad polygo-
num infinitum, qualis circulus est, omnia
ea e triangulis orta, in eademque pos-
sunt resolvi. LIND.

ἐκ δυοῖν ἄρχονται] Cod. Tub. melius
videtur legere ἐκ δυοῖν ἄρχεται τριγώ-
νοιν, qua lectione res ipsa subtilius defi-
nitur. LIND.

τος ἑκατέρου γωνίαν, τὰς δὲ[m] δύο[n] ὀξείας· ὧν τὸ μὲν ἕτερον ἑκατέρωθεν ἔχει μέρος γωνίας ὀρθῆς πλευραῖς ἴσαις διη-
III. ii. 67. ρημένης, τὸ δὲ[o] ἕτερον ἀνίσοις[p] ἄνισα μέρη νενεμημένης. ταύτην δὴ[q] πυρὸς ἀρχὴν καὶ τῶν ἄλλων σωμάτων ὑποτιθέμεθα[r] κατὰ τὸν μετ' ἀνάγκης εἰκότα λόγον πορευόμενοι· τὰς δ' ἔτι[s] τούτων ἀρχὰς ἄνωθεν θεὸς οἶδε[t] καὶ ἀνδρῶν ὃς ἂν ἐκείνῳ φίλος ᾖ. Δεῖ δὴ λέγειν ποῖα κάλλιστα σώματα[u] γένοιτ' ἂν τέτταρα, ἀνόμοια μὲν[v] ἑαυτοῖς, δυνατὰ δὲ ἐξ ἀλλήλων αὐτῶν ἅττα[w] διαλυόμενα γίγνεσθαι. τούτου γὰρ τυχόντες ἕξομεν[x] τὴν ἀλήθειαν γενέσεως πέρι γῆς τε[y] καὶ πυρὸς τῶν τε ἀνὰ λόγον[z] ἐν μέσῳ· τότε[a] γὰρ οὐδενὶ[b] συγχωρησόμεθα[c] καλλίω τούτων ὁρώμενα σώματα εἶναί που καθ' ἓν γένος ἕκαστον ὄν. τοῦτ'[d] οὖν προθυμητέον, τὰ διαφέροντα κάλλει[e] σωμάτων τέτταρα γένη[f] συναρμόσασθαι καὶ φάναι τὴν τούτων ἡμᾶς φύσιν ἱκανῶς εἰληφέναι.
III. 54. τοῖν δὴ[g] δυοῖν τριγώνοιν τὸ μὲν ἰσοσκελὲς μίαν εἴληχε φύσιν, τὸ δὲ πρόμηκες ἀπεράντους. προαιρετέον[h] οὖν αὖ τῶν ἀπείρων τὸ κάλλιστον, εἰ μέλλομεν[i] ἄρξεσθαι[k] κατὰ τρόπον. ἂν οὖν τις ἔχῃ[l] κάλλιον ἐκλεξάμενος εἰπεῖν εἰς τὴν τούτων ξύστασιν, ἐκεῖνος οὐκ ἐχθρὸς ὢν[m] ἀλλὰ φίλος κρατεῖ·[n] τιθέμεθα δ' οὖν[o] τῶν πολλῶν τριγώνων κάλλιστον ἕν,
III. ii. 68. ὑπερβάντες τἆλλα, ἐξ οὗ[p] τὸ ἰσόπλευρον τρίγωνον ἐκ τρίτου[q] συνέστηκε. διότι δέ, ὁ[r] λόγος πλείων· ἀλλὰ τῷ τοῦτο[s]

s.—[m] δὲ om F.—[n] δύο om A.—[o] δ' ϱ.—[p] ἀνίση x.—[q] δὲ ς.—[r] ὑποτιθέμεθα Aϱ : ὑποτιθώμεθα *ς.—[s] δ' ἔτι AΘFqϱ, δέ τοι Ξϒ et in diphthongo corr Σ : δέ τι *ς.—[t] εἶδεν s.—[u] σώματα κάλλιστα ϱ.—[v] μὲν αὐτὰ ἑαυτοῖς ϱ.—[w] ἅττα καὶ F, αὐτὰ ϱ.

—[x] ἔχομεν AΘΣϒχεο, ἔχοιμεν F : ἔχοιμεν *ς.—[y] τε add Aϱ.—[z] ἀναλόγων pr s.—[a] τύδε A et pr ϱ.—[b] οὐδὲν Ξ.—[c] συγχωρησώμεθα ΣϒΓε.—[d] τοῦτ' Ysxgor : ceteri τοῦτο.—[e] κάλλη Fϱ.—[f] γένει pr Θ, γένει ϒ.—[g] δὴ AΘΞΣϒFSYsxgor : δὲ *ς.—[h] προδιαιρετέον ϱ.—[i] μέλλοιμεν Ag.—[k] ἄρξασθαι x et pr or, αὖξεσθαι g.—[l] ἔχοι Ξ ϒ.—[m] ἐχθρὸς οὐκ Θ.—[n] κρατοῖ s : ῑ utrum habeat non liquet.—[o] δὴ Ss.—[p] τὰ μεταξὺ g.—[q] τρίτου AΘΣϒFSYsxgeor : τρίτων ς.—[r] δέ ὁ om in litura A : ὁ om pr

δέ τι] For. δ' ἔτι, aut δέ τοι. Steph.

ἀνάλογον] Cod. Tub. meliorem suppeditat scriptionem ἀναλόγων. Cf. p. 32. A. ubi quatuor elementorum analogia exhibetur, intelligenda analogiæ geometricæ varia constitutione, qualis est: 3 : 6 : 12.—12 : 6 : 3.—6 : 3 : : 12 : 6. Lind.

τοῖν δὲ δυοῖν τριγώνοιν, κ. τ. λ] Cf. Fig. 1. 2. simulque p. 53. D. ubi rerum incipit explicatio. Lind.

κρατοῖ] Perperam κρατεῖ in præced. edit. Steph.

ἐξ οὗ τὸ ἰσόπλευρον τρίγωνον ἐκ τρίτων συνέστηκε] Fig. 3. attente considerata, expunge mecum prius istud ἐξ et

ἐλέγξαντι[t] καὶ ἀνευρόντι δὴ μὴ[u] οὕτως ἔχον κεῖται[v] φιλία[w] τὰ ἄθλα. προῃρήσθω[x] δὴ[y] δύο τρίγωνα, ἐξ ὧν τό τε τοῦ πυρὸς καὶ τὰ τῶν ἄλλων σώματα μεμηχάνηται, τὸ μὲν ἰσοσκελές, τὸ δὲ τριπλῆν κατὰ δύναμιν ἔχον τῆς ἐλάττονος τὴν μείζω[z] πλευρὰν ἀεί. Τὸ δὴ[a] πρόσθεν ἀσαφῶς[b] ῥηθὲν νῦν[c] μᾶλλον διοριστέον. τὰ γὰρ τέτταρα γένη[d] δι' ἀλλήλων εἰς ἄλληλα ἐφαίνετο πάντα γένεσιν ἔχειν,[e] οὐκ ὀρθῶς φανταζόμενα. γίγνεται μὲν γὰρ ἐκ τῶν τριγώνων ὧν προῃρήμεθα[f] γένη τέτταρα, τρία μὲν ἐξ ἑνὸς τοῦ τὰς πλευρὰς ἀνίσους ἔχοντος, τὸ δὲ τέταρτον ἓν μόνον ἐκ τοῦ ἰσοσκελοῦς τριγώνου ξυναρμοσθέν. οὔκουν δυνατὰ[g] πάντα εἰς ἄλληλα διαλυόμενα ἐκ πολλῶν σμικρῶν ὀλίγα μεγάλα καὶ τοὐναντίον γίγνεσθαι, τὰ δὲ τρία οἷόν τε· ἐκ γὰρ ἑνὸς ἅπαντα πεφυκότα, λυθέντων[h] τε τῶν μειζόνων πολλὰ σμικρὰ[i] ἐκ τῶν αὐτῶν[k] ξυστήσεται, δεχόμενα τὰ[l] προσήκοντα ἑαυτοῖς[m] σχήματα, καὶ σμικρὰ[n] ὅταν[o] αὖ πολλὰ κατὰ τρίγωνα[p] διασπαρῇ, γενόμενος εἷς ἀριθμὸς ἑνὸς ὄγκου μέγα ἀποτελέσειεν ἂν[q] ἄλλο εἶδος ἕν.[r] [§. 29.] Ταῦτα μὲν

0.—[s] τὸ τούτω Θ, τῶ τούτω ΣΥF.—[t] ἐκλέξαντι 0.—[u] δὴ μὴ Ξ, δὴ ΑΘΣΤFSYqsxeg υτ: δὲ μὴ s.—[v] κεῖται om υ.—[w] φιλία Ag: φίλια *s.—[x] προειρήσθω F0, προηρείσθω Ξτ.—[y] δὴ ΑΘΞΣΤSYqsxeqτ et rc 0 (pr enim om): δὲ s.—[z] μίαν s.—[a] δὲ s.—[b] ἀσαφῶς AF0 et corr Θ, ἀσφαλῶς ΣΤSY et (ut videtur) pr Θ: οὐκ ἀσφαλῶς *s.—[c] νῦν δὴ 0.—[d] γένη om g.—[e] ἔχειν om pr Ξ.—[f] προειρήμεθα Υε, προηράμεθα g.—[g] δύναται 0.—[h] λεχθέντων s.—[i] πολλὰ καὶ σμικρὰ gτ.—[k] αὐτῶν corr 0.—[l] τὲ gτ.—[m] ἑαυτοῖς σχήματα ΑΘFSYqsgoυ: σχήματα ἑαυτοῖς *s.—[n] καὶ οὐ σμικρὰ A.—[o] ὄντα x.—[p] κατὰ τὰ τρίγωνα ΘFSYqτ.—[q] ἂν ΑΘSYsxgo, om Fτ: αὖ *s.—[r] ἕν

rescribe inde: *ὁποίου τὸ ἰσόπλευρον τρίγωνον ἐκ τριττυαῖν ξυνέστηκε*, quæ loci emendatio re ipsa confirmatur, et loco qui infra est, ubi est *ξύνδυο δὲ τούτων κατὰ διάμετρον ξυντιθέμενον*, ubi præstat scribi, *ξυντεθειμένων, καὶ τρὶς τούτου γενομένου*. Ita ut sensus hujus loci sit; *cujusmodi duobus e ternionibus triangulum oritur æquilaterum*. Lind.

διότι] Post διότι δὲ suspendenda per interpunctionem oratio, quum relinquatur verbum subaudiendum: hoc sensu, *Cur autem id a me dicatur, sermonis longioris fuerit*. Potest vero et ipsum *συνέστηκε* repetitum subaudiri. Paulo post pro *τὴν μίαν* legitur etiam *τὴν μείζω*, item *οὐκ ἀσαφῶς*, pro *οὐκ ἀσφαλῶς*. Steph.

τὴν μίαν] Certiorem hic lectionem offert Cod. Tub. qui habet *τὴν μείζω* scil. *τὴν ὑποτείνουσαν* loco *τοῦ, τὴν μίαν*. Sed etiam antea scribendum *τὸ δὲ διπλῆν* loco *τοῦ, τὸ δὲ τριπλῆν*, ut postea recte dicitur *στοιχεῖον δ' αὐτοῦ τὸ τὴν ὑποτείνουσαν τῆς ἐλάττονος πλευρᾶς διπλασίαν ἔχον*. Eodem mendo liberandus locus est in fragmento Timæi Locrensis p. 98. A. Nam Fig. 2. in triangulo æquilatero AxC, quod per lineam AD in duas partes dividitur æquas, unde triangulum ABC existat, quod a Platone hic appellatur *πρόμηκες*, BC$=\frac{AC}{2}$. Quæ res poterat et trigonometrice demonstrari. Lind.

πλευρὰν] Ita legitur et in aliis edit. non *ἐξ ἑνὸς ὄγκου*. Steph.

οὖν λελέχθω περὶ τῆς εἰς ἄλληλα γενέσεως. Οἷον δὲ ἕκαστον αὐτῶν γέγονεν εἶδος καὶ ἐξ ὅσων[s] ξυμπεσόντων ἀριθμῶν, λέγειν ἂν ἑπόμενον εἴη. ἄρξει δὴ[t] τό τε πρῶτον εἶδος καὶ σμικρότατον ξυνιστάμενον. στοιχεῖον δ' αὐτοῦ[u] τὸ τὴν ὑποτείνουσαν τῆς ἐλάττονος πλευρᾶς διπλασίαν ἔχον μήκει· ξύνδυο δὲ τοιούτων[v] κατὰ διάμετρον ξυντιθεμένων καὶ τρὶς τούτου γενομένου, τὰς διαμέτρους καὶ τὰς βραχείας πλευρὰς εἰς ταὐτὸν ὡς[w] κέντρον ἐρεισάντων, ἓν ἰσόπλευρον τρίγωνον ἐξ ἓξ τὸν ἀριθμὸν[x] ὄντων γέγονε· τρίγωνα δὲ ἰσόπλευρα ξυνιστάμενα τέτταρα κατὰ σύντρεις ἐπιπέδους
III. 55. γωνίας μίαν[y] στερεὰν γωνίαν ποιεῖ, τῆς ἀμβλυτάτης[z] τῶν ἐπιπέδων γωνιῶν ἑφεξῆς γεγονυῖαν· τοιούτων δὲ ἀποτελεσθεισῶν τεττάρων πρῶτον εἶδος[a] στερεόν, ὅλου περιφεροῦς διανεμητικὸν εἰς ἴσα μέρη καὶ ὅμοια, ξυνίσταται. δεύτερον δὲ ἐκ μὲν τῶν[b] αὐτῶν τριγώνων, κατὰ δὲ ἰσόπλευρα τρίγωνα ὀκτὼ ξυστάντων,[c] μίαν ἀπεργασαμένων στερεὰν γωνίαν ἐκ τεττάρων[d] ἐπιπέδων· καὶ[e] γενομένων ἓξ τοιούτων τὸ δεύτερον αὖ σῶμα οὕτως ἔσχε τέλος. τὸ δὲ τρίτον ἐκ δὶς ἑξήκοντα τῶν στοιχείων ξυμπαγέντων, στερεῶν δὲ γωνιῶν δώδεκα, ὑπὸ πέντε ἐπιπέδων τριγώνων ἰσοπλεύρων περιεχομένης
III. ii. 70. ἑκάστης, εἴκοσι βάσεις[f] ἔχον[g] ἰσοπλεύρους[h] τριγώνους γέ-

om ο.—[s] ὅσων A : ὧν *s.—[t] δὲ s.—[u] αὖ τοῦτο ο.—[v] τοιούτων AFϕ : τούτων *s. —[w] εἰς g.—[x] τῶν ἀριθμῶν s.—[y] μίαν μὲν στ. x.—[z] τῆς δ' ἀμβλ. e.—[a] πρῶτον μὲν εἶδος F.—[b] τῶν μὲν ο.—[c] ξυνιστάντων ΞΣΥTFSYqxegt, συνιστάντων s.—[d] ἔκ τε τεττάρων S.—[e] ἑκάστην καὶ ο.—[f] βάσει F.—[g] ἔχον ΑΘΞΣΥTFSYsxegot : ἔχων *s.

§. 29. καὶ σμικρότατον ξυνιστάμενον] Ficino hic vertente, *prima species, quæ ex paucissimis composita fuerit*, videtur hic rescribendum : καὶ ἐκ σμικροτάτων ξυνιστάμενον, et vertendum, *e minimis composita*. Lind.

τούτων—ξυντιθεμένων] Videtur hic non id solum scribendum, quod supra jam diximus, ξυντεθειμένων sive ξυγκειμένων, sed etiam τοιούτων loco τοῦ, τούτων, ac locutio, quæ subsequitur, καὶ τρὶς τούτου γενομένου, inserenda demum post vocem ἐρεισάντων. Lind.

τρίγωνα δὲ ἰσόπλευρα ξυνιστάμενα κ. τ. λ.] Cf. Fig. 4. unde apparet, provenire pyramidem basi triangulari impositam, quæ res infra p. 56. B. verbis τὸ μὲν τῆς πυραμίδος στερεὸν γεγονὸς εἶδος, πυρὸς στοιχεῖον καὶ σπέρμα, satis probatur. Lind.

ἐκ μὲν τῶν αὐτῶν τριγώνων κ. τ. λ.] Cf. Fig. 5. Hæc altera pyramis intelligitur conjugata, erectis missisque erigendis atque mittendis, junctisque apicibus. Lind.

ἔχων ἰσοπλεύρους] Græce legendum, εἴκοσι βάσεις ἔχον τριγώνους ἰσοπλεύρους γέγονε. Sic citat Galenus libro octavo de dogmatibus Hippocratis et Platonis. In vulgatis codicibus deficit vox τριγώνους. Cornar.

ἔχων] Scribendum est ἔχον (quamvis altera lectio sit et in præced. edit.) quia referri oportet ad σῶμα. Steph.

ὑπὸ πέντε—βάσεις ἔχων ἰσοπλεύρους] ἔχων jam correxit Cornarius scribens

γονε. καὶ τὸ μὲν ἕτερον ἀπήλλακτο τῶν στοιχείων ταῦτα γεννῆσαν,[i] τὸ δὲ ἰσοσκελὲς τρίγωνον ἐγέννα τὴν τοῦ[k] τετάρτου φύσιν, κατὰ[l] τέτταρα ξυνιστάμενον, εἰς τὸ κέντρον τὰς ὀρθὰς γωνίας συνάγον, ἓν ἰσόπλευρον τετράγωνον ἀπεργασάμενον·[m] ἓξ δὲ τοιαῦτα ξυμπαγέντα[n] γωνίας ὀκτὼ στερεὰς ἀπετέλεσε, κατὰ τρεῖς ἐπιπέδους ὀρθὰς ξυναρμοσθείσης ἑκάστης· τὸ δὲ σχῆμα τοῦ ξυστάντος[o] σώματος γέγονε κυβικόν, ἓξ ἐπιπέδους τετραγώνους ἰσοπλεύρους βάσεις[p] ἔχον. ἔτι δὲ οὔσης ξυστάσεως μιᾶς[q] πέμπτης, ἐπὶ τὸ πᾶν ὁ θεὸς αὐτῇ κατεχρήσατο ἐκεῖνο[r] διαζωγραφῶν. [§. 30.] Ἄ[s] δή[t] τις εἰ πάντα λογιζόμενος ἐμμελῶς[u] ἀποροῖ[v] πότερον ἀπείρους χρὴ κόσμους εἶναι λέγειν ἢ πέρας ἔχοντας, τὸ μὲν ἀπείρους ἡγήσαιτ' ἂν ὄντως[w] ἀπείρου τινὸς εἶναι δόγμα ὧν[x] ἔμπειρον χρεὼν εἶναι, πότερον δὲ ἕνα

—[h] τριγώνους add AFo et mg Θ.—[i] ταῦτα γεννῆσαν A: γεννῆσαν ταῦτα *s.—[k] τοῦ om Ss.—[l] καὶ SYsτ.—[m] ἀπειργασάμενον Ξ, ἀπεργαζόμενον o.—[n] ξ. ΑΞΣF.—[o] ξυνιστάντος ΣΥxe et pr Ξ.—[p] βάσεις ἰσοπλεύρους Fx.—[q] ξυστ. λοιπῆς μιᾶς o.—[r] ἐκεῖνο A: ἐκεῖνα *s.—[s] ἃ δή corr o.—[t] εἰς Σxeg et corr Υ.—[u] ἀμελῶς γρ Θ.—[v] ἀποροῖ ΑΘΣΥsgo, ευπορῆ F: ἀπορεῖ *s.—[w] ὄντως om Ss.—[x] ὧ pr Θ.—[y] λέγειν

ἔχον quod confirmatur a Cod. Tub. et a Galeno viii. de Dogmm. Hippocr. Sed scribe etiam ὑπὸ δὶς πέντε. ἰσόπλευρα hic appellantur triangula, quorum latera sibi respondentia sunt æqua. Ex hoc igitur dodecaëdro existit tertia pyramis eademque conjugata habens viginti bases triangulares. Cf. Fig. 6. Sed manet error atque inconstantia Platonis, in illa analogia sibi non constantis, de qua supra dicitur p. 53. E. Lind. qui sic in Præfat. 'Erroris quidem atque inconstantiæ accusavimus Platonem; tentemus vero emendationem, qua ille descriptorum potius culpæ error tribuatur. Loco enim analogiæ illius geometricæ 3. 6. 12. statuamus hic, quum non tam quanta, quam quot sint, triangula, referat, analogiam arithmeticam vel 4-8-12. vel 4-6-8. quarum alterautra recepta, sive triangulorum compingendorum, unde bases proveniant, numerum respexeris, sive angulorum solidorum, in locum verborum, quæ ibi vulgo leguntur, τὸ δὲ τρίτον, ἐκ δὶς ἑξήκοντα τῶν στοιχείων ξυμπαγέντων, στερεῶν δὲ γωνιῶν δώδεκα, ὑπὸ πέντε ἐπιπέδων τριγώνων ἰσοπλεύρων περιεχομένης ἑκάστης, εἰκοσι βάσεις ἔχον τριγώνους ἰσοπλεύρους γέγονεν, rescribendum videtur: τὸ δὲ τρίτον, ἐκ δὶς ἓξ τῶν αὐτῶν στοιχείων ξυμπαγὲν, ὀκτὼ στερεῶν δὲ γωνιῶν, ὑπὸ πλήθους ἐπιπέδων sc. γωνιῶν, τριγώνων ἴσου πλήθει περιεχομένης ἑκάστης, δώδεκα εἰκότως βάσεις ἔχον τριγώνους ἰσοπλεύρους γέγονεν. Quo facto, non illa solum duplici in analogia efficitur auctoris constantia, sed etiam triangulorum in similitudine æquilaterorum, qua hic imprimis opus est. Hexagonum enim vides inde provenire regulare, quo duplicato in formamque pyramidis conjugatæ extento, octaëdrum illud existit, quod quærebamus.'

τὸ δὲ ἰσόπλευρον τρίγωνον κ. τ. λ.] Quod terræ elementum est. Cf. Fig. 7. Juvat hic adimere mendum loco, qui est in fragmento, quod vulgo fertur, Timæi Locrensis, p. 98. C. ubi est: τὸ γὰρ τετράγωνον ἐκ τουτέων, ἐκ τεττάρων ἡμιτετραγώνων συντεθειμένον, ubi, septima figura comparata, rescribe ἡμιτριγώνων in locum τοῦ, ἡμιτετραγώνων. Lind.

§. 30. ἀποροῖ] Lege hic cum Cod. Tub. ἀποροῖ. Lind.

ἢ πέντε αὐτοὺς ἀληθείᾳ πεφυκότας λέγειν[y] προσήκει, μᾶλλον ἂν[z] ταύτῃ στὰς[a] εἰκότως διαπορήσαι.[b] τὸ μὲν οὖν δὴ παρ' ἡμῶν ἕνα αὐτὸν κατὰ τὸν εἰκότα λόγον πεφυκότα μηνύει,[c] ἄλλος δὲ εἰς ἄλλα πῃ[d] βλέψας[e] ἕτερα[f] δοξάσει. Καὶ τούτων μὲν μεθετέον, τὰ δὲ γεγονότα νῦν τῷ λόγῳ
III. ii. 71. γένη διανείμωμεν εἰς πῦρ καὶ γῆν καὶ ὕδωρ καὶ ἀέρα. γῇ μὲν δὴ[g] τὸ κυβικὸν εἶδος δῶμεν. ἀκινητοτάτη γὰρ τῶν τεττάρων γενῶν γῆ καὶ τῶν σωμάτων[h] πλαστικωτάτη, μάλιστα δὲ ἀνάγκη γεγονέναι τοιοῦτον[i] τὸ τὰς βάσεις[k] ἀσφαλεστάτας ἔχον· βάσις δὲ ἥ τε[l] τῶν κατ' ἀρχὰς τριγώνων ὑποτεθέντων ἀσφαλεστέρα κατὰ φύσιν, ἡ τῶν ἴσων πλευρῶν,[m] τῆς τῶν ἀνίσων, τό τε ἐξ ἑκατέρου[n] ξυντεθὲν[o] ἐπίπεδον ἰσόπλευρον[p] ἰσοπλεύρου, τετράγωνον τριγώνου,[q] κατά τε[r] μέρη καὶ καθ' ὅλον[s] στασιμωτέρως[t] ἐξ ἀνάγκης
III. 56. βέβηκε. διὸ γῇ μὲν τοῦτο ἀπονέμοντες τὸν εἰκότα λόγον διασώζομεν,[u] ὕδατι δ' αὖ τῶν λοιπῶν[v] τὸ δυσκινητότατον εἶδος, τὸ δ' εὐκινητότατον πυρί, τὸ δὲ μέσον ἀέρι·[w] καὶ τὸ[x] μὲν σμικρότατον σῶμα πυρί, τὸ δ' αὖ μέγιστον ὕδατι, τὸ δὲ μέσον ἀέρι· καὶ τὸ μὲν ὀξύτατον αὖ πυρί, τὸ δὲ δεύτερον

ποτὲ Ao, λέγειν πότερον ΘΥ.—[z] ἂν Aor, αὖ *s: om cum ipso ταύτῃ pr Θ.—[a] ἱστὰς Θ, πᾶς o.—[b] διαπορῆσαι xeg.—[c] μηνύει θεὸς AF et rc Θ, μηνύει θεὸν o.—[d] ποι g.—[e] βλέψας AΘΥFSYqxegor: ceteri ἀποβλέψας.—[f] ἕτερος xe.—[g] δὴ add AFo et rc Θ: γὰρ addit s.—[h] σωμάτων Ao: σωματικῶν *s.—[i] τοιοῦτο Ss.—[k] βάσεις ΘΥS Yer.—[l] ἥτε om xe.—[m] ἴσων πλευρῶν AΘFSYqsgor: ἰσοπλεύρων *s.—[n] ἑκατέρων F.—[o] ξυντιθὲν Fr.—[p] ἀνισοπλεύρου mg F.—[q] τετραγώνου g.—[r] τε om r.—[s] καθόλου F.—[t] στασιμώτερος F.—[u] σώζομεν S, σώζωμεν s.—[v] αὖ τῶν λοιπῶν τὸ AΘΣFYqs gr, αὐτῶν λοιπὸν τὸ o: αὖ τὸ *s.—[w] τὸ δὲ μέσον ἀέρι om F.—[x] καὶ τὸ...ἀέρι om gr.

δόγμα] In præced. edit. male interpungitur post δόγμα: quum intelligendum sit, εἶναι δόγμα τινὸς ἀπείρου ἐκείνων ὧν ἔμπειρον χρεὼν εἶναι. Ludit autem in duplici nominis ἄπειρος significatione, quæ quidem unica Latina voce itidem repræsentari non potest. Neque vero alius quam hic est sensus, *Mundos esse infinitos, sententiam esse existimet hominis vere eorum imperiti quorum peritum esse oportet.* Steph.

γῇ μὲν τὸ] Rectius hic legit Cod. Tub. γῇ μὲν δὴ τὸ κυβ. Lind.

καὶ τῶν σωματικῶν] Sc. γενῶν, πλαστικωτάτη. Non est igitur opus lectione Cod. Tub. qui habet σωμάτων. Lind.

ἡ τῶν ἰσοπλεύρων, τῆς τῶν ἀνίσων] Scribendum videtur ἡ τῶν ἴσων πλευρῶν, τῆς τῶν ἀνίσων. Ubi trianguli rectanguli intelliguntur catheti, quæ aut æquæ possunt esse, aut iniquæ. Tum τό τε ἐξ ἑκατέρου ξυντεθὲν ἐπίπεδον, ἰσόπλευρον ἰσοπλεύρου τετράγωνον τριγώνου—στασιμωτέρως—βέβηκε: quum quadratum nobis hic ortum sit e quatuor triangulis rectangulis simulque isoscelibus, cf. fig. 7. triangulum autem æquilaterum e sex triangulis rectangulis quidem, at non isoscelibus, cf. fig. 3. scribendum hic apparet: τοῖν τε ἐξ ἑκατέρου ξυντεθέντοιν ἐπιπέδοιν, ἰσόπλευρον ἰσοπλεύρου τετράγωνον τριγώνου—στασιμωτέρως—βέβηκε i. e. basin habet firmiorem. Lind.

ἀέρι, τὸ δὲ τρίτον ὕδατι. ταῦτ' οὖν δὴ[y] πάντα, τὸ μὲν ἔχον ὀλιγίστας[z] βάσεις εὐκινητότατον ἀνάγκη πεφυκέναι τμητικώτατόν τε ὀξύτατον[a] ὂν πάντῃ πάντων, ἔτι[b] τε ἐλαφρώτατον, ἐξ ὀλιγίστων ξυνεστὸς[c] τῶν αὐτῶν μερῶν· τὸ δὲ[d] δεύτερον δευτέρως τὰ αὐτὰ ταῦτ' ἔχειν, τρίτως δὲ τὸ τρίτον. ἔστω δὴ[e] κατὰ τὸν ὀρθὸν[f] λόγον καὶ κατὰ τὸν εἰκότα τὸ μὲν τῆς πυραμίδος στερεὸν γεγονὸς εἶδος πυρὸς στοιχεῖον III. ii. 72. καὶ σπέρμα· τὸ δὲ δεύτερον κατὰ γένεσιν εἴπωμεν[g] ἀέρος, τὸ δὲ τρίτον ὕδατος. πάντα οὖν δὴ[h] ταῦτα δεῖ[i] διανοεῖσθαι σμικρὰ οὕτως, ὡς καθ' ἓν ἕκαστον μὲν τοῦ[k] γένους ἑκάστου διὰ σμικρότητα οὐδὲν ὁρώμενον ὑφ' ἡμῶν, ξυναθροισθέντων[l] δὲ πολλῶν τοὺς ὄγκους[m] αὐτῶν ὁρᾶσθαι. καὶ δὴ καὶ[n] τὸ τῶν ἀναλογιῶν[o] περί τε τὰ πλήθη[p] καὶ τὰς κινήσεις καὶ τὰς ἄλλας δυνάμεις, πανταχῇ τὸν θεόν, ὅπῃ[q] περ ἡ τῆς ἀνάγκης ἑκοῦσα[r] πειστέα τε[s] φύσις ὑπείκοι,[t] ταύτῃ πάντῃ δι' ἀκριβείας ἀποτελεσθεισῶν ὑπ' αὐτοῦ ξυνηρμόσθαι[u] ταῦτα ἀνὰ λόγον.

§. 31. Ἐκ δὴ[v] πάντων ὧν περὶ τὰ γένη προειρήκαμεν, ὧδ' ἂν[w] κατὰ τὸ εἰκὸς μάλιστ'[x] ἔχοι.[y] γῆ μὲν ξυντυγχάνουσα πυρὶ διαλυθεῖσά τε[z] ὑπὸ τῆς ὀξύτητος αὐτοῦ φέροιτ' ἄν, εἴτ' ἐν αὐτῷ πυρὶ λυθεῖσα εἴτ' ἐν ἀέρος εἴτ' ἐν ὕδατος ὄγκῳ τύχοι, μέχρι[a] περ ἂν[b] αὐτῆς πῃ ξυντυχόντα τὰ μέρη, πάλιν ξυναρμοσθέντα αὐτὰ[c] αὑτοῖς,[d] γῆ γένοιτο·

—[y] δὲ s.—[z] ὀλίγας τὰς AFq.—[a] τε καὶ ὀξ. Ao.—[b] ἔστι o.—[c] ξυνεστὸς pr A, ἐνεστὸς πε : ξυνεστὼς [a]s.—[d] δὴ τὸ r.—[e] δὲ s.—[f] τὸν αὐτὸν ὀρθὸν Ξ.—[g] εἴπομεν ΑΘSYgor.

—[h] δὴ ΑΘΞΣΤΥego, δῃ F, om r : δεῖ [a]s.—[i] δεῖ add Ao.—[k] μὲν ἐπὶ τοῦ r.—[l] ξ. A.

—[m] οἴκους s.—[n] καὶ post δὴ add AFo.—[o] ἀναλογικῶν x.—[p] πάθη o.—[q] ὅποι S, ὅποι g.—[r] ἑκοῦσα om Ss.—[s] τε om SYsgr.—[t] ὑπεῖκεν ΑΘΣΤFSxeor, ὑπείκε Ξ, ὑπῆκε Ys, ὑπῆγε g : ὑπεῖξε s.—[u] ξυνάρμοσθαι Θ.—[v] δὴ...ὧν] δὲ...τῶν s.—[w] τὸ om Ss.—[x] μάλιστ' ἂν A.—[y] ἔχει o.—[z] δὲ o.—[a] ὃ μέχρι A.—[b] ἂν add A.—[c] αὐτῶ ΘΣΤ

ταῦτ' οὖν δὲ] Aptius *ταῦτ' οὖν δὴ* scriberetur: (sunt autem accusativi pro genitivis, *τούτων οὖν δὴ πάντων*: ac talis et in aliis hujus libri locis usus accusativi extat.) At paulo post particula hæc δὲ post *οὖν*, locum verbi *δεῖ* occupat in præced. edit. Mox in iisdem edit. est *εἴπομεν*, pro *εἴπωμεν*. Steph. At jam Ficin. *tribuamus*. Bip.

ξυνηρμόσθαι] Forlasse *ξυναρμόσαι*: ut referatur ad *τὸν θεόν*. Paulo post autem non dubito quin pro *τῶν* scribendum sit *ὧν*: videlicet post *πάντων*. Steph. Immo *ξυνηρμόσθαι* spectat ad proximum *ὑπ' αὐτοῦ*, ita ut accusat. *τὸν θεὸν* Plato penitus neglexerit. Quæ sermonis anacoluthia in ejus libris satis obvia est. Bip.

§. 31. *αὐτὰ αὑτοῖς*] Scribe *αὐτὰ αὖ-*

οὐ γὰρ εἰς ἄλλο γε εἶδος ἔλθοι ποτ' ἄν. ὕδωρ δὲ ὑπὸ πυρὸς μερισθέν, εἴτε καὶ ὑπ' ἀέρος, ἐγχωρεῖ γίγνεσθαι ξυστάντα ἓν μὲν πυρὸς σῶμα, δύο δὲ ἀέρος. τὰ δὲ ἀέρος τμήματα ἐξ ἑνὸς μέρους διαλυθέντος[e] δύ'[f] ἂν γενοίσθην σώμα-
III. ii. 73. τα πυρός. καὶ πάλιν, ὅταν ἀέρι πῦρ[g] ὕδασί[h] τε ἧ[i] τινι γῇ περιλαμβανόμενον, ἐν πολλοῖς ὀλίγον, κινούμενον ἐν φερομένοις,[k] μαχόμενον καὶ νικηθὲν[l] καταθραυσθῇ,[m] δύο πυρὸς σώματα εἰς ἓν ξυνίστασθον εἶδος ἀέρος· καὶ κρατηθέντος ἀέρος κερματισθέντος[n] τε ἐκ δυεῖν[o] ὅλοιν καὶ ἡμίσεος[p] ὕδατος εἶδος ἓν ὅλον[q] ἔσται ξυμπαγές. ὧδε γὰρ δὴ λογισώμεθα αὐτὰ πάλιν, ὡς ὅταν ἐν πυρὶ λαμβανόμενον τῶν
III. 57. ἄλλων ὑπ' αὐτοῦ τι γένος τῇ τῶν γωνιῶν καὶ κατὰ τὰς πλευρὰς ὀξύτητι τέμνηται,[r] ξυστὰν[s] μὲν εἰς τὴν ἐκείνου φύσιν πέπαυται τεμνόμενον· τὸ γὰρ ὅμοιον καὶ ταὐτὸν αὑτῷ γένος ἕκαστον οὐ[t] τέ τινα μεταβολὴν ἐμποιῆσαι δυνατὸν οὔ τέ τι παθεῖν ὑπὸ τοῦ[u] κατὰ ταὐτὰ ὁμοίως τε[v] ἔχοντος·[w] ἕως δ'[x] ἂν εἰς ἄλλο τι γιγνόμενον ἧττον ὂν[y]

Yxe.—[d] αὐτοῖς AΞΣ : αὐτοῖς *s.—[e] διαλυθέντος om Ss.—[f] δύο δ' F, τέσσαρα Yq, τέτταρα gr.—[g] παρ' Yxe.—[h] ὕδασίν AΘΣΥFSYsxeo : ὕδατί s.—[i] τ' ἔν o.—[k] ἐμφερομένοις Fst, ἐν μφερομένοις q.—[l] κινηθὲν Fgr.—[m] καταθραυθῇ g.—[n] τερματισθέντως gr.—[o] δυεῖν S : δυοῖν *s.—[p] ἡμίσεος ΣΥSYqsxegor et corr AΘF : ἡμίσεως *s.—[q] ὅλον om Ss.—[r] τέτμηται o.—[s] ξυνιστὰν ΘΣΥFSYst, ξυνιστᾶν xeg.—[t] οὐ... δυνατὸν om ΞΣΥSYsxegr.—[u] ὑπ' αὐτοῦ Ss.—[v] τε om o.—[w] post ἔχοντος quæ infert s, οὔτε τι δράσαι δύναται, omisi cum AΘΣΥFSYqsxegor.—[x] δ' om ΞΣΥxe.—

τοῖς. Lind.

ὕδωρ δὲ ὑπὸ πυρὸς μερισθὲν] Facta, uti decet, interpunctione, loco mendum unum adimendum videtur; veluti, "Ὑδωρ δὲ, ὑπὸ πυρὸς μερισθὲν εἴτε καὶ ὑπ' ἀέρος, ἐγχωρεῖ γίγνεσθαι ξυστὰν, ἓν μὲν πυρὸς σῶμα, δύο δὲ ἀέρος. Eadem res dicitur p. 57. A. sed in universum. Lind.

III. ii. 92. χομένων ἢ σηπομένων ἢ τηκομένων ἢ θυμιωμένων γίγνονταί τινων· μεταβάλλοντος γὰρ ὕδατος εἰς ἀέρα ἀέρος τε εἰς ὕδωρ ἐν τῷ μεταξὺ τούτων γεγόνασιν, εἰσί[e] τε[f] ὀσμαὶ ξύμπασαι καπνὸς ἢ ὁμίχλη.[g] τούτων δὲ τὸ μὲν ἐξ ἀέρος εἰς ὕδωρ

[x] πρὸς τε A.—[y] δὲ ϱ.—[z] περιτεθείσης F.—[a] δὲ om F.—[b] καὶ om *s*.—[c] νοτερὰ... 326, 3. καθαρᾶς om ϱ.—[d] ὕδατι pr Θ, ὕδατος corr.—[e] περιφανῆ τε Yxgr et γρ ο, περιφανεῖται *s*.—[f] παμφόλυγας Θ.—[g] τε add AΘΣΥFS*s*xϱgor et rc Ξ.—[h] αἰρουμένης g.—[i] λεχθῆναι AΘFSYqsxgor et γρ Υ: κληθῆναι **s*.—[k] ὡς ὁπόταν rc Θ, ὁπότε δὲ xϱ.—[l] ξ. A.—[m] λειάνη ο, λειαίνει xϱg.—[n] τραχυθέντα ϱs, πραϋνθέντα ϒ.—[o] ξυνεστῶσα Ξ.—[p] τε καὶ ϒ.—[q] ξυνάγει ΞFYxϱgr.—[r] ἱδρύει ΞFYxϱgr: post φύσιν ponit ϱ.—[s] πᾶν om Σ.—[t] μαθημάτων Y.—[u] δὴ om A.—[v] ταυτὶ ταῦτα F, ταῦτα ταύτῃ Ss.—[w] δὴ add AΘΥΓxϱο.—[x] τὴν om ΘF.—[y] δὲ ϒ et corr ο.—[z] ξυμμετρία A, μετρία ϒ: συμμετρία **s*.—[a] ἔχειν (supra posito σχεῖν) A.—[b] ἡμῖν *s*.—[c] ταῦτα AΘFSYqsxgor: τὰ τοιαῦτα **s*.—[d] ἢ A.—[e] ἐστίν *s*.—[f] δὲ A.—[g] δ' ο.

αἴτιον] Non jungitur αἴτιον cum ὀξύ, ut dicatur *causa acida*: sed *aciditas* vocari id quod harum passionum sit causa; sive, harum affectionum. STEPH.

ἰὸν ὁμίχλη,[g] τὸ δὲ[h] ἐξ ὕδατος εἰς ἀέρα καπνός. ὅθεν λεπτότεραι μὲν ὕδατος, παχύτεραι δὲ ὀσμαὶ ξύμπασαι γεγόνασιν ἀέρος.[i] δηλοῦνται δέ, ὁπόταν τινὸς ἀντιφραχθέντος[l] περὶ τὴν ἀναπνοὴν ἄγῃ τις[m] βίᾳ τὸ πνεῦμα εἰς αὐτόν·[n] τότε γὰρ ὀσμὴ μὲν[o] οὐδεμία ξυνδιηθεῖται,[p] τὸ δὲ πνεῦμα τῶν ὀσμῶν ἐρημωθὲν αὐτὸ[q] μόνον ἔπεται. δύ'[r] οὖν ταῦτα ἀνώνυμα τὰ τούτων ποικίλματα γέγονεν, οὐκ ἐκ πολλῶν οὐδ' III. 67.
ἁπλῶν εἰδῶν ὄντα,[s] ἀλλὰ διχῇ τό θ'[t] ἡδὺ καὶ τὸ λυπηρὸν αὐτόθι μόνω[u] διαφανῆ λέγεσθον, τὸ μὲν τραχῦνόν τε καὶ βιαζόμενον τὸ κύτος ἅπαν, ὅσον ἡμῶν μεταξὺ κορυφῆς τοῦ τε ὀμφαλοῦ κεῖται, τὸ δὲ ταὐτὸν[v] τοῦτο καταπραῦνον καὶ πάλιν ἧ πέφυκεν ἀγαπητῶς ἀποδιδόν.

§. 41. Τρίτον δὲ αἰσθητικὸν ἐν ἡμῖν μέρος[w] ἐπισκοποῦσι τὸ περὶ τὴν ἀκοήν, δι' ἃς αἰτίας[x] τὰ περὶ αὐτὸ[y] ξυμβαίνει παθήματα, λεκτέον. ὅλως μὲν οὖν φωνὴν θῶμεν τὴν δι' ὧτων[z] ὑπ' ἀέρος ἐγκεφάλου τε καὶ αἵματος[a] μέχρι ψυχῆς III. ii. 93.
πληγὴν διαδιδομένην, τὴν δὲ ὑπ' αὐτῆς κίνησιν, ἀπὸ τῆς κεφαλῆς μὲν ἀρχομένην, τελευτῶσαν[b] δὲ περὶ τὴν τοῦ ἥπατος ἕδραν, ἀκοήν· ὅση δ' αὐτῆς ταχεῖα, ὀξεῖαν,[c] ὅση δὲ

τινος
—[l] ἀέρος γεγόνασι SYsgr. ἀέρος F: id τινος in mg ponit Θ.—[l] ἀντιπραχθέντος ΘΣΥFSYsregor.—[m] τι Υ.—[n] αὐτόν Υ, αὐτό SYqsgr et correctus o: αὐτόν s.—[o] μὲν om F.—[p] ξυνδιηθεῖται AFo, συνδιηθῆται Ξ.—[q] αὐτῷ ΞΣΥxe.—[r] δύ' ΑΘΞΣΥ FSY et corr o, δύο sxegr: διὰ *s.—[s] ὄντων ΘΣSsxegr.—[t] θ' add A.—[u] μόνα F.—[v] ταυτὸν ΑΘΥgor: ταυτὸ *s.—[w] μένος pr Θ.—[x] δ' αἰτίας A.—[y] αὐτὸ corr A: ὑμματος
αὐτὰ *s.—[z] τήνδ' ὧτων Υ.—[a] αἵματος S.—[b] τελευτῶνταs Υ.—[c] ὀξεῖα SYqgr.—

§. 40. διὰ οὖν ταῦτα] Cod. Tub. δύο οὖν ταῦτα. Ficinus: *Duæ igitur hæ*, Bip.

§. 41. αὐτὰ] Reponendum puto αὐτό: videlicet τὸ αἰσθητικὸν μέρος. Steph.

τὴν δι' ὧτων κ. τ. λ.] Quorum verborum illa series est: τὴν ἐγκεφάλου τε καὶ αἵματος μέχρι ψυχῆς πληγὴν ὑπ' ἀέρος δι' ὧτων. Unde Ficinum hic male interpretari efficitur dicentem: *pulsationem quandam ab aëre per aures cerebrumque et sanguinem usque ad animam penetrantem*, dum debuit potius explicari: *pulsationem quandam ab aëre per aures factam cerebri et sanguinis, quæ usque ad animum penetravit.* Lind.

ὅση δ' αὐτῆς ταχεῖα, ὀξεῖαν] Ficinus quidem vertit: *motio quidem velox, acuta provenit.* At cujus tandem motio; Serranus autem: *ejus vero motionem, hujusmodi quæ sit velox, acutam: quæ tardior, graviorem efficere etc.* Quæ cuncta si quis me melius intelligit, cedam ei operæ præmium. Primum hic apparet, omnes illos accusativos, quales sunt, ὀξεῖαν, βαρυτέραν etc. pendere a præcedenti voce θῶμεν, unde efficitur, ibi intelligi φωνήν. Vox autem ὅση non potest rectius referri alio quam ad vocem ante adhibitam κίνησιν, sicuti αὐτῆς ad πληγὴν τῆς φωνῆς. Quo facto, in locum τῶν, ὅση δὲ βραδυτέρα, βαρυτέραν, rescribendum est ὅση δὲ βραδεῖα, βαρεῖαν. Quod vitium ortum est culpa librarii, qui illud ὅση δ' αὐτῆς intellexit, quasi scriptum esset, ὅσον δ' αὐτῆς. Quod si

βραδυτέρα,[d] βαρυτέραν· τὴν δὲ ὁμοίαν[e] ὁμαλήν τε καὶ λείαν,[f] τὴν δ' ἐναντίαν τραχεῖαν· μεγάλην δὲ τὴν πολλήν, ὅση[g] δ'[h] ἐναντία,[i] σμικράν. τὰ[k] δὲ περὶ[l] ξυμφωνίας αὐτῶν ἐν τοῖς ὕστερον λεχθησομένοις ἀνάγκη ῥηθῆναι.

§. 42. Τέταρτον δὴ[m] λοιπὸν ἔτι γένος ἡμῖν[n] αἰσθητικόν, ὃ διελέσθαι δεῖ συχνὰ ἐν ἑαυτῷ ποικίλματα κεκτημένον, ἃ ξύμπαντα μὲν χρόας ἐκαλέσαμεν, φλόγα τῶν σωμάτων ἑκάστων[o] ἀπορρέουσαν, ὄψει ξύμμετρα[p] μόρια ἔχουσαν πρὸς αἴσθησιν· ὄψεως δὲ ἐν τοῖς πρόσθεν αὐτῶν[q] περὶ τῶν αἰτίων[r] τῆς γενέσεως[s] ἐῤῥήθη.[t] τῇδ' οὖν τῶν χρωμάτων[u] πέρι μάλιστα εἰκὸς πρέποι τ'[v] ἂν ἐπιεικεῖ[w] λόγῳ διεξελθεῖν, τὰ φερόμενα ἀπὸ τῶν ἄλλων μόρια[x] ἐμπίπτοντά[y] τε[z] εἰς τὴν ὄψιν τὰ μὲν ἐλάττω, τὰ δὲ μείζω,[a] τὰ δ'[b] ἴσα τοῖς[c] αὐτῆς[d] τῆς[e] ὄψεως μέρεσιν εἶναι, τὰ μὲν οὖν ἴσα ἀναίσθητα, ἃ δὴ καὶ διαφανῆ λέγομεν, τὰ δὲ μείζω καὶ[f] ἐλάττω, τὰ[g] μὲν συγκρίνοντα, τὰ δὲ διακρίνοντα αὐτήν, τοῖς περὶ τὴν σάρκα θερμοῖς καὶ ψυχροῖς[h] καὶ τοῖς περὶ
III. ii. 94. τὴν γλῶτταν στρυφνοῖς καὶ ὅσα θερμαντικὰ ὄντα δριμέα ἐκαλέσαμεν ἀδελφὰ εἶναι, τά τε λευκὰ καὶ τὰ μέλανα, ἐκείνων παθήματα γεγονότα ἐν ἄλλῳ γένει[i] ταὐτά,[k] φαν-

βαρυ
[d] βραχυτέρα A et pr o, βαρυτέρα Sτ, βραδυτέραν Θg, ὀξυτέραν Y, ὀξυβραδυτέραν F.
λει
—[e] ὁμοίαν Ao : μίαν *s.—[f] μίαν Y.—[g] ὅσην FYqgr.—[h] δ' om g.—[i] ἐναντίαν FS Ygr.—[k] τὰ FSq et pr o : τὰς *s.—[l] περὶ AΘFSYqs et pr Υo : πέριξ *s.—[m] γὰρ δὴ ΘSYqsτ.—[n] ἡμῖν om τ.—[o] ἑκάστων σωμάτων Ss.—[p] ξ. AΘΣΥFSYsxegor.—[q] αὐτὸ Ao, αὐτῷ ΘFYgr.—[r] αἰτιῶν τ.—[s] τῆς γενέσεως om Σ —[t] ὀλίγα ἐρρήθη mg A.—[u] χρημάτων τ.—[v] γ' S, γε s.—[w] τὸν ἐπιεικῆ A, ἐπιεικῆ F.—[x] μόρια Ao : μορίων *s.—[y] ἐκπίπτοντα g.—[z] τε A, γε o : δὲ *s.—[a] τὰ δὲ μείζω...καὶ om S.—[b] τὰ δ'...καὶ om s.—[c] τῆς F.—[d] αὐτοῖς ΣΥxe.—[e] τῆς om F.—[f] καὶ AFqo et rc Θ, om ΣΥ Yxegr et pr Θ : ἢ *s.—[g] τὰ ante μὲν om Ss.—[h] ψυχροῖς καὶ θερμοῖς or.—[i] γένη

re vera esset, scribendum continuo esset, ταχίων, ὀξυτέραν, cui rectus sensus profecto deesset. Lind.

§. 42. κεκτημένον] Non potest ferri κεκτημένῳ, quod habent præced. editiones. Illa autem ὄψεως δὲ etc. ferri possunt: non aliter intelligendo quam si verba ita essent collocata, περὶ δὲ αὐτῶν τῶν αἰτίων τῆς γενέσεως ὄψεως ἐῤῥήθη ἐν τοῖς πρόσθεν. Steph. Cod. Tub. quoque κεκτημένον: at pro ἐν ἑαυτῷ habet ἐν ἑαυτοῖς. Bip.

μορίων] Cod. Tub. hic loco τοῦ μορίων offert μόρια, quæ ratio rem magis definit. Lind.

μέλανα] Sic etiam in præced. edit. post μέλανα est hypostigme: ut non interpretemur, albas et nigras affectiones, (sive passiones) sed alba et nigra, quæ sunt affectiones illorum. Intell. autem, illorum quorum modo mentionem fecit: videlicet calidorum et frigidorum, acerborum et acrium. Steph.

ἐκείνων κ. τ. λ.] Locus duobus mendis laborat, quibus ei ademptis, sensus facilior erit intellectu. Scribe igitur:

ταζόμενα δὲ ἄλλα διὰ ταύτας τὰς αἰτίας. οὕτως οὖν αὐτὰ προσρητέον, τὸ μὲν διακριτικὸν τῆς ὄψεως λευκόν, τὸ δ' ἐναντίον αὐτοῦ μέλαν, τὴν δ' ὀξυτέραν φορὰν[l] καὶ γένους πυρὸς[m] ἑτέρου προσπίπτουσαν καὶ διακρίνουσαν τὴν ὄψιν μέχρι τῶν ὀμμάτων, αὐτάς τε τῶν ὀφθαλμῶν τὰς διεξόδους βίᾳ διωθοῦσαν καὶ τήκουσαν, πῦρ μὲν[n] καὶ ὕδωρ ἀθρόον,[o] iii. 68.
ὃ δάκρυον καλοῦμεν, ἐκεῖθεν ἐκχέουσαν,[p] αὐτὴν δὲ οὖσαν πῦρ, ἐξ ἐναντίας ἀπαντῶσαν, καὶ τοῦ μὲν ἐκπηδῶντος[q] πυρὸς[r] οἷον ἀπ'[s] ἀστραπῆς, τοῦ δ' εἰσιόντος καὶ περὶ τὸ νοτερὸν κατασβεννυμένου, παντοδαπῶν ἐν τῇ κυκήσει[t] ταύτῃ γιγνομένων χρωμάτων, μαρμαρυγὰς μὲν τὸ πάθος προσείπομεν,[u] τὸ δὲ τοῦτο[v] ἀπεργαζόμενον λαμπρόν τε καὶ στίλβον ἐπωνομάσαμεν. τὸ δὲ τούτων αὖ[w] μεταξὺ πυρὸς γένος,[x] πρὸς μὲν[y] τὸ τῶν ὀμμάτων ὑγρὸν ἀφικνούμενον καὶ κεραννύμενον αὐτῷ,[z] στίλβον δὲ οὔ, τῇ[a] δὲ διὰ τῆς νοτίδος αὐγῇ[b] τοῦ πυρὸς μιγνυμένῃ[c] χρῶμα ἔναιμον παρασχομένη,[d] τοὔνομα ἐρυθρὸν[e] λέγομεν. λαμπρόν τε ἐρυθρῷ λευκῷ[f] iii. ii. 95.
τε μιγνύμενον ξανθὸν γέγονε· τὸ δ' ὅσον μέτρον ὅσοις, οὐδ' εἴ τις εἰδείη, νοῦν ἔχει[g] τὸ[h] λέγειν, ὧν μή τέ τινα ἀνάγκην

---

g.—[b] ταυτόν s.—[l] ὀξοτέραν φορὰν S.—[m] πυρετοῦ F.—[n] μὲν οὖν F.—[o] καὶ ὕδωρ ἀθρόον S, ἀθρόον καὶ ὕδωρ A, καὶ ὕδωρ καὶ ἀθρόον τ: καὶ ὕδωρ ἀθρόον σ.—[p] ἐκχέουσαν ἐκεῖθεν F.—[q] ἐκ ποδῶν τοῦ g.—[r] τοῦ πυρὸς F.—[s] ἀπ' om pr Θ, ἐπ' g.—[t] κυήσει F.—[u] προσείπωμεν ΞSYsg.—[v] ταῦτα τ.—[w] ἂν SYsgr.—[x] γενόμενος F.—[y] μὲν om pr Ξ.—[z] αὐτὸ SY.—[a] τῆς ε.—[b] αὐτῆι (apposito in mg γ) A.—[c] μιγνυμένη S, προσμιγνυμένου ο.—[d] χρῶμά τε παρασχομένη ἔναιμον (ἔναιμον τc) ο.—[e] ἐρυθρὸν τ.—[f] λευκόν ΘΣTSYsxegr.—[g] ἔχει ΘΣTFSYqsxegr, ἔχει A: ἔχοι σ.—[h] τὸ om s.

τά τε λευκὰ καὶ τὰ μέλανα, ἐκείνοις (sc. τοῖς θερμοῖς, ψυχροῖς, στρυφνοῖς, δρίμεσι) παθήματα γεγονότα ἐν μὲν ὅλῳ γένει ταὐτὰ (sc. τῷ συγκρίνειν καὶ διακρίνειν) φανταζόμενα δὲ ἄλλα διὰ ταύτας τὰς αἰτίας (ὅτι αὐτὰ συγκρίνει καὶ διακρίνει τὴν ὄψιν). Quam causam discriminis solum cogitati mox amplius explicat. cf. p. 57. D. οὐ καλὸν ὅλον τὸ ζῷον, p. 89. B. τοῦ τε γένους ξύμπαντος. Lind.

φορὰν (καὶ γένους πυρὸς ἑτέρου)] Non mirarer, si quis, quæ uncis inclusimus, nobiscum haberet aliena a manu adscripta, non quod falsa sunt, sed quia, quod e præmissis demum intelligitur, iisdem hic jam præmittitur. Etiamque καὶ γένους videntur abundare. Lind.

μιγνυμένῃ] Repono μιγνυμένου. Intell. enim, πυρὸς μιγνυμένου τῇ αὐγῇ. Steph.

παρασχομένη] Videtur hic, ut rerum verborumque series legitime procedat, rescribendum μιγνύμενον—παρασχόμενον aut παρεχόμενον, quæ referuntur ad πυρὸς γένος. Quo facto, quam sit huic loco inepta Stephani conjectura scribentis μιγνυμένου, statim intelligitur. Lind.

λαμπρὸν] Post λαμπρὸν aptior esset particula δέ. Steph.

μήτε τὸν εἰκότα λόγον καὶ μετρίως ἄν τις εἰπεῖν εἴη δυνατός. ἐρυθρὸν δὲ[i] δὴ μέλανι λευκῷ τε κραθὲν[k] ἀλουργοῦν·[l] ὄρφνινον[m] δέ, ὅταν[n] τούτοις μεμιγμένοις[o] καυθεῖσί τε μᾶλλον συγκραθῇ[p] μέλαν. πυρρὸν δὲ[q] ξανθοῦ τε[r] καὶ φαιοῦ κράσει γίγνεται, φαιὸν δὲ λευκοῦ τε καὶ μέλανος, τὸ δὲ ὠχρὸν λευκοῦ[s] ξανθῷ μεμιγμένου.[t] λαμπρῷ[u] δὲ λευκὸν[v] ξυνελθὸν καὶ εἰς μέλαν[w] κατακορὲς ἐμπεσὸν κυανοῦν[x] χρῶμα ἀποτελεῖται, κυανοῦ δὲ λευκῷ[y] κεραννυμένου γλαυκόν, πυρροῦ δὲ μέλανι πράσιον.[z] τὰ δὲ ἄλλα ἀπὸ τούτων σχεδὸν δῆλα, αἷς ἂν ἀφομοιούμενα μίξεσι διασώζοι τὸν εἰκότα μῦθον. Εἰ δέ τις τούτων[a] ἔργῳ σκοπούμενος βάσανον λαμβάνοι,[b] τὸ τῆς ἀνθρωπίνης καὶ θείας φύσεως ἠγνοηκὼς ἂν εἴη διάφορον, ὅτι θεὸς[c] μὲν τὰ πολλὰ εἰς ἓν ξυγκεραννύναι[d] καὶ[e] πάλιν ἐξ ἑνὸς εἰς πολλὰ διαλύειν ἱκανὸς ὡς[f] ἐπιστάμενος ἅμα καὶ δυνατός,[g] ἀνθρώπων δὲ οὐδεὶς οὐδέτερα τούτων ἱκανὸς οὔτε[h] ἔστι νῦν οὔτ' εἰσαῦθίς ποτ' ἔσται.

§. 43. Ταῦτα δὴ πάντα[i] τότε ταύτῃ πεφυκότα ἐξ ἀνάγκης ὁ τοῦ καλλίστου τε καὶ ἀρίστου δημιουργὸς ἐν
III. ii. 96. τοῖς γιγνομένοις παρελάμβανεν, ἡνίκα τὸν αὐτάρκη τε καὶ τὸν[k] τελεώτατον θεὸν ἐγέννα, χρώμενος μὲν ταῖς περὶ ταῦτα αἰτίαις ὑπηρετούσαις, τὸ δὲ εὖ τεκταινόμενος ἐν πᾶσι τοῖς γιγνομένοις αὐτός.[l] διὸ δὴ χρὴ δύ'[m] αἰτίας εἴδη[n] διορίζεσθαι, τὸ μὲν ἀναγκαῖον, τὸ δὲ θεῖον, καὶ[o] τὸ μὲν θεῖον ἐν ἅπασι ζητεῖν κτήσεως ἕνεκα εὐδαίμονος[p] βίου, καθ' ὅσον
III. 69. ἡμῶν[q] ἡ φύσις ἐνδέχεται, τὸ δὲ ἀναγκαῖον ἐκείνων χάριν,

—[l] δὲ om FSYsgr.—[k] κρανθὲν TSYxe, κρατηθὲν F.—[l] ἀλουργὸν FSso.—[m] ὀρφνειὸν F, ὄρφνειον Ξ, ὀρφνινὸν r.—[n] ὅταν ἂν τις Σxegr et pr Υ.—[o] τούτοις μὲν μεμ. o.—[p] συγκρασθῆ s, συγκανθῆ r.—[q] τε e.—[r] τε om r.—[s] λευκοῦ F.—[t] μιγνυμένου Ao, μιγνυμένου F.—[u] λαμπρωῖ AFqo : λαμπρὸν *s.—[v] λευκὸν ΘFSYqo, λαμπρὸν A : λευκῷ *s.—[w] μέλανα Σ.—[x] κυανοῦ ΘΣΥFSYsxegor.—[y] λευκοῦ s.—[z] πράσινον S, πράσειον ΞΣΤSYegr, πλάσιον x.—[a] τοῦτον r.—[b] λαμβάνοι F, λάβοι SYsg, λάβη r.—[c] ὁ θεὸς Ξ.—[d] ξυγκεραννύμενος o.—[e] βίαι γρ A.—[f] ἱκανῶς A, ἱκανῶς Fo, ἱκανῶς ὡς Θ, ἱκανῶς ὡς Ysgr.—[g] δυνατῶς F.—[h] οὐτ' sgr.—[i] ταῦτα δὴ πάντα A et b, qui hinc ad 330, 22. αὐτός : πάντα δὴ ταῦτα *s.—[k] τὸν om F.—[l] αὐτοῖς o.—[m] διὸ δὴ χρὴ δύ' A, διὸ χρὴ δύ' o, διὸ χρὴ δύο s, δύο δὴ χρὴ δύο ΣΥegr, δύο δὲ χρὴ Θ : διὸ δὴ χρὴ δύο *s.—[n] ἤδη Ξ, om Ss.—[o] καὶ om Θ.—[p] ἕνεκα καὶ εὐδ. r.—[q] ἡμῖν SYsg

λογιζομένους[r] ὡς ἄνευ τούτων οὐ δυνατὰ αὐτὰ[s] ἐκεῖνα, ἐφ' οἷς σπουδάζομεν, μόνα[t] κατανοεῖν οὐδ' αὖ λαβεῖν οὐδ' ἄλλως πως μετασχεῖν.

Ὅτ'[u] οὖν δὴ τὰ νῦν οἷα[v] τέκτοσιν ἡμῖν ὕλη[w] παράκειται τὰ τῶν αἰτίων[x] γένη διυλασμένα,[y] ἐξ ὧν τὸν ἐπίλοιπον λόγον δεῖ ξυνυφανθῆναι, πάλιν ἐπ' ἀρχὴν ἀνέλθωμεν[z] διὰ βραχέων[a] ταχύ τε εἰς ταὐτὸν[b] πορευθῶμεν ὅθεν δεῦρο ἀφικόμεθα, καὶ τελευτὴν ἤδη κεφαλήν τε τῷ μύθῳ πειρώμεθα ἁρμόττουσαν ἐπιθεῖναι τοῖς πρόσθεν.[c] [§. 44.] Ὡς περ[d] γὰρ[e] οὖν καὶ[f] κατ' ἀρχὰς ἐλέχθη,[g] ταῦτα[h] ἀτάκτως ἔχοντα ὁ θεὸς ἐν ἑκάστῳ τε αὐτῷ[i] πρὸς αὐτὸ[k] καὶ πρὸς ἄλληλα συμμετρίας ἐνεποίησεν, ὅσας[l] τε καὶ ὅπῃ δυνατὸν ἦν ἀνάλογα καὶ σύμμετρα εἶναι. τότε γὰρ οὔτε τούτων III. ii. 97.
ὅσον[m] μὴ τύχῃ[n] τι μετεῖχεν, οὔτε τὸ παράπαν ὀνομάσαι τῶν νῦν ὀνομαζομένων ἀξιόλογον ἦν οὐδέν, οἷον πῦρ[o] καὶ ὕδωρ καὶ εἴ[p] τι τῶν ἄλλων. ἀλλὰ πάντα ταῦτα[q] πρῶτον διεκόσμησεν, ἔπειτα[r] ἐκ τούτων πᾶν τόδε ξυνεστήσατο, ζῶον ἓν ζῶα[s] ἔχον[t] ἅπαντα[u] ἐν αὐτῷ[v] θνητὰ[w] ἀθάνατά τε. καὶ τῶν μὲν θείων αὐτὸς γίγνεται δημιουργός, τῶν δὲ θνητῶν τὴν γένεσιν τοῖς ἑαυτοῦ γεννήμασι δημιουργεῖν προσέταξεν. οἱ δὲ μιμούμενοι, παραλαβόντες ἀρχὴν ψυχῆς ἀθάνατον,[x] τὸ μετὰ τοῦτο[y] θνητὸν σῶμα αὐτῇ[z] περιετόρνευσαν ὄχημά

et corr Θ.—[r] λογιζόμενον Ao, λογιζόμενος ΣΥFSYxegr.—[s] ταῦτα o.—[t] μόνα om pr Ξ.—[u] ὅτι x.—[v] οἷα om F.—[w] ἡ ὕλη F.—[x] αἰτιῶν o, om x.—[y] διυλισμένα Sso, διυφισμένα corr A, δι λασμένα r.—[z] ἐπανέλθωμεν o.—[a] διὰ βραχέων om F.—[b] ταυτὸν AΘFYgor.—[c] ἔμπροσθεν o.—[d] hinc b ad 349, 17.—[e] γὰρ om bo.—[f] καὶ om F.—[g] ἠλέχθη Σ.—[h] αὐτὰ τὰ A.—[i] αὐτὸ FSYsxgr.—[k] αὐτὸν F.—[l] ὅλας r.—[m] ὅσων b.—[n] τύχῃ S, τύχοι s.—[o] πῦρ AFqbo et corr Θ: περ *s.—[p] εἴ add Ab.—[q] ταῦτα πάντα F.—[r] ἔπειτ' bo.—[s] ζῶον xg.—[t] ἔχοντα Ab.—[u] πάντα A, τὰ παντοδαπὰ o: legendum igitur ἔχον τὰ πάντα.—[v] ἑαυτῷ b.—[w] post θνητὰ omisi τε cum AΘΥFSYqxbegor.—[x] ἀθανάτου Ssgor et γρ x.—[y] ταῦτα b.—[z] αὐτοῖ s.—

§. 43. δυνατὰ] Potest aliquis vocem δυνατὰ impugnare, præferens δυνατὸν aut δυνατοῖ: sed lectioni vulgari opem fert locus qui est de Legg. ix. p. 867. B. διὸ χαλεπὸν διορίζειν οἱ τῷ θυμῷ πραχθέντες φόνοι, πότερον ἑκουσίους αὐτοὺς ἢ τινας ὡς ἀκουσίους νομοθετητέον, in quibus verbis solum corrigatur χαλεποί. Lind.

§. 44. οἷόν περ καὶ ὕδωρ] Scribe hic cum Ficino et Cod. Tub. οἷον πῦρ καὶ ὕδωρ etc. Lind.

σῶμα αὐτοῖ] Potest quispiam αὐτοῖ explicare μόνοι, i. e. *sine deo opifice*; at nobis videtur melius scribi αὐτῇ i. e. ψυχῇ, quo hic dativo magis opus est. Lind.

τε πᾶν[a] τὸ σῶμα[b] ἔδοσαν ἄλλο τε εἶδος ἐν αὐτῷ[c] ψυχῆς[d] προσῳκοδόμουν[e] τὸ θνητόν, δεινά καὶ ἀναγκαῖα ἐν ἑαυτῷ[f] παθήματα ἔχον, πρῶτον μὲν ἡδονήν, μέγιστον κακοῦ[g] δέλεαρ, ἔπειτα λύπας, ἀγαθῶν φυγάς, ἔτι δ' αὖ θάῤῥος καὶ φόβον, ἄφρονε ξυμβούλω, θυμὸν δὲ[h] δυσπαραμύθητον, ἐλπίδα δ'[i] εὐπαράγωγον αἰσθήσει τε[j] ἀλόγῳ καὶ ἐπιχειρητῇ[k] παντὸς ἔρωτι·[l] ξυγκερασάμενοί τ' αὐτὰ[m] ἀναγκαίως τὸ θνητὸν γένος ξυνέθεσαν. καὶ διὰ ταῦτα δὴ σεβόμενοι μιαίνειν τὸ θεῖον, ὅ τι μὴ[n] πᾶσα ἦν ἀνάγκη, χωρὶς ἐκείνου κατοικίζουσιν εἰς ἄλλην τοῦ σώματος οἴκησιν τὸ θνητόν,

III. ii. 98. ἰσθμὸν καὶ ὅρον διοικοδομήσαντες τῆς τε[o] κεφαλῆς καὶ τοῦ στήθους,[p] αὐχένα μεταξὺ τιθέντες, ἵνα[q] εἴη χωρίς. ἐν δὴ[r] τοῖς στήθεσι καὶ τῷ καλουμένῳ θώρακι τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδουν. καὶ ἐπειδὴ τὸ μὲν ἄμεινον αὐτῆς, τὸ δὲ χεῖρον πεφύκει,[s] διοικοδομοῦσι τοῦ[t] θώρακος αὖ τὸ[u] κύτος,

III. 70. διορίζοντες οἷον[v] γυναικῶν, τὴν δὲ ἀνδρῶν χωρὶς οἴκησιν, τὰς φρένας διάφραγμα εἰς τὸ μέσον αὐτῶν τιθέντες. τὸ μετέχον οὖν τῆς ψυχῆς ἀνδρίας καὶ θυμοῦ, φιλόνεικον[x] ὄν, κατῴκισαν[y] ἐγγυτέρω τῆς κεφαλῆς μεταξὺ τῶν φρενῶν τε καὶ αὐχένος, ἵνα τοῦ λόγου κατήκοον ὂν κοινῇ μετ' ἐκείνου βίᾳ τὸ τῶν ἐπιθυμιῶν κατέχοι[z] γένος, ὁπότ' ἐκ τῆς ἀκροπόλεως τῷ[a] ἐπιτάγματι καὶ λόγῳ μηδαμῇ[b] πείθεσθαι ἑκὸν ἐθέλοι.[c] [§. 45.] Τὴν δὲ δὴ[d] καρδίαν ἅμμα[e] τῶν φλεβῶν καὶ πηγὴν τοῦ περιφερομένου κατὰ πάντα τὰ μέλη σφοδρῶς αἵματος εἰς τὴν δορυφορικὴν οἴκησιν κατέστησαν,

[a] πᾶν AΘΥFSYqsxdegor : ἅπαν s.—[b] σῶμα...θνητὸν om pr e.—[c] αὐτῇ Sb.—[d] ψυχῆς ante ἐν ponit b.—[e] προσῳκοδόμουν τὸ AΘFq : προσφκοδομοῦντο *s.—[f] ἑαυτῶι Abo : αὐτῷ *s.—[g] κακοῦ AΘΣTFSYqsxdegor : κακῶν *s.—[h] δὲ Abo : τε *s.—[i] δ' AFbo : τ' *s.—[j] δὲ AFbo.—[k] ἐπιχειρητικῇ Θ.—[l] ἔρωτος Θ.—[m] ταῦτα AΘΣTFSY qxegor : τ'...διὰ om s.—[n] μὴ om e.—[o] τε add AΘΣTFSYsxdegor.—[p] στήθους καὶ αὐχένα *s.—[q] θέντες ἵν' b.—[r] δὲ F.—[s] πέφυκε SYx, ἐπεφύκει AFqbo.—[t] τὸ τοῦ b et rc A.—[u] αὐτὸ Ab.—[v] ὅρον F.—[x] φιλόνικον s.—[y] κατῴκησαν Y.—[z] κατέχη g.—[a] τῶ τ' ΘΥFYqxdegor.—[b] μηδαμοῦ r.—[c] θέλοι Ssg, θέλει r.—[d] δὴ om g.—[e] ἅμμα AYb, ἀρχὴν ἅμα q et rc F : ἅμα corr o cum *s.—[f] ἵν' o.—[g] ὁπότε o, ὅταν

§. 45. ἅμα] Pro adverbio ἅμα (cui commodum hic locum non video) reponendum suspicor nomen ἅμμα. Steph.

τὴν δὲ δὴ καρδίαν ἅμα τῶν φλεβῶν] Cod. quidem Tub. aliam hic offert lectionem ἅμμα, sed pariter inutilem vulgari ἅμα. Scribe mecum νᾶμα, quod et re ipsa commendatur, et statim sequenti voce πηγήν. Cf. Fragm. Tim. Locr. p. 102. A. τροφὰ δὲ πᾶσα, ἀπὸ ῥίζας μὲν τᾶς καρδίας, παγᾶς δὲ τὰς κοιλίας, ἐπάγεται τῷ σώματι. Lind.

ἵνα,[f] ὅτε[g] ζέσειε τὸ τοῦ θυμοῦ γένος[h] τοῦ λόγου παραγγείλαντος ὥς τις[i] ἄδικος περὶ αὐτὰ γίγνεται πρᾶξις ἔξωθεν ἢ καί τις ἀπὸ τῶν ἔνδοθεν ἐπιθυμιῶν, ὀξέως διὰ πάντων τῶν[k] στενωπῶν πᾶν,[l] ὅσον αἰσθητικὸν[m] ἐν τῷ σώματι,[n] τῶν τε παρακελεύσεων[o] καὶ ἀπειλῶν αἰσθανόμενον γίγνοιτο ἐπήκοον[p] καὶ ἕποιτο πάντῃ καὶ τὸ βέλτιστον[q] οὕτως ἐν αὐτοῖς πᾶσιν ἡγεμονεῖν[r] ἐᾷ.[s] Τῇ δὲ δὴ πηδήσει[t] τῆς καρδίας ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ καὶ τῇ τοῦ θυμοῦ III. ii. 99.
ἐγέρσει, προγιγνώσκοντες[u] ὅτι διὰ πυρὸς ἡ[v] τοιαύτη πᾶσα ἔμελλεν[w] οἴδησις[x] γίγνεσθαι τῶν θυμουμένων,[y] ἐπικουρίαν αὐτῇ μηχανώμενοι τὴν τοῦ πλεύμονος[z] ἰδέαν ἐνεφύτευσαν[a] πρῶτον μὲν μαλακὴν καὶ ἄναιμον,[b] εἶτα σήραγγας ἐντὸς ἔχουσαν οἷον σπόγγου κατατετρημένας, ἵνα τό τε πνεῦμα καὶ τὸ πῶμα[c] δεχομένη, ψύχουσα,[d] ἀναπνοὴν καὶ ῥᾳστώνην ἐν τῷ καύματι παρέχοι.[e] διὸ δὴ[f] τῆς[g] ἀρτηρίας ὀχετοὺς ἐπὶ τὸν πλεύμονα[h] ἕτεμον, καὶ περὶ τὴν καρδίαν αὐτὸν[i] περιέστησαν οἷον ἅλμα[k] μαλακόν, ἵνα[l] ὁ θυμὸς ἡνί-

εἴ
F.—[h] μένος Ab.—[i] ὥς τις A et pr Θ (qui rc ὅ τε), ὥς τε F, ὕστις Y : εἴτις cum *s corr Υο.—[k] τῶν om Ad.—[l] πᾶν om F.—[m] αἰσθητικὸν b et corr A : αἰσθητὸν *s.—
ὑ στ
[n] στόμασι τ.—[o] παρακλήσεων τ.—[p] ἐπήκοον S.—[q] βελτιον s.—[r] ἡγεμονεῖν corr A, ἡγεμόνι νέωι γρ A.—[s] ἐωῖ AΘb et pr Υ, ἐᾷκει ε.—[t] δὴ πη δείσει τ.—[u] προσγ. ο.—[v] ἡ om g.—[w] ἔμελλε πᾶσα SYετ, πᾶσιν ἔμελλεν τ : π. om g.—[x] οἴκησις AΘΣΥ FSYsxbegor.—[y] τῶν δὲ θυμ. x.—[z] πλεύμονος Ab, πνεύματος xτ : πνεύμονος *s.—
ἡ
[a] ἐνεφύτευσε τ.—[b] ἄνεμον τ.—[c] πῶμα pr A : πόμα *s.—[d] ψυχουσα b.—[e] παρέχη τ.—[f] δὴ add Ab.—[g] τῆς Ab : τὰς *s.—[h] πλεύμονα Ab : πνεύμονα *s.—[i] αὐτὸν cum *s corr in ō A.—[k] ἅμμα b et corr A.—[l] ἵν' sxbegr et corr o.—[m] ἡνίκ' sgr.—

μένος] Græce legendum, ἵνα ὅτε ζέσειε τὸ τοῦ θυμοῦ μένος τοῦ λόγου παραγγείλαντος. Vulgo γένος habetur pro μένος. CORNAR.

γένος] Pro γένος scribendum potius μένος: ut τὸ τοῦ θυμοῦ μένος intelligamus *furorem iræ*, aut simpliciter *impetum*. STEPH. qui sic in Not. 'Quin pro γένος scribendum sit μένος nemini dubium (ut opinor) esse debet. Alioqui γένος alicubi talem usum habere qualem haberet hic, si retineretur, minime negaverim: quum vel p. 74. legamus, τὸ τῶν νεύρων καὶ τὸ τῆς σαρκὸς γένος.'

ὀξέως—ἐπήκοον] Ut p. 75. B. ἅμα τε αὐτοῖς ὀξήκοον αἴσθησιν. Mox πάντῃ nobiscum muta in πανταχοῖ. Sequens autem Ficinum, qui vertit, *atque ita obediat*, fortasse præferat hic quispiam ὑπήκοον, cui tamen mutationi præmisssum illud ὀξέως videtur refragari. LIND.

ἡγεμονεῖν] Ita legendum est pro ἡγεμονήν. CORNAR.

ἡγεμονεῖν] In præced. editionibus est ἡγεμονήν. STEPH.

διάπυρος] In Græcis legendum, προγινώσκοντες ὅτι διάπυρος ἡ τοιαύτη πᾶσα ἔμελλεν οἴκησις γίγνεσθαι τῶν θυμουμένων. In vulgatis falso διὰ πυρὸς, et οἴδησις, legitur. CORNAR.

διὰ πυρὸς] Rectius fortasse διάπυρος conjuncte legeretur. STEPH.

καὶ[m] ἐν αὐτῇ ἀκμάζοι,[n] πηδῶσα εἰς ὑπεῖκον καὶ ἀναψυχομένη, πονοῦσα ἧττον μᾶλλον τῷ λόγῳ μετὰ θυμοῦ δύναιτο ὑπηρετεῖν. [§. 46.] Τὸ δὲ δὴ σίτων τε καὶ ποτῶν[o] ἐπιθυμητικὸν τῆς ψυχῆς καὶ ὅσων[p] ἔνδειαν διὰ τὴν τοῦ σώματος ἴσχει[q] φύσιν, τοῦτο εἰς τὰ[r] μεταξὺ τῶν τε φρενῶν καὶ τοῦ πρὸς τὸν ὀμφαλὸν ὅρου κατῴκισαν, οἷον φάτνην[s] ἐν ἅπαντι τούτῳ τῷ τόπῳ τῇ τοῦ σώματος τροφῇ τεκτηνάμενοι· καὶ[t] κατέδησαν δὴ τὸ τοιοῦτον[u] ἐνταῦθα ὡς θρέμμα ἄγριον, τρέφειν δὲ[v] ξυνημμένον ἀναγκαῖον, εἴ πέρ τι μέλ-
III. ii. 100. λοι ποτὲ[w] θνητὸν ἔσεσθαι[x] γένος. ἵν'[y] οὖν ἀεὶ νεμόμενον πρὸς φάτνῃ[z] καὶ ὅτι πορρώτατω τοῦ βουλευομένου[a] κατοικοῦν, θόρυβον καὶ βοὴν ὡς[b] ἐλαχίστην παρέχον, τὸ κράτιστον καθ' ἡσυχίαν περὶ τοῦ πᾶσι κοινῇ ξυμφέροντος[c] ἐῷ[d]
III. 71. βουλεύεσθαι,[e] διὰ ταῦτ' ἐνταῦθα[f] ἔδοσαν αὐτῷ τὴν τάξιν. Εἰδότες δὲ[g] αὐτὸ[h] ὡς λόγου μὲν οὔτε ξυνήσειν[i] ἔμελλεν, εἴ τέ πῃ καὶ μεταλαμβάνοι[k] τινὸς αὖ τῶν[l] αἰσθήσεων,[m] οὐκ ἔμφυτον αὐτῷ τὸ μέλειν τινῶν ἔσοιτο λόγων, ὑπὸ δὲ εἰδώλων καὶ φαντασμάτων[n] νυκτός τε καὶ μεθ' ἡμέραν μάλιστα ψυχαγωγήσοιτο, τούτῳ[o] δὴ θεὸς[p] ἐπιβουλεύσας αὐτῷ[q] τὴν τοῦ[r] ἥπατος ἰδέαν ξυνέστησε καὶ ἔθηκεν εἰς τὴν ἐκείνου κατοίκησιν, πυκνὸν καὶ λεῖον καὶ λαμπρὸν καὶ γλυκὺ καὶ πικρότητα ἔχον μηχανησάμενος, ἵν' ἐν αὐτῷ τῶν διανοημάτων ἡ[s] ἐκ τοῦ νοῦ[t] φερομένη δύναμις, οἷον ἐν κατόπτρῳ

[m] ἀκμάζοι AΘFSYqsdgo : ἀκμάζῃ *s.—[n] πολλῶν g.—[o] ὅσων Ad et rc q : ὅσον *s.—[p] ἴσχει Ao, ἔχοι Ygr : ἔχει *s.—[q] τὸ o.—[r] φάτνη SYr, φατνὴ e.—[s] καὶ om Ss.—[t] τοιοῦτο F.—[u] δὲ Ad, δὲ δεῖ S : δὲ δὴ *s.—[v] τὸ A, om o.—[w] ἔσται Yr.—[x] ἦν εν r.—[y] πρὸς τῇ φάτνῃ Ss.—[z] βουλομένου ΣYsegr et corr ϒ, βουλομένου F.—[a] ὡς om r.—[b] ÷ ÷ ξυμφέροντος A et absque illis notis qd, καὶ διαξυμφέροντος Θ, διαξυμφέροντος FY et (in mg appositis καὶ ἰδίᾳ) S, καὶ ἰδία διαξυμφέροντος s : ξυνδιαφέροντος cum *s corr ϒo.—[c] ἐῴη Sso, ἐπι d.—[d] ante διὰ omisi καὶ cum Asdo.—[e] ἐνταῦθ' ω d, ταύτην F.—[f] δὲ om Yqsr.—[g] αὐτὸ Y.—[h] ξυνοίσειν S, qui in mg συνείην ἢ συνήσειν.—[i] μεταλαμβάνει SYser.—[k] αὐτῶν Asdo.—[l] αἰσθήσεως Ao.—[m] ψυχαγωγήσαιτο SYsgr.—[n] τοῦτο FSx et pr o.—[o] δὴ ὁ θεὸς d.—[p] αὐτῶι Ad, αὖ pr o : αὐτοῦ *s.—[q] τοῦ om d et pr o.—[r] ἡ om F.—[s] νεοῦ g.—[t] φοβοῖ AΘSYqsdgr, φοβεῖ F :

ἀκμάζῃ] Cum Cod. Tub. scribe ἀκμάζοι propter subsequens δύναιτο. Lind.

§. 46. κοινῇ ξυνδιαφέροντος] Vox κοινῇ nos adducit ut præferamus lectionem Cod. Tub. ξυμφέροντος. Lind.

τῶν αἰσθήσεων] Cod. Tub. haud contemnendam offert lectionem αὐτῶν loco τοῦ, αὖ τῶν, cujus lectionis auxilio scribendum hic arbitramur : τινὸς αὐτοῦ sc. λόγου, αἰσθήσεως. Lind.

δεχομένῳ τύπους καὶ κατιδεῖν εἴδωλα παρέχοντι, φοβοῖ[u] μὲν αὐτό, ὁπότε μέρει[v] τῆς πικρότητος χρωμένη ξυγγενεῖ, χαλεπὴ[w] προσενεχθεῖσα ἀπειλῇ,[x] κατὰ πᾶν ὑπομιγνῦσα ὀξέως τὸ ἧπαρ χολώδη χρώματα[y] ἐμφαίνοι,[z] ξυνάγουσά τε πᾶν ῥυσὸν[a] καὶ τραχὺ[b] ποιοῖ,[c] λοβὸν[d] δὲ[e] καὶ δοχὰς[f] πύλας[g] τε τὸ μὲν ἐξ ὀρθοῦ κατακάμπτουσα καὶ ξυσπῶσα, τὰ[h] δ' ἐμφράττουσα συγκλείουσά τε, λύπας καὶ ἄσας[i] πα- III. ii. 101.
ρέχοι,[k] καὶ ὅτ' αὖ[l] τὰ ἐναντία[m] φάσματα[n] ἀποζωγραφοῖ[o] πραότητός τις[p] ἐκ διανοίας ἐπίπνοια, τῆς μὲν πικρότητος ἡσυχίαν παρέχουσα τῷ[q] μήτε κινεῖν[r] μήτε προσάπτεσθαι τῆς ἐναντίας ἑαυτῇ[s] φύσεως ἐθέλειν, γλυκύτητι[t] δὲ τῇ κατ' ἐκεῖνο[u] ξυμφύτῳ[v] πρὸς αὐτὸ[w] χρωμένη καὶ πάντα[x] ὀρθὰ καὶ λεῖα αὐτοῦ[y] καὶ ἐλεύθερα ἀπευθύνουσα ἵλεών[z] τε καὶ εὐήμερον[a] ποιοῖ[b] τὴν περὶ τὸ ἧπαρ ψυχῆς μοῖραν κατῳκισμένην,[c] ἔν τε τῇ νυκτὶ διαγωγὴν[d] ἔχουσαν[e] μετρίαν, μαντείᾳ[f] χρωμένην[g] καθ' ὕπνον, ἐπειδὴ λόγου καὶ φρονήσεως

φοβῇ *s.—[v] μέρη x, μέρους r.—[w] χαλεπῇ SYsgr.—[x] ἀπειλὴ o, ἀπειλεῖ d.—[y] χρώματι Θ.—[z] ἐμφαίνοι ΑΘΞΣΥFxdeg, ἐμφαίνη Ss: ἐμφαίνει *s.—[a] ῥυσὸν AFdo: οἱ ῥυσσὸν *s.—[b] ταχὺ Yr.—[c] ποιοῖ ΑΘΞΣΥxdeg, ποιεῖ F, ποιεῖ SYsor: ποιῇ *s.—[d] λαβὸν F.—[e] τε SYxgor.—[f] δοχὰς Ado, λόχας Θ, λόχονας F et γρ Θ, λόχον S Y: λόχον cum *s corr r.—[g] πύλαις r.—[h] τὰ o.—[i] ἄπας o, ἅπας xg, ὅσας F.—[k] παρέχει ser.—[l] ὅτ' αὖ AFdo: ὅταν *s.—[m] τἀναντία do.—[n] φαντάσματα sd.—[o] ἀποζωγραφοῖ ΑΘFSYsdo, ἀναζωγραφῇ g: ἀποζωγραφῇ *s.—[p] τε e, τέ τις x.—[q] τὸ o.—[r] μήτε κινεῖν om pr Ξ: μηκέτι κινεῖν r, μήτε κοινῇ g.—[s] ἑαυτὴν r.—[t] γλυκύτητος d.—[u] ἐκείνω ΣYeo et pr Θ.—[v] ξυμφύτῳ om pr Σ.—[w] ἑαυτὸ Ad.—[x] καὶ πάντα...χρωμένην om pr g.—[y] ἑαυτοῦ F.—[z] ἵλεών Aqdo et corr Θ: ἵλεώ *s.—[a] εὖ ἥμερον r.—[b] ποιοῖ ΑΘFdo, om x: ποιεῖ *s.—[c] κατῳκημένην r.—[d] διαγωγίαν x.—[e] ἔχουσα FYqr et pr Θ.—[f] μαντείαν s.—[g] χρωμένη ΞΥFYqxdeg et pr Θ.

φοβῇ] Scribendum censeo φοβοῖ, itidemque ποιοῖ aliquanto post: quæ conveniunt cum sequente παρέχοι. Quinetiam ἀπειλεῖ, ut ἐμφαίνει, vel ἐμφαίνῃ, ut ἀπειλῇ, debere scribi arbitror: simulque particulam καὶ poni ante κατά. Steph.

ἐμφαίνει] Scribendum hic cum Cod. Tub. ἐμφαίνοι, uti antea cum eodem φοβοῖ loco τοῦ, φοβῇ, ac postea ποιοῖ loco vulgaris ποιῇ, quod omnia ea, sicuti remotum illud παρέχοι, pendent a vocibus ἔθηκεν—μηχανησάμενος. At vocem ἀπειλῇ non esse hic verbum, sed nomen, ideoque antea rescribendum χαλεπῇ, miramur non vidisse Stephanum, cujus ideo nec τῷ καὶ, nec τῷ ἀπειλεῖ opus est. Lind.

λόχον] Non λόχον, sed χόλον Plat. scripsisse puto, in significatione χολῆς: in qua tamen rarum est, et fortasse ποιητικώτερον: ideoque videndum an χολὴν potius reponi debeat. Fic. certe interpr. *bilem*. Steph.

λοβὸν δὲ καὶ λόχον, πύλας τε] Stephanus quidem recte succensebat voci λόχον quæ loci sensum perturbat: sed quod ille proposuit scribendum, χόλον sive χολὴν, etiam magis. Quid si rescribitur μοχλὸν, cui inveniendo adjecta vox πύλας viam aperuit. Quæ res verbis subsequentibus τάδ' ἐμφράττουσα συγκλείουσά τε videtur confirmari. Lind.

οὐ μετεῖχε.[h] [§. 47.] Μεμνημένοι γὰρ τῆς τοῦ πατρὸς ἐπιστολῆς[i] οἱ ξυνιστάντες[k] ἡμᾶς, ὅτε τὸ θνητὸν ἐπέστελλε γένος[l] ὡς ἄριστον εἰς δύναμιν ποιεῖν, οὕτω δὴ κατορθοῦντες καὶ τὸ φαῦλον ἡμῶν, ἵνα[m] ἀληθείας πῃ προσάπτοιτο, κατέστησαν ἐν τούτῳ τὸ μαντεῖον.[n] ἱκανὸν δὲ[o] σημεῖον ὡς μαντικὴν ἀφροσύνῃ θεὸς ἀνθρωπίνῃ δέδωκεν· οὐδεὶς γὰρ ἔννους ἐφάπτεται μαντικῆς ἐνθέου[p] καὶ ἀληθοῦς, ἀλλ' ἢ καθ' ὕπνον τὴν τῆς φρονήσεως πεδηθεὶς δύναμιν ἢ διὰ νόσον ἤ τινα[q] ἐνθουσιασμὸν παραλλάξας. ἀλλὰ ξυννοῆσαι μὲν ἔμφρονος τά[r] τε ῥηθέντα ἀναμνησθέντα ὅναρ ἢ ὕπαρ ὑπὸ[s] τῆς[t] μαντικῆς[u] τε[v] καὶ ἐνθουσιαστικῆς φύσεως,
III. ii. 102. III. 72. καὶ ὅσα ἂν φάσματα[w] ὀφθῇ, πάντα λογισμῷ διελέσθαι, ὅπῃ τι σημαίνει καὶ ὅτῳ μέλλοντος ἢ παρελθόντος ἢ παρόντος κακοῦ ἢ ἀγαθοῦ· τοῦ δὲ μανέντος ἔτι[x] τε ἐν τούτῳ μένοντος οὐκ ἔργον τὰ φανέντα[y] καὶ[z] φωνηθέντα ὑφ' ἑαυτοῦ κρίνειν, ἀλλ' εὖ καὶ πάλαι λέγεται τὸ πράττειν καὶ γνῶναι τά τε αὐτοῦ[a] καὶ ἑαυτὸν[b] σώφρονι μόνῳ[c] προσήκειν. ὅθεν δὴ καὶ τὸ τῶν προφητῶν γένος ἐπὶ ταῖς ἐν-

—[h] μετέχει sd.—[i] ἐπιτολῆς Fd.—[k] ξυνιστάντες Ξ, ξυστάντες ΘΣΥSYsxegr, ξυστήσαντες AFdo : συνιστάντες *s.—[l] ἐπέστελλε γένος AΘdo, ἐπέτελλε γένος F : γένος ἐπέστελλεν *s.—[m] ἵν' sdeτ.—[n] τὸ μαντεῖον S, τῷ μαντείῳ Y, τῷ μαντείῳ s.—[o] τε FSYsτ.—[p] ἐνθέους Ξ.—[q] ἢ διά τινα d.—[r] τὰ δὲ F.—[s] ἀπὸ g.—[t] τῆς om F.—[u] ποιμαντικῆς τ.—[v] τε om F.—[w] φαντάσματα AΞFSYqsxdgτ cum γρ ΣΥ.—[x] ἔτι... μένοντος om τ.—[y] φωνηθέντα...φανέντα d.—[z] καὶ AΘFSYqsdgoτ, καὶ ἢ ΞΣ et ιc Υ :

οὐ μετεῖχε] Fic. quoque negativam particulam hic non agnoscit: cum qua tamen et sequentia consentire videntur. Steph.

§. 47. *συνίσταντες*] Cod. quidem Tub. variam hic offert lectionem *ξυστήσαντες* loco vulgaris *συνίσταντες*, quam tamen defenderim propterea, quod rem facientes meminerunt, non autem re facta. Sed in locum *τῶν*, *ἐπιστολῆς* et *ἐπέστελλεν* nonne scribendum videtur *ἐπιτολῆς* et *ἐπέτειλεν*, quamvis voces eæ significatu non multum discrepent. Subsequuntur: *οὕτω δὴ κατορθοῦντες, καὶ τὸ φαῦλον ἡμῶν*, (sic enim nobis videtur incidendum) *ἵνα ἀληθείας πῃ προσάπτοιτο*. Quæ verba postrema suadent, ut in verbis antecedentibus, *ἔπειδη λόγου καὶ φρονήσεως οὐ μετεῖχε*, Ficini amplectamur rationem, qui vocem ibi *οὐ* non agnoscit. Lind.

ἔτι τε] In Græcis legendum, *τοῦ δὲ μανέντος, ἔτι τε ἐν τούτῳ μένοντος, οὐκ ἔργον τὰ φανέντα ἢ φωνηθέντα ὑφ' ἑαυτοῦ κρίνειν*. Vulgati codices *εἴτε* habent pro *ἔτι*, et *κλίνειν* pro *κρίνειν*. Cornar.

ἔτι] Non *εἴτι*, nec *εἴτε*, sed *ἔτι*, vera est lectio: quam et Fic. sequitur. Steph.

προφητῶν] Persuadere mihi non possum Platonem hic scripsisse *προφητῶν*, nec paulo post *προφῆται*. Quid igitur ab eo scriptum fuisse suspicor? genitivum *ὑποφητῶν*: itidemque nominativum *ὑποφῆται* illic: quum et aptissimam loco isti significationem habeat, et facilis fuerit lapsus ex vocabulo *ὑποφῆται*, parum noto, in *προφῆται*, quod notissimum est atque frequentissimum. Confirmat autem meam emendationem et *ὑποκριταί*, quum de iisdem utrumque dicat; at vero *προφῆται* quomodo *ἀπὸ τῶν μάντεων* distinguerentur? deinde cur post *προφῆται*

θέοις μαντείαις κριτὰς ἐπικαθιστάναι νόμος· οὓς μάντεις αὐτοὺς[d] ἐπονομάζουσί[e] τινες, τὸ πᾶν ἠγνοηκότες ὅτι τῆς δι' αἰνιγμῶν[f] οὗτοι φήμης[g] καὶ φαντάσεως[h] ὑποκριταί, καὶ οὔ τι[i] μάντεις, προφῆται δὲ μαντευομένων δικαιότατα[k] ὀνομάζοιντ' ἄν.[l] ἡ μὲν οὖν φύσις τοῦ[m] ἥπατος διὰ[n] ταῦτα τοιαύτη τε καὶ ἐν τόπῳ ᾧ λέγομεν πέφυκε, χάριν μαντικῆς. καὶ[o] ἔτι μὲν δὴ ζῶντος ἑκάστου τὸ τοιοῦτον[p] σημεῖα ἐναργέστερα[q] ἔχει,[r] στερηθὲν δὲ[s] τοῦ ζῆν γέγονε τυφλὸν καὶ τὰ[t] μαντεῖα ἀμυδρώτερα[u] ἔσχε τοῦ τι σαφὲς σημαίνειν. Ἡ δ' αὖ τοῦ γείτονος αὐτῷ[v] ξύστασις καὶ ἕδρα σπλάγχνου γέγονεν ἐξ ἀριστερᾶς χάριν ἐκείνου, τοῦ παρέχειν αὐτὸ λαμπρὸν ἀεὶ[w] καὶ καθαρόν, οἷον κατόπτρῳ παρεσκευασμένον καὶ ἕτοιμον ἀεὶ παρακείμενον ἐκμαγεῖον. διὸ δὴ καὶ ὅταν τινὲς ἀκαθαρσίαι[x] γίγνωνται διὰ νόσους[y] III. ii. 103. σώματος περὶ[z] τὸ ἧπαρ, πάντα ἡ σπληνὸς καθαίρουσα αὐτὰ δέχεται μανότης, ἅτε κοίλου καὶ ἀναίμου ὑφανθέντος.[a] ὅθεν πληρούμενος τῶν ἀποκαθαιρομένων μέγας καὶ ὕπουλος[b] αὐξάνεται, καὶ πάλιν, ὅταν καθαρθῇ τὸ σῶμα, ταπεινούμενος εἰς ταὐτὸν[c] ξυνίζει.

ἢ s.—[a] ἑαυτοῦ ΘFbr, ἑαὐτοῦ Y.—[b] ἑαυτῷ F.—[c] μόνον F.—[d] αὐτοὺς add Ao.—[e] ὀνομάζουσίν bo.—[f] αἰνιγμάτων o.—[g] φήμας g.—[h] φαντασίας bo.—[i] τι ΑΣΤFxde go, τε SYsx: τοι *s.—[k] δικαιότατ' Θo.—[l] ἂν ὀνομάζοιντο Θ.—[m] τοῦ om Ad.—[n] δὲ s.—[o] καὶ om Θ.—[p] τὸ τοιοῦτον AFbo: τῶν τοιούτων *s.—[q] ἐνεργέστερα Ad g.—[r] ἔχειν ΘΣΤΥxegr.—[s] δὲ om s.—[t] τὰ add AF.—[u] ἀμυδρότερα s.—[v] αὐτοῦ F.—[w] ἀεὶ λαμπρὸν SYqsr.—[x] αἱ καθαρσίαι g.—[y] νόσους AFqbo, νόσου ΘΣΣΤSYsxeg r: νόσον *s.—[z] περὶ τὸ ἧπαρ om Ss.—[a] φανθέντος ΘΣΤΥxer, φανέντος g.—[b] ὕπαυλος b.—[c] ταυτὸ Ss.—[d] περὶ ψυχῆς ΑΘΣΤFSYqsxdegor: περὶ τῆς ψυχῆς s.

genitivus ille τῶν μαντευομένων adderetur? Quidam autem προφήτας posse hic reddi *pronuntiatores* existimarunt. Steph.

εἰσὶ κριταὶ] Græce legendum, ὅτι τῆς δι' αἰνιγμῶν οὗτοι φήμης καὶ φαντάσεως εἰσὶ κριταὶ, καὶ οὗτοι μάντεις. Vulgo habetur ὑποκριταὶ pro εἰσὶ κριταὶ, et οὗτοι pro οὔτι. Cornar.

οὗτοι] Pro οὗτοι Fic. etiam legit οὕτοι: sive οὗ τοι quis disjuncte scribere malit. Steph.

τοιαύτη δὲ] Reponendum puto τε pro δέ. Steph.

τῶν τοιούτων, σημεῖα] Scribe hic cum Cod. Tub. καὶ ἔτι μὲν δὴ ζῶντος ἑκάστου, τὸ τοιοῦτο σημεῖα ἐναργίστερα ἔχει. Lind.

τοῦ τι] In præcedent. edit. τουτι, pro τοῦ τι, perperam legitur: jungitur enim τοῦ cum ἀμυδρότερα. Id est, *Vaticinationes exiliores quam ut aliquid apertum significet*; vel *significent*, hæ videlicet. Videndum etiam ne μαντείας ἀμυδροτέρας reponendum sit: aut μαντείαν ἀμυδροτέραν. Steph.

ἐξ ἀριστερᾶς, χάριν ἐκείνου] Scribe nobiscum ἐξ ἀριστερᾶς ἐκείνου, χάριν τοῦ παρέχειν αὐτὸ—ὄμοιον κατόπτρῳ. Lind.

διὰ νόσων] Maluerim hic scribere διὰ νόσων loco vulgaris διὰ νόσον. Lind.

ὕπουλος] Græce legendum, ὅθεν πληρούμενος τῶν ἀποκαθαιρομένων μέγας καὶ ὕπουλος αὐξάνεται. Vulgo ὕποψος falso pro ὕπουλος legitur. Cornar.

§. 48. Τὰ μὲν οὖν περὶ ψυχῆς,[d] ὅσον θνητὸν ἔχει καὶ ὅσον θεῖον, καὶ ὅπη, καὶ μεθ' ὧν, καὶ δι' ἃ χωρὶς ᾠκίσθη, τὸ[e] μὲν ἀληθές, ὡς εἴρηται, θεοῦ ξυμφήσαντος τότ' ἂν οὕτω[f] μόνως διισχυριζοίμεθα· τό γε μὴν εἰκὸς ἡμῖν[g] εἰρῆσθαι, καὶ νῦν καὶ ἔτι μᾶλλον ἀνασκοποῦσι διακινδυνευτέον[h] τὸ[i] φάναι καὶ πεφάσθω. Τὸ δ' ἑξῆς δὴ[k] τούτοισι[l] κατὰ ταὐτὰ[m] μεταδιωκτέον· ἦν δὲ τὸ τοῦ[n] σώματος ἐπίλοιπον ἢ γέγονεν. ἐκ δὴ λογισμοῦ τοιοῦδε[o] ξυνίστασθαι μάλιστ' ἂν αὐτὸ πάντων[p] πρέποι.

Τὴν ἐσομένην ἐν ἡμῖν ποτῶν καὶ ἐδεστῶν[q] ἀκολασίαν ἤδεσαν οἱ ξυντιθέντες ἡμῶν τὸ γένος, καὶ ὅτι τοῦ μετρίου καὶ ἀναγκαίου διὰ μαργότητα πολλῷ χρησοίμεθα[r] πλέονι·[s] ἵν' οὖν μὴ φθορὰ διὰ νόσους[t] ὀξεῖα γίγνοιτο καὶ ἀτε-
III. 73. λὲς τὸ γένος εὐθὺς τὸ θνητὸν τελευτῴη,[u] ταῦτα προορώμε-
III. ii. 104. νοι τῇ τοῦ περιγενησομένου[v] πώματος ἐδέσματός τε ἕξει τὴν ὀνομαζομένην[w] κάτω κοιλίαν ὑποδοχὴν ἔθεσαν, εἱλιξάν τε πέριξ τὴν τῶν ἐντέρων[x] γένεσιν, ὅπως μὴ ταχὺ διεκπερῶσα ἡ τροφὴ ταχὺ πάλιν τροφῆς ἑτέρας δεῖσθαι τὸ σῶμα ἀναγκάζοι,[y] καὶ παρέχουσα[z] ἀπληστίαν διὰ γαστριμαργίαν ἀφιλόσοφον καὶ ἄμουσον[a] πᾶν[b] ἀποτελοῖ[c] τὸ γένος, ἀνυπήκοον τοῦ θειοτάτου[d] τῶν παρ' ἡμῖν.

§. 49. Τὸ δὲ ὀστῶν καὶ σαρκῶν καὶ τῆς τοιαύτης φύ-

—[e] τὸ...πεφάσθω] κατὰ τὸ εἰκὸς εἴρηται δ.—[f] τούτω ο.—[g] ἡμῖν om Fr.—[h] διακιν δ. ...μετα] pro his lacuna in s.—[i] add Aθ et rc S.—[k] ἤδη r, om δο.—[l] τούτοισιν AΘ ΣΥFSYegr, om b: τουτοισι s.—[m] ταῦτα ΞΥ.—[n] τοῦτο δ.—[o] τοῦδε Θ.—[p] πάντως ο.—[q] ἐδετων g.—[r] χρησόμεθα pr ο.—[s] πλέονι Ad: πλείονι *s.—[t] νόσων Ξ.—[u] τελευτῶι AYqdo et pr Θ, τελευτῶν Fr.—[v] γενησομένου δ.—[w] ὀνομαζομένην AΘ FSYqsdgor: ὠνομασμένην s.—[x] ἑτέρων g.—[y] ἀναγκάζοι AΘΞΣΥFqdgo, ἀναγκάσαι r, ἀναγκάζει xe: ἀναγκάσοι s.—[z] παρέχοι ο.—[a] ἄνισον F.—[b] ἂν S, πᾶν ἂν s, ἂν Yqr et corr ο.—[c] ἀποτελοι AΘFgo, ἀποτελοῖτο b et corr A, ἀποτελεῖ ΣΥxe, ἀποτελεῖν Ξ, ἀποτελεῖν r: ἀποτελῇ s.—[d] τὸ θειότατον r.—[e] διαδιδούμενοι xg.—[f] γίνε-

§. 48. *τό γε*] Reponendum puto ὅγε. Steph.

ἦν δὲ] Post δὲ interpung. quia ἦν δὲ non jungitur cum *ἐπίλοιπον*, sed cum τὸ ἑξῆς, quod præcedit. Steph.

τὴν ὠνομασμένην] Prætulerim hic lectionem, quam offert Cod. Tub. *τὴν ὀνομαζομένην*. Lind.

γαστριμαργίαν] Nisi dicamus ipsam *γαστριμαργίαν* vocari ἀφιλόσοφον et ἄμουσον, interpunctione utrinque intercipiendo verba illa, διὰ *γαστριμαργίαν* ἀφιλόσοφον καὶ ἄμουσον, videri poterit deesse copula καὶ ante ἀνυπήκοον. Aptius etiam esset ἀποτελοῖ, servato eodem modo: et ἀναγκάζοι fortasse melius quam ἀναγκάσοι legeretur. Steph.

σεως πέρι πάσης ὧδε ἔσχε. τούτοις ξύμπασιν ἀρχὴ μὲν ἡ τοῦ μυελοῦ γένεσις· οἱ γὰρ τοῦ βίου δεσμοὶ τῆς ψυχῆς τῷ σώματι ξυνδουμένης ἐν τούτῳ διαδούμενοι[e] κατερρίζουν τὸ θνητὸν γένος· αὐτὸς δὲ ὁ μυελὸς γέγονεν[f] ἐξ ἄλλων. τῶν γὰρ τριγώνων ὅσα πρῶτα ἀστραβῆ καὶ λεῖα ὄντα πῦρ τε καὶ ὕδωρ καὶ ἀέρα καὶ γῆν δι' ἀκριβείας μάλιστα ἦν παρασχεῖν δυνατά,[g] ταῦτα ὁ θεὸς ἀπὸ τῶν ἑαυτῶν ἕκαστα γενῶν[h] χωρὶς ἀποκρίνων,[i] μιγνὺς δ' ἀλλήλοις[k] σύμμετρα,[l] πανσπερμίαν παντὶ θνητῷ γένει[m] μηχανώμενος, τὸν μυελὸν ἐξ αὐτῶν ἀπειργάσατο, καὶ μετὰ ταῦτα δὴ φυτεύων ἐν αὐτῷ κατέδει τὰ τῶν ψυχῶν γένη, σχημάτων τε ὅσα[n] ἔμελλεν[o] αὖ σχήσειν[p] οἷά τε καθ' ἕκαστα εἴδη, τὸν μυελὸν αὐτὸν τοσαῦτα καὶ τοιαῦτα διηρεῖτο σχήματα εὐθὺς[q] III. ii. 105. ἐν τῇ διανομῇ[r] τῇ[s] κατ' ἀρχάς. καὶ τὴν μὲν τὸ θεῖον σπέρμα, οἷον ἄρουραν, μέλλουσαν ἕξειν ἐν αὑτῇ[t] περιφερῆ πανταχῇ[u] πλάσας, ἐπωνόμασε τοῦ μυελοῦ ταύτην τὴν μοῖραν ἐγκέφαλον, ὡς ἀποτελεσθέντος ἑκάστου ζώου τὸ περὶ τοῦτο[v] ἀγγεῖον κεφαλὴν γενησόμενον· ὅ δ' αὖ[w] τὸ λοιπὸν καὶ θνητὸν τῆς ψυχῆς ἔμελλε καθέξειν, ἅμα στρογγύλα καὶ προμήκη διηρεῖτο[x] σχήματα, μυελὸν δὲ πάντα ἐπεφήμισε,[y] καὶ καθάπερ ἐξ ἀγκυρῶν βαλλόμενος[z] ἐκ τούτων πάσης ψυχῆς δεσμοὺς περὶ τοῦτο[a] ξύμπαν ἤδη[b] τὸ σῶμα ἡμῶν ἀπειργάζετο, στέγασμα μὲν αὐτῷ[c] πρῶτον ξυμπηγνὺς περὶ ὅλον[d] ὀστέϊνον. [§. 50.] Τὸ δὲ ὀστοῦν ξυνίστησιν ὧδε. γῆν διαττήσας[e] καθαρὰν καὶ λείαν ἐφύρασε[f] καὶ

ὧν

ται s.—ε δυνατόν s.—b γενῶν ἕκαστα Sqsτ, γενεων ἕκαστα Y.—i ἀποκρίνει FSYqs r et corr Θ.—k ἄλληλα x.—l ξ. xgeo.—m γένει θνητῶ b.—n τε ὅσα τε o.—o ἤμελλεν Yqsτ.—p ἂν σχήσειν Θ, αὐχήσειν b.—q σχ. καὶ εὐθὺς x.—r διατομῇ r.—s τῇ om g.—t ἑαυτῇ r.—u πένταχα γρ A.—v τοιοῦτο F, τοῦτ' b.—w αὖ ΑΘΣΤ Fxdego: ἂν s.—x διηρεῖτο (in ει corr) A, διηρῆτο q.—y ἐπ' εὐφήμισε F et pr Y.—

δ

z βαλόμενος ΘSYsb.—a τοῦτο Abo, ταυτὸ ΘFSYqs, αὐτῶ e: αὐτὸ cum *s corr r.—b ἔδη (adscripto in mg ἤδη) F.—c αὐτὸ FSYsdoτ.—d περίβολον Valckenar. ad Eur. Phœniss. 1085.—e διαττήσας ΑΘFSYsdo et pr r, διατρέσας g: διατρήσας *s.

§. 49. μυελοῦ] Græce legendum, ἐπωνόμασε τοῦ μυελοῦ ταύτην τὴν μοῖραν, ἐγκέφαλον. In vulgatis deest vox μυελοῦ. Cornar.

ἂν] Partic. ἂν puto] mutandam in αὖ. Steph. Ita plane habet Cod. Tub. Bip.

αὐτὸ] Videtur αὐτὰ legisse Fic. At si αὐτὸν legatur, ad μυελὸν referetur. Steph.

ἔδευσε μυελῷ, καὶ μετὰ τοῦτο[g] εἰς πῦρ αὐτὸ ἐντίθησι, μετ' ἐκεῖνο δὲ εἰς ὕδωρ βάπτει, πάλιν δὲ[h] εἰς πῦρ αὖθίς τε εἰς ὕδωρ· μεταφέρων δ'[i] οὕτω[k] πολλάκις εἰς[l] ἑκάτερον ὑπ' ἀμφοῖν ἄτηκτον ἀπειργάσατο. καταχρώμενος δὴ τούτῳ περὶ μὲν τὸν ἐγκέφαλον αὐτοῦ σφαῖραν περιετόρνευσεν ὀστεΐνην, ταύτῃ[m] δὲ στενὴν διέξοδον κατελίπετο·[n] καὶ περὶ
III. 74. τὸν διαυχένιον[o] ἅμα καὶ νωτιαῖον μυελὸν ἐξ αὐτοῦ σφονδύ-
III. ii. 106. λους[p] πλάσας ὑπέτεινεν[q] οἷον στρόφιγγας, ἀρξάμενος ἀπὸ τῆς κεφαλῆς, διὰ παντὸς τοῦ κύτους. καὶ τὸ πᾶν δὴ σπέρμα διασώζων οὕτω λιθοειδεῖ[r] περιβόλῳ ξυνέφραξεν, ἐμποιῶν ἄρθρα, τῇ θατέρου[s] προσχρώμενος ἐν αὐτοῖς ὡς μέσῃ ἐνισταμένῃ δυνάμει, κινήσεως καὶ κάμψεως ἕνεκα. Τὴν δ' αὖ τῆς[t] ὀστεΐνης φύσεως ἕξιν ἡγησάμενος τοῦ δέοντος κραυροτέραν[u] εἶναι καὶ ἀκαμπτοτέραν,[v] διάπυρόν τ' αὖ[w] γιγνομένην καὶ πάλιν ψυχομένην σφακελίσασαν ταχὺ διαφθερεῖν[x] τὸ σπέρμα ἐντὸς αὐτῆς, διὰ ταῦτα οὕτω τὸ[y] τῶν νεύρων καὶ τὸ τῆς σαρκὸς γένος ἐμηχανᾶτο,[z] ἵνα τῷ μὲν πάντα τὰ[a] μέλη ξυνδήσας ἐπιτεινομένῳ καὶ ἀνιεμένῳ περὶ τοὺς[b] στρόφιγγας[c] καμπτόμενον τὸ σῶμα καὶ ἐκτεινόμενον παρέχοι, τὴν δὲ σάρκα προβολὴν[d] μὲν καυμάτων,[e] πρόβλημα δὲ χειμώνων, ἔτι δὲ πτωμάτων οἷον τὰ πιλητὰ[f] ἔσεσθαι κτήματα,[g] σώμασι μαλακῶς καὶ πράως ὑπείκουσαν, θερμὴν δὲ νοτίδα ἐντὸς ἑαυτῆς[h] ἔχουσαν θέρους μὲν

τε

—[f] ἐφύρασε Ab : ἀνεφύρασε *s.—[g] μετὰ ταῦτα o.—[h] πάλιν δὲ S, πάλιν τε Fo. —[i] δὲ Adg.—[k] οὕτω ΘΞΣΥSY : οὕτως s.—[l] εἰς om r.—[m] ταύτην Y, ταῦτα s.—

εἰ

[n] κατελείπετο AFsdor, κατελιπετο Y.—[o] αὐχένιον Θ.—[p] σπονδύλους Ysxgor.—[q] ὑπέτινεν g.—[r] λιθοειδῆ F.—[s] θατέρω F.—[t] αὖτης xe.—[u] καυροτέραν x, καινοτέραν r.—[v] καμπτοτέραν F : καὶ ἀκαμπτοτέραν om o.—[w] ἂν pr Θ.—[x] διαφθείρειν o. —[y] τὸ add AFbo.—[z] ἐμηχανᾶτο AFSYsdor : ἐμηχανήσατο *s.—[a] πάντα τὰ AFq, ἅπαντα τὰ b, τἄλλα πάντα r, πάντα o : πάντα τἄλλα s.—[b] περὶ τοὺς στρόφιγγας καὶ

ε

ἀνιεμένῳ Θ.—[c] στρόφυγγας F.—[d] προσβολὴν F et pr Θ.—[e] καμάτων SYgr,

υ

καμμάτων s, καμάτων F, ἐκκαυμάτων Σ.—[f] πηλιτὰ F.—[g] σώμασιν ἔσεσθαι κτήματα

§. 50. διατρήσας] Loco vulgaris hic lectionis διατρήσας Cod. Tub. habet διαττήσας, quæ sola convenit. Eodem modo infra loco vulgaris κατελίπετο meliorem idem exhibet lectionem κατέλιπε. Lind.

διὰ ταῦτα οὕτω] For. διὰ ταῦτα αὖ τὸ τῶν ν. Steph.

κτήματα] Suspecta mihi est hoc in loco vox κτήματα. Steph.

σώμασι—ὑπείκουσαν] Junge τὸ σῶμασι, τῷ ὑπείκουσαν: quo facto, error vitatur Ficini, qui τὰ πιλητὰ—κτήματα

ἀνιδίουσαν[i] καὶ νοτιζομένην ἔξωθεν ψύχος κατὰ πᾶν τὸ σῶμα παρέξειν[k] οἰκεῖον, διὰ χειμῶνος δὲ πάλιν αὖ τούτῳ τῷ πυρὶ τὸν προσφερόμενον ἔξωθεν καὶ περιιστάμενον πάγον ἀμυνεῖσθαι μετρίως. [§. 51.] Ταῦτα ἡμῶν διανοηθεὶς ὁ κηροπλάστης, ὕδατι μὲν καὶ πυρὶ καὶ γῇ ξυμμίξας[l] καὶ III. ii. 107.
ξυναρμόσας,[m] ἐξ[n] ὀξέος[o] καὶ ἁλμυροῦ ξυνθεὶς[p] ζύμωμα καὶ[q] ὑπομίξας αὐτοῖς, σάρκα ἔγχυμον[r] καὶ μαλακὴν ξυνέστησε·[s] τὴν δὲ[t] τῶν νεύρων φύσιν ἐξ ὀστοῦ καὶ σαρκὸς ἀζύμου κράσεως, μίαν ἐξ ἀμφοῖν[u] μέσην[v] δυνάμει[w] ξυνεκεράσατο, ξανθῷ χρώματι προσχρώμενος. ὅθεν συντονωτέραν μὲν[x] καὶ γλισχροτέραν σαρκῶν, μαλακωτέραν δὲ ὀστῶν ὑγρωτέραν τε[y] ἐκτήσατο δύναμιν νεῦρα· οἷς ξυμπεριλαβὼν ὁ θεὸς ὀστᾶ καὶ μυελόν, δήσας πρὸς ἄλληλα νεύροις, μετὰ ταῦτα σαρξὶ[z] πάντα αὐτὰ κατεσκίασεν[a] ἄνωθεν. ὅσα μὲν οὖν ἐμψυχότατα τῶν[b] ὀστῶν ἦν, ὀλιγίσταις[c] ξυνέφραττε σαρξίν, ἃ δ' ἀψυχότατα ἐντός,[d] πλείσταις καὶ πυκνωτάταις. καὶ δὴ κατὰ[e] τὰς ξυμβολὰς τῶν ὀστῶν, ὅπῃ μή τινα ἀνάγκην ὁ λόγος ἀπέφαινε δεῖν αὐτὰς εἶναι, βραχεῖαν σάρκα ἔφυσεν, ἵνα μήτε ἐμποδὼν ταῖς καμπαῖσιν[f] οὖσαι δύσφορα τὰ[g] σώματα ἀπεργάζοιντο, ἄτε δυσκίνητα[h] γιγνόμενα, μήτ' αὖ πολλαὶ καὶ πυκναὶ[i] σφόδρα τε[k] ἐν ἀλλήλαις ἐμπεπιλημέναι, διὰ[l] στερρότητα[m] ἀναισθησίαν ἐμποιοῦσαι, δυσμνημονευτότερα καὶ κωφότερα[n] τὰ περὶ τὴν διάνοιαν ποιοῖεν.[o] διὸ δὴ τό τε τῶν μηρῶν καὶ κνημῶν[p] καὶ

o.—[h] ἑαυτῆς ΑΘFSYsdbo : αὐτῆς *s.—[i] ἀνιδίουσαν ΑΘS et γρ Ξ, ἀνιδίουσαν s, ἀνοιδίουσαν corr A, ἀνιδιοῦσαν Υτ, ἰδίουσαν Fq, ἀνοιδοῦσαν b : ἀνιδροῦσαν *s.—[k] παρέχειν F, ἕξειν o.—[l] ξ. ΑΘΣΤSYsxdegor.—[m] ξ. ΑΘΣΤFSYsxdeor.—[n] ἐξ om F.—[o] ὀξέως Fsxg.—[p] ξυνθεὶς om F.—[q] καὶ om AFb et pr o.—[r] εὔχυμον F.—[s] ὑπέστησε τ.—[t] δὲ δὴ o.—[u] ξυναμφοῖν A, ἐξ ἀμφοτέρων o.—[v] μέσοιν Y, μέση o.—[w] δύναμιν Fq et corr Θ.—[x] μὲν om F.—[y] τ' sτ, om xe et pr A.—[z] σαρκὶ Θ.—[a] κατεσκίασεν o.—[b] τῶν...ἀψυχότατα om SYsτ.—[c] ὀλίγαις F, ὀλίγιστά γε o.—[d] post ἐντός interpunxi cum AF.—[e] καὶ δὴ καὶ κατὰ Fqo, καὶ δὴ καὶ τὰ Ξ.—[f] καμπαῖσιν ΑΘΥFYqsxegτ, καμπέσιν b, κάμψεσιν o : καμπαῖς cum s corr Σ.—[g] δυσφορώτατα F, διάφορα e.—[h] δυσκίνητοι γιγνόμεναι o.—[i] μηδ' αὖ πυκναὶ καὶ πολλαὶ F.—[k] τε om g.—[l] καὶ διὰ g.—[m] στερρότητα F, στερρότητος τ : στερεότητα *s.—[n] κωφότερα

vertit, *externa corporis fulcimenta*, quod nemo profecto intelligit. Lind.

§. 51. *σάρκα*] In præced. edit. jungitur accus. *σάρκα* cum *ὑπομίξας*, quum feratur ad *ξυνέστησε*. Steph.

κουφότερα] Scribe mecum *κωφότερα*. Ut infra p. 88. B. *τὸ δὲ τῆς ψυχῆς κωφὸν καὶ δυσμαθὲς ἀμνήμον τέ ποιοῦσαι*. Lind.

III. 75. τὸ[q] περὶ τὴν τῶν ἰσχίων[r] φύσιν τά τε τῶν[s] βραχιόνων ὀστᾶ
καὶ τὰ τῶν[t] πήχεων, καὶ ὅσα ἄλλα ἡμῶν ἄναρθρα,[u] ὅσα
III. ii. 108. τε ἐντὸς ὀστᾶ δι' ὀλιγότητα ψυχῆς ἐν μυελῷ κενά ἐστι
φρονήσεως, ταῦτα πάντα[v] ξυμπεπλήρωται[w] σαρξίν, ὅσα δ'
ἔμφρονα, ἧττον, εἰ μή πού τινα αὐτὴν καθ' αὑτὴν αἰσθή-
σεων[x] ἕνεκα[y] σάρκα οὕτω ξυνέστησεν,[z] οἷον τὸ τῆς γλώττης
εἶδος. τὰ δὲ πλεῖστα ἐκείνως· ἡ γὰρ ἐξ ἀνάγκης γιγνομένη
καὶ ξυντρεφομένη[a] φύσις οὐδαμῇ προσδέχεται πυκνὸν ὀστοῦν
καὶ σάρκα πολλὴν ἅμα τε αὐτοῖς ὀξυήκοον[b] αἴσθησιν.
μάλιστα γὰρ ἂν[c] αὐτὰ πάντων ἔσχεν ἡ περὶ τὴν κεφαλὴν[d]
ξύστασις,[e] εἰ περ ἅμα ξυμπίπτειν ἠθελησάτην, καὶ τὸ τῶν
ἀνθρώπων γένος σαρκώδη ἔχον ἐφ'[f] ἑαυτῷ[g] καὶ νευρώδη
κρατεράν[h] τε[i] κεφαλὴν βίον ἂν διπλοῦν καὶ πολλαπλοῦν
καὶ ὑγιεινότερον καὶ ἀλυπότερον τοῦ νῦν κατεκτήσατο· νῦν
δὲ τοῖς[k] περὶ τὴν ἡμετέραν γένεσιν δημιουργοῖς, λογιζομέ-
νοις[l] πότερον πολυχρονιώτερον χεῖρον ἢ βραχυχρονιώτερον[m]
βέλτιον ἀπεργάσαιντο γένος, ξυνέδοξε τοῦ πλείονος βίου
φαυλοτέρου[n] δὲ τὸν ἐλάττονα ἀμείνονα[o] ὄντα παντὶ πάν-
τως αἱρετέον,[p] ὅθεν δὴ μανῷ[q] μὲν ὀστῷ, σαρξὶ δὲ καὶ νεύ-
ροις κεφαλήν, ἅτε[r] οὐδὲ[s] καμπὰς[t] ἔχουσαν,[u] οὐ[v] ξυνεστέ-
γασαν. κατὰ πάντ' οὖν[w] ταῦτα εὐαισθητότερα μὲν[x] καὶ
φρονιμωτέρα, πολὺ δὲ ἀσθενεστέρα παντὸς ἀνδρὸς προσετέθη
III. ii. 109. κεφαλὴ σώματι. τὰ δὲ νεῦρα διὰ ταῦτα καὶ οὕτως ὁ θεὸς
ἐπ' ἐσχάτην τὴν κεφαλὴν περιστήσας κύκλῳ περὶ τὸν τράχη-
λον ἐκόλλησεν[y] ὁμοιότητι, καὶ τὰς σιαγόνας ἄκρας[z] αὖ-

Ab : κουφότερα *s.—[o] ἐμποιοῖεν Fq.—[p] μνημῶν Ξ.—[q] τὸ om F.—[r] ἰσχύων FY.—[s] τε περὶ τὰ τῶν Ab, τε περὶ τῶν Fo.—[t] τῶν post τὰ om F.—[u] ἄρθρα F, τά τε ἄρθρα γρ A.—[v] ταῦτα πάντα Ab : πάντα ταῦτα *s.—[w] ξυμπεπλήρωνται b.—[x] τὴν αἰσθ. g.—[y] εἵνεκα r.—[z] ξυνέστησαν o.—[a] γεγενημένη καὶ συστρεφομένη b.—[b] ὀξύκουον Θ, ξυνήκουον F.—[c] ἂν om SYst.—[d] τῆς κεφαλῆς F.—[e] ξ. ΑΘΤFSYsxdegor.—[f] ἐν rs.—[g] ἑαυτὸν x.—[h] κρατερόν F.—[i] τὴν g.—[k] τοῖς om ϱ.—[l] ἀναλογιζομένοις Ab.—[m] χεῖρον ἢ βραχ. om gr.—[n] φαυλότερον Fxegr et corr r.—[o] ἄμεινον sb.—[p] αἱρε-
η
τὸν F.—[q] τῶι μανῶι A.—[r] ἅτ' o.—[s] δὲ F.—[t] καμπτὰς Y.—[u] οὐκ ἔχουσαν rc F.—[v] οὐ delet A, om b : οὐδὲ r.—[w] ἦν g.—[x] τε r.—[y] ἐκώλυσεν ΣΥYeg et pr Θ.—

παντὶ πάντως] Scribendum puto πάντη πάντως: item προαιρετέον, quum præcedat genitivus. Alioqui ante illum particula ἀντὶ vel πρὸ opus esset, ut diceretur αἱρετέον ἀντὶ τοῦ πλείονος, vel πρὸ τοῦ πλείονος. Steph.

ὁμοιότητι] Auctore dicente p. 77. E. ἐπειδὴ νεύροις οὐκ ἦν κύκλῳ κατὰ κορυφὴν διειλημμένη, vox ὁμοιότητι, quam Ficinus vertit *quadam similitudine*, quasi

τοῖς ξυνέδησεν ὑπὸ τὴν φύσιν τοῦ προσώπου· τὰ δ' ἄλλα εἰς ἅπαντα τὰ μέλη διέσπειρε,[a] ξυνάπτων ἄρθρον ἄρθρῳ. [§. 52.] Τὴν δὲ δὴ τοῦ στόματος ἡμῶν δύναμιν[b] ὀδοῦσι καὶ γλώττῃ καὶ χείλεσιν ἕνεκα τῶν ἀναγκαίων καὶ τῶν ἀρίστων διεκόσμησαν[c] οἱ διακοσμοῦντες, ἣ νῦν διατέτακται, τὴν μὲν εἴσοδον τῶν ἀναγκαίων μηχανώμενοι[d] χάριν, τὴν δὲ[e] ἔξοδον τῶν ἀρίστων· ἀναγκαῖον μὲν γὰρ πᾶν ὅσον εἰσέρχεται τροφὴν διὸν[f] τῷ σώματι, τὸ[g] δὲ λόγων νᾶμα ἔξω ῥέον καὶ ὑπηρετοῦν φρονήσει κάλλιστον[h] καὶ ἄριστον πάντων ναμάτων. [§. 53.] Τὴν δ' αὖ κεφαλὴν οὔτε μόνον ὀστεΐνην ψιλὴν δυνατὸν ἐᾶν ἦν διὰ τὴν ἐν ταῖς ὥραις ἐφ' ἑκάτερον ὑπερβολήν,[i] οὔτ' αὖ ξυσκιασθεῖσαν κωφὴν[k] καὶ ἀναίσθητον διὰ τὸν[l] τῶν σαρκῶν ὄγκον περιιδεῖν γιγνομένην. τῆς δὴ[m] σαρκοειδοῦς φύσεως οὖ[n] καταξηραινομένης λέμμα[o] μεῖζον περιγιγνόμενον ἐχωρίζετο, τὸ νῦν λεγόμενον δέρμα.[p] τοῦτο δὲ[q] διὰ τὴν[r] περὶ τὸν ἐγκέφαλον νοτίδα ξυνιὸν αὐτὸ πρὸς αὑτὸ καὶ βλαστάνον κύκλῳ περιημφίεννυ[s] τὴν κεφαλήν. ἡ δὲ νοτὶς ὑπὸ τὰς ῥαφὰς ἀνιοῦσα ἥρδε[t] καὶ συνέκλεισεν[u] αὐτὸ[v] ἐπὶ[w] τὴν κορυφήν, οἷον ἄμμα[x] ξυναγαγοῦσα.[y] τὸ δὲ τῶν ῥαφῶν παντοδαπὸν[z] εἶδος γέγονε διὰ τὴν τῶν περιόδων δύναμιν καὶ τῆς τροφῆς,[a] μᾶλλον μὲν ἀλλήλοις μαχομένων τούτων πλείους, ἧττον δὲ ἐλάττους. τοῦτο δὴ[b] πᾶν τὸ δέρμα κύκλῳ κατεκέντει πυρὶ[c] τὸ θεῖον, III. 76.

III. ii. 110.

[x] ἄκρως o.—[a] διέσπειραν r.—[b] αἴσθησιν o.—[c] διεκόσμησεν omissis οἱ διακοσμοῦντες b.—[d] μηχανησάμενοι b.—[e] δ' sxbegor.—[f] διδοῦν o.—[g] τῶν Σ.—[h] κάλλ.... κεφαλὴν om s.—[i] μεταβολὴν F.—[k] κωφὴς corr Υ, κεφαλὴν F.—[l] τὸ ΥΥgr.—[m] δὲ Υgr, ὑπερ ἡ δὲ S, δὲ δὴ s.—[n] οὐ om bgr.—[o] λέμμα Asbo et corr S: λεῖμμα *s.—[p] ἐχώριζε τὸ δέρμα τὸ νῦν λεγόμενον AFbr, ἐχώριζε τὸ τὸ νῦν λεγόμενον δέρμα SY, διεχωρίζετο δέρμα τὸ νῦν λεγόμενον o et γρ S.—[q] δὲ add Asbo.—[r] διὰ τὴν om pr Σ.—[s] περιημφιέννυεν AFSsdo, περιημφίεννε ΣΥΥe, περιημφίεινε x, περιημφίαινε g, περιημφίεσε r.—[t] ἦν δὲ g.—[u] συνέκλεισεν ΘΞΣΤΓSYqsxbegr: συνέκλειεν *s.—[v] αὐτῷ o.—[w] ὑπὸ r.—[x] ἅμα ΘΣΤΓΥxegor.—[y] ξυνάγουσα o, ξυναγωγοῦσα g.—[z] παντοδαπῶν περὶ pr A.—[a] στροφῆς o.—[b] δὲ g.—[c] πυρὶ S.—[d] τρηθέντος Coraës Hippocrat. de aëre

significatu vocis συμμέτρως, glossæ speciem præ se fert τοῦ κύκλῳ, nisi forte in ea delituit aliud quoddam, cui illam auctor nervorum circum collum plicationem comparavit. Quid si scriptum erat οἷον ἄμμα τι aut ὅμοια ἄμματι? Quemadmodum eandem ille adhibet vocem p. 76. A. Lind.

§. 53. ὀστεΐνην ψιλήν] Videtur scribendum ὀστεΐνην ψιλήν τε. Lind.

τρηθέντος[d] δὲ καὶ τῆς ἰκμάδος ἔξω δι' αὐτοῦ φερομένης τὸ μὲν ὑγρὸν καὶ θερμὸν ὅσον εἰλικρινὲς ἀπῆειν,[e] τὸ δὲ μικτὸν ἐξ ὧν καὶ τὸ δέρμα ἦν, αἰρόμενον μὲν[f] ὑπὸ τῆς φορᾶς ἔξω μακρὸν ἐτείνετο, λεπτότητα ἴσην ἔχον τῷ κατακεντήματι, διὰ δὲ βραδυτῆτα[g] ἀπωθούμενον[h] ὑπὸ[i] τοῦ περιεστῶτος ἔξωθεν πνεύματος πάλιν ἐντὸς[k] ὑπὸ τὸ[l] δέρμα εἰλλόμενον[m] κατερρίζοῦτο, καὶ κατὰ ταῦτα δὴ τὰ πάθη τὸ τριχῶν γένος[n] ἐν τῷ δέρματι πέφυκε, ξυγγενὲς μὲν ἱμαντῶδες ὂν αὐτοῦ, σκληρότερον δὲ καὶ πυκνώτερον τῇ πιλήσει τῆς ψύξεως, ἣν[o] ἀποχωριζομένη δέρματος ἑκάστη θριξ ψυχθεῖσα ξυνεπιλήθη.[p] τούτῳ[q] δὴ λασίαν[r] ἡμῶν ἀπειργάσατο τὴν κεφαλὴν ὁ ποιῶν, χρώμενος μὲν αἰτίοις τοῖς εἰρημένοις, διανοούμενος δὲ ἀντὶ σαρκὸς αὐτὸ[s] δεῖν εἶναι στέγασμα τῆς περὶ τὸν ἐγκέφαλον ἕνεκα ἀσφαλείας κοῦφον καὶ θέρους χειμῶνός τε ἱκανὸν σκιὰν καὶ σκέπην[t] παρέχειν, εὐαισθησίας[u] δὲ[v] οὐδὲν διακώλυμα ἐμποδὼν γενησόμενον. [§. 54.] Τὸ δὲ ἐν τῇ περὶ τοὺς δακτύλους καταπλοκῇ τοῦ νεύρου καὶ τοῦ δέρματος ὀστοῦ τε, ξυμμιχθὲν[w] ἐκ τριῶν, ἀποξηρανθὲν ἓν κοινὸν ξυμπάντων σκληρὸν γέγονε δέρμα,[x] τοῖς[y] μὲν ξυναιτίοις τούτοις δημιουργηθέν, τῇ δ' αἰτιωτάτῃ διανοίᾳ τῶν ἔπειτα ἐσομένων ἕνεκα εἰργασμένον· ὡς[z] γάρ ποτε ἐξ ἀνδρῶν γυναῖκες καὶ τἆλλα θηρία γενήσοιντο,[a] ἠπίσταντο οἱ ξυνιστάντες ἡμᾶς, καὶ δὴ καὶ τῆς[b] τῶν ὀνύχων χρείας ὅτι[c] πολλὰ τῶν θρεμμάτων καὶ ἐπὶ πολλὰ δεήσοιτο[d] ἤδεσαν, ὅθεν ἐν[e] ἀνθρώποις εὐθὺς γιγνομένοις ὑπετυπώσαντο τὴν τῶν ὀνύχων γένεσιν. τούτῳ δὴ τῷ λόγῳ καὶ ταῖς προφάσεσι ταύ-

III. ii. 111.

et locis tom. ii. p. 242. τρωθέντος ΑΘΣΥΤFSYsdegor, τρωθέντος Ξ, τροθέντος x: τρυθέντος s.—[e] ἀπῄειν ΥYxegr et pr ΑΣ: ἀπῄει *s.—[f] μὲν om x.—[g] βραχύτητα F.—[h] ἀποθούμενον Υ.—[i] ἀπὸ A.—[k] ἐντὸς om pr o.—[l] τὸ om Yr et, qui ὑπόδεμα, g.—[m] εἰλόμενον Θ, εἰλλόμενον Y et mg S, εἰλόμενον F, εἰλούμενον Ssgor et mg F.—[n] τὸ τριχῶν γένος ΑΘΥxdeg, τὸ τῶν τριχῶν γένος ΣFo, τῶν τριχῶν γένος pr Ξ: τῶν τριχῶν τὸ γένος *s.—[o] ἣ corr A.—[p] συνεπιλήφθη e.—[q] τούτων o.—[r] δασεῖαν o.—[s] αὐτῶ o.—[t] καὶ σκέπην om ΣΥxe: καὶ σκέπειν g.—[u] αἰσθησίας x.—[v] δ' sgor.—[w] ξ. Θ: συμμιχθέντος o.—[x] δέρμα om x.—[y] τοῖς...τῇ δ' αἰτιωτάτῃ] τῇ ἀρτιωτάτη d.—[z] ὡς...ἡμᾶς om d.—[a] γενήσοιντο ΑΥFSYqsxegor, γεννήσοιντο Θ, γενήσοιτο Σ: γενήσοιτο *s.—[b] καὶ δὴ καὶ τὸ τῆς so et mg S, καὶ δὴ τῆς Yr.—[c] ὅτι om SYsr et pr Θ: ὅτι...γένεσιν om d.—[d] δεήσοιτο ΘΤFSYsxegor: δεήσοιντο *s.—[e] ἐν

ταις δέρμα, τρίχας ὄνυχάς[f] τε ἐπ' ἄκροις τοῖς κώλοις ἔφυσαν.[g]

§. 55. Ἐπειδὴ[h] δὲ πάντ' ἦν τὰ τοῦ θνητοῦ ζώου ξυμπεφυκότα μέρη καὶ μέλη, τὴν δὲ ζωὴν ἐν πυρὶ καὶ πνεύ- III. 77.
ματι ξυνέβαινεν ἐξ ἀνάγκης[i] ἔχειν αὐτῷ,[k] καὶ διὰ ταῦτα[l] ὑπὸ τούτων τηκόμενον κενούμενόν τε ἔφθινε, βοήθειαν αὐτῷ θεοὶ μηχανῶνται. τῆς γὰρ ἀνθρωπίνης ξυγγενῆ φύσεως φύσιν ἄλλαις ἰδέαις καὶ αἰσθήσεσι κεραννύντες, ὥσθ' ἕτερον ζῶον εἶναι,[m] φυτεύουσιν· ἃ δὴ[n] νῦν ἥμερα δένδρα καὶ φυτὰ καὶ σπέρματα παιδευθέντα[o] ὑπὸ γεωργίας τιθασῶς[p] πρὸς ἡμᾶς ἔσχε,[q] πρὶν[r] δ' ἦν[s] μόνα τὰ τῶν ἀγρίων γένη, πρεσ- III. ii. 112.
βύτερα τῶν ἡμέρων ὄντα. πᾶν[t] γὰρ οὖν,[v] ὅ τί περ ἂν μετάσχῃ[w] τοῦ ζῆν, ζῶον μὲν ἂν ἐν δίκῃ λέγοιτο ὀρθότατα· μετέχει γε μὴν τοῦτο ὃ νῦν λέγομεν τοῦ τρίτου ψυχῆς[x] εἴδους, ὃ μεταξὺ[y] φρενῶν ὀμφαλοῦ τε ἱδρύσθαι λόγος, ᾧ δόξης μὲν λογισμοῦ τε καὶ νοῦ μέτεστι τὸ μηδέν, αἰσθήσεως δὲ ἡδείας[z] καὶ ἀλγεινῆς μετὰ ἐπιθυμιῶν. πάσχον γὰρ διατελεῖ πάντα,[a] στραφέντι δ' αὐτῷ ἐν ἑαυτῷ[b] περὶ ἑαυτό,[c] τὴν μὲν ἔξωθεν ἀπωσαμένῳ κίνησιν, τῇ δ' οἰκείᾳ χρησαμένῳ, τῶν αὐτοῦ[d] τι λογίσασθαι κατιδόντι φύσιν[e]

om o.—[f] τρίχες ὄυνχές b.—[g] ἐφύτευσαν (ut videtur) pr A.—[h] ἐπειδὴ A: ἐπεὶ *s.—[i] ἀνου r.—[k] αὐτῷ ΑΘFSYqsor et pr Υ: αὐτὸ s.—[l] τ' sor, om A.—[m] εἶναι om o.—[n] δὴ add ΑΘFSYsgor.—[o] παιδευθέντα A: φυτευθέντα *s.—[p] τιθασῶς ΑΘΤFo et pr Ξ.—[q] ἔσχε πρὸς ἡμᾶς s.—[r] πλην F.—[s] δὴ ΘΣΤFSYsxegr.—[t] πάντα ΣFSYx r.—[v] οὖν add ΑΘΣΤFSYqsxegor.—[w] μετάσχοι SYsgr.—[x] τῆς ψυχῆς r.—[y] μεταξύ τε F.—[z] εἰδυίας r.—[a] πάντοτε s et pr So.—[b] ἐν ἑαυτῷ add ΑΘΤFSYqsxegor.—[c] ταυτὸ o: αὐτὸ s.—[d] αὐτοῦ ΑΘΣΤF.—[e] φύσει ΑΘΥSqsxgo et corr F, φύσει Σ, ιν

§. 55. φυτευθέντα] Cod. quidem Tub. elegantiorem offert lectionem παιδευθέντα loco vulgaris φυτευθέντα, quæ, quum antecesserit proxime vox φυτὰ, omnino languet. Cf. huic locus apud Hippocrat. π. ἀ. ὑ. κ. cap. 75. Lind.

τῇ δ' οἰκείᾳ χρησαμένῳ] Loci omnibus partibus bene consideratis primum videtur, in locum vulgaris τῇ δ' οἰκείᾳ χρησαμένῳ, quod, tametsi adjeceris, quod abest, μὴ, ineptum loco, si quidem, moveaturne planta necne, non pendet ex ejus arbitrio, scribendum τὴν δ' οἰκείαν μὴ κτησαμένῳ, cui, quæ infra sunt verba, διὰ τὸ τῆς ὑφ' ἑαυτοῦ κινησίως ἑστερῆσθαι, optime congruunt. Tum verba, ἐστὶ δὲ οὐχ ἕτερον ζῴου, habent quod animum legentis fastidit, cui ne mutatio quidem τοῦ δὲ in τε medetur. Etenim primum eo modo perditur elegans ille duplicis adversativæ usus solemnis Platoni. Ut p. 68. B. πυρὸς γένος, πρὸς μὲν τὸ—ὑγρὸν ἀφικνούμενον—στίλβον δὲ οὐ—τῇ δὲ—αὐγῇ τοῦ πυρὸς etc. Tum, cur planta non differat ab animali, non intelligitur, siquidem motus spontanei caret facultate, quo gaudet animal. Non pudet igitur me olim conjecisse ἐστὶ δὲ οὐχ ἕτερον ζῷον, cui conjecturæ non ea solum quæ subsequuntur, bene respondent, sed etiam locus opitulatur Epinomidis p. 981. D. cujus operis auctor

οὐ παραδέδωκεν[f] ἡ γένεσις.[g] διὸ δὴ ζῇ μὲν ἔστι τε[h] οὐχ ἕτερον ζῴου, μόνιμον δὲ[i] καὶ[k] κατερριζωμένον πέπηγε[l] διὰ τὸ τῆς ὑφ' ἑαυτοῦ κινήσεως[m] ἐστερῆσθαι.

§. 56. Ταῦτα δὴ τὰ γένη πάντα[n] φυτεύσαντες οἱ κρείττους τοῖς ἥττοσιν ἡμῖν τροφήν, τὸ[o] σῶμα αὐτὸ ἡμῶν διωχέτευσαν τέμνοντες οἷον ἐν κήποις ὀχετούς, ἵν'[p] ὡς περ[q] ἐκ νάματος[r] ἐπιόντος ἄρδοιτο. καὶ πρῶτον μὲν ὀχετοὺς κρυφαίους[s] ὑπὸ τὴν ξύμφυσιν τοῦ δέρματος καὶ τῆς σαρκὸς δύο φλέβας ἕτερον νωτιαίας,[t] δίδυμον,[u] ὡς τὸ σῶμα ἐτύγχανεν δεξιοῖς τε[v] καὶ ἀριστεροῖς ὄν. ταύτας δὲ καθῆκαν[w]
III. ii. 113. παρὰ[x] τὴν ῥάχιν, καὶ τὸν γονιμον μεταξὺ λαβόντες μυελόν, ἵνα οὗτός τε ὅτι μάλιστα θάλλοι, καὶ ἐπὶ τἆλλα[y] εὔρους[z] ἐντεῦθεν ἅτ' ἐπὶ κάταντες[a] ἡ ἐπίχυσις γιγνομένη παρέχοι[b] τὴν ὑδρείαν[c] ὁμαλήν. μετὰ δὲ ταῦτα σχίσαντες περὶ τὴν κεφαλὴν τὰς φλέβας καὶ δι' ἀλλήλων ἐναντίας πλέξαντες[d] διεῖσαν·[e] τὰς μὲν ἐκ τῶν δεξιῶν ἐπὶ[f] τἀριστερὰ τοῦ σώματος, τὰς δ' ἐκ τῶν[g] ἀριστερῶν[h] ἐπὶ τὰ δεξιὰ κλίναντες, ὅπως δεσμὸς ἅμα τῇ κεφαλῇ πρὸς τὸ σῶμα εἴη μετὰ τοῦ δέρματος, ἐπειδὴ νεύροις οὐκ ἦν κύκλῳ κατὰ κορυφὴν περιειλημμένη,[i] καὶ δὴ καὶ[k] τὸ

φύσιν Y.—[f] παρέδωκεν F.—[g] γεῦσις corr F.—[h] τε AΘFSYsr: δὲ *s.—[i] δὲ om x.—[k] καὶ add AFo et rc Θ.—[l] πέφυκε r.—[m] κρισεως S.—[n] πάντα add AΘFSYsgor.—[o] τὸ σῶμα αὐτὸ AΘΣTFSYqsxego, τὸ σῶμα ἡμῶν αὐτὸ r: τῷ σώματι s.—[p] ἵν'... ὀχετοὺς om pr F.—[q] περ om mg F.—[r] πνεύματος SYsr et corr o, qui pr νεύματος.—[s] κρυφαίως A, κρυφίους s.—[t] νοτιαίους Θ.—[u] διδύμους corr A, διδύμοις F.—[v] τε om F.—[w] καθῆκεν Ξ.—[x] περὶ Fs, πρὸς r.—[y] τἆλλα vel τἄλλα ΘΣTFSYsxegor: τὰ ἄλλα *s.—[z] εὔρρους Y.—[a] ἀντεπικα ταντες corr o.—[b] παρέχη ΞΣYeg.—[c] ὑδρίαν r.—[d] πλέξαντες...νεύροις in lacuna rc suppleta r.—[e] διίστασαν γρ A.—[f] ἀπο o.—[g] τῶν om Ss.—[h] τἀριστερὰ A: τὰ ἀριστερὰ *s.—[i] περιειλημμένη AFq, περιειλημ-

quisquis est, locum nostrum significans dicit, καὶ ὅσα πορεύσιμα, καὶ ὅσα μόνιμα καὶ διειλημμένα ῥίζαις. At hæc nunc retractantem subiit lenior loci mutatio. Quid si scriberetur, ἐστὶ δὲ οὐχ ἑταῖρον ζῴων, quæ res sensus facilitate minus, quam vocum similitudine commendatur, siquidem voces ἑταῖρος et ἕτερος persæpe, etiam in Platonis libris, commutatæ reperiuntur. Cf. Plat. Phædr. p. 267. ed. Heind. Sympos. p. 183. C. Lind.

τῆς ἀφ' ἑαυτοῦ] Apud Galenum, τῆς ἔξω ἑαυτοῦ κινήσεως. Steph.

§. 56. πλέξαντες] Cod. Tub. πέξαντες. Forte πήξαντες. Bip.

διειλημμένη] Cod. Tub. περιειλημένη, quod videtur præstare. Sequitur ἵν'—ᾗ διαδιδόμενον. Scribe hic εἴη loco τοῦ ᾗ, quod sicuti præcedens ὅπως—εἴη— pendet ab antecedentibus διεῖσαν—κλίναντες. Lind.

τῶν αἰσθήσεων πάθος ἴν' ἀφ' ἑκατέρων τῶν μερῶν εἰς ἅπαν τὸ σῶμα εἴη[l] διαδιδόμενον.[m] τὸ δ' ἐντεῦθεν ἤδη τὴν ὑδραγωγίαν[n] παρεσκεύασαν τρόπῳ τινὶ τοιῷδε, οὗ κατο- III. 78.
ψόμεθα ῥᾷον προδιομολογησάμενοι τὸ τοιόνδε, ὅτι πάντα ὅσα[o] ἐξ ἐλαττόνων ξυνίσταται[p] στέγει[q] τὰ μείζω, τὰ δ' ἐκ μειζόνων τὰ σμικρότερα[r] οὐ δύναται, πῦρ δὲ πάντων γενῶν σμικρομερέστατον, ὅθεν δι' ὕδατος καὶ γῆς ἀέρος τε καὶ ὅσα ἐκ τούτων ξυνίσταται[s] διαχωρεῖ[t] καὶ στέγειν οὐδὲν αὐτὸ δύναται. ταὐτὸν[u] δὴ καὶ περὶ τῆς παρ' ἡμῖν κοιλίας διανοητέον, ὅτι σιτία μὲν καὶ ποτὰ ὅταν εἰς αὐτὴν ἐμπέσῃ στέγει,[v] πνεῦμα δὲ καὶ πῦρ σμικρομερέστερα[w] ὄντα III. ii. 114.
τῆς αὐτῆς ξυστάσεως οὐ δύναται. [§. 57.] Τούτοις οὖν κατεχρήσατο ὁ θεὸς εἰς τὴν ἐκ τῆς κοιλίας ἐπὶ τὰς φλέβας ὑδρείαν, πλέγμα ἐξ ἀέρος καὶ πυρὸς οἷον οἱ κύρτοι[x] ξυνυφηνάμενος, διπλᾶ κατὰ τὴν εἴσοδον ἐγκύρτια ἔχον,[y] ὧν θάτερον αὖ[z] πάλιν διέπλεξε[a] δίκρουν· καὶ ἀπὸ τῶν ἐγκυρτίων δὴ διετείνατο[b] οἷον σχοίνους κύκλῳ διὰ παντὸς πρὸς τὰ ἔσχατα τοῦ πλέγματος. τὰ μὲν οὖν ἔνδον ἐκ πυρὸς ξυνεστήσατο[c] τοῦ πλοκάνου[d] ἅπαντα, τὰ δ' ἐγκύρτια καὶ τὸ κύτος[e] ἀεροειδῆ.[f] καὶ λαβὼν αὐτὸ[g] περιέστησε[h] τῷ[i] πλασθέντι ζῴῳ τρόπον τοιόνδε.[j] τὸ[k] μὲν τῶν ἐγκυρτίων εἰς τὸ

περι
μένην O, διειλημμένη S, διειλημμένην ΥΧregr : διειλημμένη s.—[k] καὶ post δὴ add
ηλ
ASηO.—[l] εἴη ASYqsgor : ᾖ s.—[m] διδόμενον Ξ, διδόν Θ, διαδιδόν F, διαδιδόν A, διάδηλον O : διαδιδόμενον cum *s corr Υ.—[n] ὑδραγωγείαν sr.—[o] ὅσα om g.—[p] ξ.
ξ
AFsxo, σ. S.—[q] στέργει g.—[r] σμικρομερέστερον O.—[s] ξ. ΑΘΣΤΥxego.—[t] διαχωρίζει A.—[u] ταυτὸν ΑΘΡοr : ταυτὸ *s.—[v] στέγη Ξ, στέργειν g.—[w] σμικρομερέστερα ASsxo, μικρομερέστατα F : μικρομερέστερα *s.—[x] οἷον οἱ κύρτοι ΘΞΣΤSqsxeg or, οἷον ἡ κύρτη F : οἷοι κύρτοι *s.—[y] ἔχον qO, ἐχόντων s : ἔχοντος *s.—[z] αὖ add
ε
A.—[a] διέπλεξαν ΘSYsr, διέπλεξαν F.—[b] διετείνετο Ξ.—[c] ξ. ΑΞΣ.—[d] πλοχάνου
νου
(corr in χ) A, πλοκάμου O, πλομάνου e.—[e] κῦτος (ut semper) ΞΥ, (ut plerumque)
ε
F : κύρτος s.—[f] ἀεροειδές O.—[g] αὐτὸ ΑΘFSYs et pr Υ : αὐτὰ *s.—[h] περιέστησαν F.—[i] ante τῷ omisi ἐν cum A.—[j] τρόπον τοιόνδε ΑΘFSYqs et pr Υ : τρόπῳ τοιῷδε

§. 57. οἷοι κύρτοι] Quisque videt, cum Cod. Tub. primum scribendum hic esse οἷον οἱ κύρτοι loco vulgaris οἷοι κύρτοι: tum ἔχον loco ἔχοντος, quod pertinet ad πλέγμα. Subsequuntur verba: ὧν sc. ἐγκυρτίων, θάτερον scil. superius, πάλιν διέπλεξε δίκρουν. Ut infra est, διπλοῦ δὲ ὄντος αὐτοῦ τόδ', i. e. τῶν ἐγκυρτίων, εἰς τὴν κοιλίαν. Lind.

στόμα μεθῆκε, διπλοῦ δὲ ὄντος αὐτοῦ κατὰ μὲν τὰς ἀρτηρίας εἰς τὸν πλεύμονα[l] καθῆκε θάτερον, τὸ δ' εἰς τὴν κοιλίαν παρὰ[m] τὰς ἀρτηρίας· τὸ δ' ἕτερον σχίσας τὸ μέρος ἑκάτερον κατὰ τοὺς ὀχετοὺς τῆς ῥινὸς ἀφῆκε κοινόν, ὥσθ' ὅτε μὴ κατὰ στόμα ἴοι θάτερον, ἐκ τούτου πάντα καὶ[n] τὰ ἐκείνου ῥεύματα ἀναπληροῦσθαι. τὸ δ' ἄλλο κύτος[o] τοῦ κύρτου[p] περὶ τὸ σῶμα[q] ὅσον κοῖλον ἡμῶν περιέφυσε, καὶ πᾶν δὴ τοῦτο τοτὲ[r] μὲν εἰς τὰ ἐγκύρτια ξυῤῥεῖν[s] μαλακῶς, ἅτε ἀέρα ὄντα, ἐποίησε, τοτὲ δὲ[t] ἀναῤῥεῖν μὲν τὰ ἐγ-
III. ii. 115. κύρτια, τὸ δὲ πλέγμα, ὡς ὄντος τοῦ σώματος μανοῦ, δύεσθαι εἴσω δι' αὐτοῦ καὶ πάλιν ἔξω, τὰς δ' ἐντὸς τοῦ πυρὸς ἀκτῖνας διαδεδεμένας[u] ἀκολουθεῖν ἐφ' ἑκάτερα ἰόντος τοῦ ἀέρος, καὶ τοῦτο, ἕως[v] περ ἂν[w] τὸ θνητὸν ξυνεστήκῃ[x] ζῷον, μὴ διαπαύεσθαι γιγνόμενον. τούτῳ[y] δὲ[z] δὴ[a] τῷ γένει τὸν τὰς ἐπωνυμίας θέμενον ἀναπνοὴν καὶ ἐκπνοὴν λέγομεν[b] θέσθαι τοὔνομα. πᾶν δὲ δὴ τό τ' ἔργον καὶ τὸ πάθος τοῦθ' ἡμῶν τῷ σώματι γέγονεν ἀρδομένῳ καὶ ἀναψυχομένῳ τρέφεσθαι καὶ ζῆν· ὁπόταν γὰρ ἔσω[c] καὶ ἔξω τῆς ἀναπνοῆς ἰούσης[d] τὸ πῦρ ἐντὸς ξυνημμένον[e] ἕπηται, διαιωρούμενον[f] δὲ
III. 79. ἀεὶ διὰ τῆς κοιλίας εἰσελθὸν τὰ σιτία καὶ ποτὰ λάβῃ,[g] τήκει δή,[h] καὶ κατὰ σμικρὰ διαιροῦν, διὰ τῶν ἐξόδων ᾗ περ πορεύεται διάγον, οἷον ἐκ κρήνης ἐπ' ὀχετοὺς ἐπὶ τὰς φλέβας ἀντλοῦν αὐτά,[i] ῥεῖν[k] ὡς περ δι'[l] αὐλῶνος[m] τοῦ[n] σώματος[o] τὰ τῶν φλεβῶν ποιεῖ ῥεύματα.

*s.—[k] τὸ post εἰς om F.—[l] πλεύμονα, ut semper, A : πνεύμονα *s.—[m] περὶ Σxeg t cum pr Ξ et corr Υ.—[n] καὶ om F.—[o] κύρτος Ysτ.—[p] ὑποκυρτίου o.—[q] στόμα Fτ.—[r] ὁτὲ FSYqsτ et rc o.—[s] συρρεῖ pr o.—[t] δὲ om g.—[u] διαδεδομένας xg, διαδεμένας eo.—[v] ὅς *s.—[w] αὐτὸ Υ, om x.—[x] τὸ θνητὸν ξυνεστήκῃ AΘFSYqsgoτ, τὸ θνητὸν ξυνεστήκει gτ, ξυνεστήκει τὸ θνητὸν Ξxe, ξυνεστήκει θνητὸν Υ : ξυνεστήκῃ τὸ θνητὸν *s.—[y] τοῦτο g.—[z] δὲ om Θ.—[a] δὴ om Ysgτ.—[b] λέγωμεν F.—[c] εἴσω AΘ FSYsoτ.—[d] οὔσης A.—[e] ξυνημένον g.—[f] διαιρούμενον ΣΥsxegτ et pr AΞ.—[g] λάβῃ AΘFSYsxeoτ : λάβοι *s.—[h] δὲ g.—[i] αὐτὰς FSYsoτ.—[k] ῥεῖν om x.—[l] δι' add FS

διαδεδεμένας ἀκολουθεῖν] Præter Ficinum etiam Serranus illud διαδεδεμένας ἀκολουθεῖν vertit, *copulatos subsequi*. Num διαδεῖσθαι significat *copulari*; et, ut significet, quo tandem hic modo consiliove *copulatos*. Atqui verba ἐφ' ἑκάτερα ἰόντος ἀέρος nonne dicta loco ἐξιόντος καὶ εἰσιόντος πάλιν τοῦ ἀέρος; quem *huc illucque* motum quum etiam radii ignis, aerem sequentes, faciant, quomodo poterat melius exprimi nisi voce διαδεδεγμένας, quam olim conjecisse etiam nunc non pœnitet? In verbis denique ὥσπερ ἂν ξυνεστήκῃ rescribatur necesse est ἕωσπερ ἂν etc. LIND.

λάβοι] Cum Cod. Tub. scribe λαβῇ. LIND.

αὐλῶνος] Fortasse præpositio διὰ ante

§. 58. Πάλιν δὲ τὸ τῆς ἀναπνοῆς ἴδωμεν πάθος, αἷς χρώμενον αἰτίαις[p] τοιοῦτον[q] γέγονεν οἷόν περ τὰ νῦν ἐστίν. ὧδ' οὖν. ἐπειδὴ κενὸν[r] οὐδέν ἐστιν εἰς ὃ τῶν φερομένων δύναιτ' ἂν εἰσελθεῖν τι, τὸ δὲ πνεῦμα φέρεται παρ' ἡμῶν ἔξω, τὸ μετὰ[s] τοῦτο ἤδη παντὶ δῆλον ὡς οὐκ εἰς κενόν, ἀλλὰ τὸ πλησίον ἐκ τῆς ἕδρας ὠθεῖ· τὸ δὲ[t] ὠθούμενον ἐξελαύνει[u] III. ii. 116. τὸ πλησίον ἀεί,[v] καὶ[w] κατὰ ταύτην τὴν ἀνάγκην πᾶν περιελαυνόμενον εἰς τὴν ἕδραν, ὅθεν ἐξῆλθε τὸ πνεῦμα, εἰσιὸν[x] ἐκεῖσε καὶ ἀναπληροῦν αὐτὴν ξυνέπεται[y] τῷ πνεύματι, καὶ τοῦτο ἅμα πᾶν οἷον τροχοῦ περιαγομένου γίγνεται διὰ τὸ κενὸν μηδὲν εἶναι. διὸ δὴ τὸ τῶν στηθῶν καὶ τὸ[z] τοῦ πλεύμονος ἔξω μεθιὲν τὸ πνεῦμα πάλιν ὑπὸ τοῦ περὶ τὸ σῶμα ἀέρος, εἴσω διὰ μανῶν τῶν σαρκῶν δυομένου καὶ περιελαυνομένου, γίγνεται πλῆρες· αὖθις δὲ ἀποτρεπόμενος ὁ ἀὴρ καὶ διὰ τοῦ σώματος[a] ἔξω ἰὼν εἴσω τὴν ἀναπνοὴν περιωθεῖ κατὰ τὴν τοῦ στόματος καὶ τὴν[b] τῶν μυκτήρων δίοδον. [§. 59.] Τὴν δὲ[c] αἰτίαν τῆς ἀρχῆς αὐτῶν θετέον τήνδε. πᾶν ζῶον αὐτοῦ[d] ταὐτὸς[e] περὶ τὸ αἷμα καὶ τὰς φλέβας θερμότατα[f] ἔχει, οἷον ἐν ἑαυτῷ[g] πηγήν τινα ἐνοῦσαν πυρός· ὃ δὴ καὶ προσηκάζομεν[h] τῷ τοῦ κύρτου πλέγματι, κατὰ μέσον διατεταμένον ἐκ πυρὸς πεπλέχθαι πᾶν, τὰ δὲ ἄλλα, ὅσα ἔξωθεν,[i] ἀέρος. τὸ θερμὸν δὴ[k] κατὰ φύσιν εἰς τὴν αὐτοῦ χώραν

Ys et rc Θ.—[m] αὐλῶν Ss, αὐλῶνας o.—[n] ante τοῦ omisi διὰ cum SYsx.—[o] στόματος o.—[p] αἰτίοις s.—[q] τοιοῦτο Ssxe.—[r] καινὸν Ss.—[s] τὸ δὴ μετὰ o.—[t] δ' sxegr.—[u] ἐξελαύνειν F.—[v] ἀεὶ om r.—[w] καὶ om S.—[x] εἰσιὼν Ξ.—[y] ξυνέπεσε r.—[z] τὸ post καὶ om FSYsgr.—[a] στόματος Ss.—[b] τὴν ante τῶν om Fgo.—[c] δ' g.—[d] αὐτοῦ Ss, ἑαυτοῦ corr A.—[e] ταὐτὸς Fq et corr Θ, τὰ ἐντὸς o, παντὸς ΣΥSYsxegr: πάντως *s.—[f] θερμότατα ΣΥYsor: θερμότητα *s.—[g] ἑαυτῷ A: αὐτῷ s.—[h] προσηκάζομεν pr

genitivum αὐλῶνος, sicut et ante σώματος, a Plat. scripta fuit. Steph.

αὐλῶνος διὰ τοῦ σώματος] Stephanus quidem vocalem διὰ inserens ante αὐλῶνος neglexit locum illi ratione persimilem, qui est p. 91. D. κᾆτα δρέψαντες ὡς εἰς ἄρουραν, τὴν μήτραν, mutato tantum præpositionis loco. Ut de Legg. x. p. 905. B. κᾆτα, ὡς ἐν κατόπτροις, αὐτῶν ταῖς πράξεσιν ἡγήσω καθεωρακέναι τὴν πάντων ἀμέλειαν θεῶν. Lind.

§. 59. πᾶν ζῶον αὐτοῦ πάντως] *Omne hujus universi animal in venis et sanguine calorem possidet.* Sic vertit Ficinus. An legit ille τοὐτου τοῦ πάντος, quod non male, siquidem et πάντως hic abundat, nec αὐτοῦ intelligitur? Lind.

πεπλέχθαι] Merito suspectum habeat quispiam hunc locum, quum προσεικάζομεν non apte jungatur infinitivo πεπλέχθαι: nisi cogitet προσεικάζομεν accipiendum pro προσεικάζοντες ἐλέγομεν: perinde ac si dixisset, ὃ δὴ καὶ προσεικάζοντες τῷ τοῦ κύρτου πλέγματι, ἐλέγομεν κατὰ μέσον διατεταμένον, ἐκ πυρὸς πεπλέχθαι πᾶν. Steph.

ἔξω πρὸς τὸ[l] ξυγγενὲς ὁμολογητέον ἰέναι.[m] δυεῖν[n] δὲ ταῖν[o] διεξόδοιν οὔσαιν, τῆς μὲν κατὰ τὸ σῶμα[p] ἔξω, τῆς δὲ[q] αὖ κατὰ τὸ[r] στόμα καὶ τὰς ῥῖνας, ὅταν μὲν ἐπὶ θάτερα[s] ὀρ-
III. ii. 117. μήσῃ, θάτερα περιωθεῖ·[t] τὸ δὲ περιωσθὲν εἰς τὸ πῦρ ἐμπῖπτον θερμαίνεται, τὸ δ' ἐξιὸν ψύχεται. μεταβαλλούσης[u] δὲ τῆς θερμότητος καὶ τῶν[v] κατὰ τὴν ἑτέραν ἔξοδον θερμοτέρων[w] γιγνομένων πάλιν ἐκείνῃ ῥέπον αὖ[x] τὸ θερμότερον[y] μᾶλλον,[z] πρὸς τὴν αὐτοῦ φύσιν φερόμενον, περιωθεῖ τὸ κατὰ[a] θάτερα· τὸ δὲ τὰ αὐτὰ[b] πάσχον καὶ τὰ αὐτὰ ἀνταποδιδὸν[c] ἀεί, κύκλον[d] οὕτω σαλευόμενον ἔνθα καὶ ἔνθα ἀπειργασμένον[e] ὑπ' ἀμφοτέρων τὴν ἀναπνοὴν καὶ ἐκπνοὴν[f] γίγνεσθαι παρέχεται.

§. 60. Καὶ δὴ καὶ τὰ[g] τῶν περὶ τὰς ἰατρικὰς σικύας
III. 80. παθημάτων αἴτια καὶ τὰ τῆς καταπόσεως[h] τά τε τῶν ῥιπτουμένων,[i] ὅσα ἀφεθέντα μετέωρα καὶ ὅσα ἐπὶ γῆς φέρεται, ταύτῃ[k] διωκτέον, καὶ ὅσοι φθόγγοι ταχεῖς καὶ[l] βραδεῖς ὀξεῖς τε καὶ βαρεῖς φαίνονται, τοτὲ μὲν ἀνάρμοστοι φερόμενοι δι' ἀνομοιότητα τῆς[m] ἐν ἡμῖν ὑπ' αὐτῶν κινήσεως, τοτὲ δὲ ξύμφωνοι δι' ὁμοιότητα. τὰς γὰρ τῶν προτέρων καὶ θαττόνων οἱ βραδύτεροι[n] κινήσεις ἀποπαυομένας ἤδη τε[o] εἰς ὅμοιον ἐληλυθυίας, αἷς[p] ὕστερον αὐτοὶ προσφερόμενοι κινοῦσιν ἐκείνας,[q] καταλαμβάνουσι,[r] καταλαμβά-
III. ii. 118. νοντες δὲ οὐκ ἄλλην ἐπεμβάλλοντες ἀνετάραξαν[s] κίνησιν, ἀλλ' ἀρχὴν βραδυτέρας φορᾶς κατὰ τὴν τῆς θάττονος

A: προσεικάζομεν *s.—[j] ἔξωθεν om 0.—[k] δὴ om r.—[l] τὸ om x.—[m] ἰέναι F.—[n] δυεῖν SYsr: δυοῖν s.—[o] τοῖν 0.—[p] στόμα r.—[q] δ' 0.—[r] τὸ om Ξ.—[s] θάτερον... θάτερον s.—[t] περιωθὲν gr.—[u] μεταβαλλούσης ΘΣΥFSYqxεgr: μεταβαλούσης *s.—[v] τῶν om r.—[w] θερμοτέραν ΣΥ.—[x] ἦν Ss. τὸ om F.—[y] θερμότερον αὐτὸ ῥέπον 0.—[z] αὖ SYs, οὖν r.—[a] τὰ κατὰ F.—[b] κατὰ ταυτὰ 0.—[c] ἀποδιδὸν g.—[d] κύκλον εἰς
A: κύκλῳ *s.—[e] ἀπειργασμένων x.—[f] ἐκπνοὴν S, εἰς ἐκπνοὴν s.—[g] κατὰ Σ, om pr Υ.—[h] καταπόσεως As0 et corr S: πόσεως *s.—[i] ῥιπτομένων g.—[k] ταυτὶ F.—[l] ταχεῖς τε καὶ A.—[m] τῆς om g.—[n] αἱ βραδύτεραι 0.—[o] τε om e.—[p] ἐς mg F.—[q] ἐκείνας καὶ F.—[r] καταλαμβάνουσι om r.—[s] ἀνετάραξαν ΑΘF0: ἐνετάραξαν *s.—

ἔνθα καὶ ἔνθα ἀπειργασμένον ὑπ' ἀμφοτέρων] Hæc verba glossema videntur esse proximorum ἀνταποδιδὸν ἀεὶ κύκλῳ οὕτω σαλευόμενον. LIND.

§. 60. κατὰ τὴν τῆς] In Græcis legendum, ἀλλ' ἀρχὴν βραδυτέρας φορᾶς, κατὰ τελευτὴν τῆς θάττονος. Vulgo τὴν habetur pro τελευτήν. CORNAR.

κατὰ τὴν] Pro artic. τὴν affertur alia lectio, videlicet τελευτήν: quum tamen legendo τελευτὴν, possit etiam retineri ille articulus, ut et præfigatur. Fic. autem cum hoc artic. subaudit nomen ἀρχὴν, repetitum ex præced. vertit enim,

ἀπολῃγούσης δὲ ὁμοιότητα προσάψαντες μίαν ἐξ ὀξείας καὶ βαρείας ξυνεκεράσαντο[t] πάθην, ὅθεν ἡδονὴν μὲν τοῖς ἄφροσιν, εὐφροσύνην δὲ τοῖς ἔμφροσι[u] διὰ τὴν τῆς θείας ἁρμονίας μίμησιν ἐν θνηταῖς γενομένην φοραῖς παρέσχον. Καὶ δὴ καὶ τὰ τῶν ὑδάτων πάντα[v] ῥεύματα, ἔτι δὲ τὰ[w] τῶν κεραυνῶν πτώματα καὶ τὰ θαυμαζόμενα ἠλέκτρων πέρι τῆς ἕλξεως καὶ τῶν Ἡρακλείων λίθων, πάντων τούτων ὁλκὴ μὲν οὐκ ἔστιν οὐδενί ποτε, τὸ[x] δὲ κενὸν εἶναι μηδὲν περιωθεῖν τε αὐτὰ ταῦτα εἰς ἄλληλα, τό[x] τε διακρινόμενα καὶ συγκρινόμενα πρὸς τὴν αὑτῶν διαμειβόμενα[y] ἕδραν ἕκαστα ἰέναι πάντα,[z] τούτοις τοῖς παθήμασι πρὸς ἄλληλα συμπλεχθεῖσι τεθαυματουργημένα τῷ κατὰ τρόπον ζητοῦντι φανήσεται.

§. 61. Καὶ δὴ καὶ τὸ τῆς ἀναπνοῆς, ὅθεν ὁ λόγος ὥρμησε, κατὰ ταῦτα[a] καὶ διὰ τούτων[b] γέγονεν, ὡς περ ἐν τοῖς πρόσθεν εἴρηται, τέμνοντος μὲν τὰ σιτία τοῦ πυρός, αἰωρουμένου[c] δὲ ἐντὸς[d] τῷ πνεύματι ξυνεπομένου, τὰς φλέβας δὲ ἐκ τῆς κοιλίας τῇ[e] ξυναιωρήσει[f] πληροῦντος τῷ τὰ τετμημένα αὐτόθεν[g] ἐπαντλεῖν καὶ διὰ ταῦτα δὴ καθ' ὅλον τὸ[h] σῶμα πᾶσι τοῖς ζώοις τὰ τῆς τροφῆς νά- III. ii. 119.
ματα οὕτως ἐπίῤῥυτα γεγονέναι.[i] νεότμητα[k] δὲ καὶ ἀπὸ[l] ξυγγενῶν ὄντα, τὰ μὲν καρπῶν, τὰ δὲ χλόης, ἃ θεὸς ἐπ' αὐτὸ τοῦθ' ἡμῖν ἐφύτευσεν, εἶναι τροφήν, παντοδαπὰ μὲν χρώματα ἴσχει διὰ τὴν ξύμμιξιν, ἡ δ' ἐρυθρὰ πλείστη περὶ αὐτὸ χρόα διαθεῖ,[m] τῆς τοῦ πυρὸς τομῆς τε[n] καὶ ἐξομόρξεως ἐν ὑγρῷ δεδημιουργημένη φύσις· ὅθεν τοῦ κατὰ

[t] ξ. ΑΘΣΤΣΥ.regor.—[u] εὖ φρονοῦσι ο.—[v] πάντα om o.—[w] τὰ post δὲ add AFo.—[x] τῷ s cum corr S et mg F.—[y] διαμειβόμενοι υ.—[z] πάντη S.—[a] ταυτὰ A.—[b] τοῦτο Ss, τούτου F.—[c] αἰρουμένου pr Ξ.—[d] ὄντος x.—[e] τε A.—[f] ξυνεωρίση Θ.—[g] αὐτόθεν om g.—[h] τῶ S.—[i] γέγονε o.—[k] νεότμημα Θ.—[l] ἀπὸ τῶν ξ. s.—[m] διαθρεῖ x.

Sed tardioris lutionis initium secundum principium velocioris inducunt. Steph.

τὸ δὲ κενὸν] Repono τῷ δὲ κενὸν etc. itidemque paulo post, τῷ τε διακρινόμενα etc. ut hic τῷ cum ἰέναι, illic cum εἶναι, jungatur, id est, διὰ τὸ εἶναι, et διὰ τὸ ἰέναι. Steph.

§. 61. ἐπαντλεῖν] Cod. Tub. præferendam vulgari offert lectionem ἀπαντλεῖν. Lind.

διαθεῖ] *Sed plurimus in his rubens prævalet color.* Sic Ficinus. Quasi ille legisset διαφέρει, nisi forte διαθεῖ ad motum simul referendi est sanguinis. Lind.

τὸ σῶμα ῥέοντος τὸ χρῶμα ἔσχεν οἵαν ὄψιν διεληλύθαμεν, ὃ καλοῦμεν αἷμα, νομὴν[o] σαρκῶν[p] καὶ ξύμπαντος
III. 81. τοῦ σώματος, ὅθεν ὑδρευόμενα ἕκαστα πληροῖ τὴν τοῦ κενουμένου[q] βάσιν.[r] ὁ δὲ τρόπος τῆς πληρώσεως ἀποχωρήσεώς τε γίγνεται, καθά περ ἐν τῷ παντὶ παντὸς ἡ φορὰ γέγονεν, ἣν τὸ ξυγγενὲς πᾶν φέρεται πρὸς ἑαυτό. τὰ μὲν γὰρ[s] δὴ περιεστῶτα ἐκτὸς ἡμᾶς[t] τήκει τε ἀεὶ καὶ διανέμει πρὸς ἕκαστον εἶδος τὸ ὁμόφυλον ἀποπέμπον, τὰ δὲ ἔναιμα αὖ, κερματισθέντα ἐντὸς παρ' ἡμῖν καὶ περιειλημμένα ὥς περ ὑπ' οὐρανοῦ ξυνεστῶτος ἑκάστου τοῦ ζώου, τὴν τοῦ[u] παντὸς ἀναγκάζεται μιμεῖσθαι[v] φοράν· πρὸς τὸ ξυγγενὲς οὖν φερόμενον ἕκαστον τῶν[w] ἐντὸς μερισθέντων τὸ κενωθὲν τότε πάλιν ἀνεπλήρωσεν. ὅταν μὲν δὴ πλέον τοῦ ἐπιῤῥέον-
III. ii. 120. τος ἀπίῃ, φθίνει πᾶν, ὅταν δὲ ἔλαττον, αὐξάνεται. [§. 62.] Νέα μὲν οὖν ξύστασις τοῦ παντὸς ζώου, καινὰ[x] τὰ[y] τρίγωνα οἷον ἐκ δρυόχων ἔτι ἔχουσα τῶν γενῶν,[z] ἰσχυρὰν μὲν τὴν ξύγκλεισιν αὐτῶν πρὸς ἄλληλα κέκτηται, ξυμπέπηγε δὲ ὁ πᾶς ὄγκος αὐτῆς ἁπαλός,[a] ἅτε[b] ἐκ μυελοῦ μὲν νεωστὶ γεγονυίας, τεθραμμένης[c] δὲ ἐν γάλακτι· τὰ δὴ[d] περιλαμβανόμενα ἐν αὐτῇ[e] τρίγωνα ἔξωθεν ἐπεισελθόντα, ἐξ[f] ὧν ἂν ᾖ τά τε σιτία καὶ ποτά, τῶν ἑαυτῆς τριγώνων παλαιότερα ὄντα[g] καὶ ἀσθενέστερα καινοῖς[h] ἐπικρατεῖ τέμνουσα, καὶ μέγα ἀπεργάζεται τὸ ζῶον τρέφουσα ἐκ πολλῶν[i] ὁμοίων. ὅταν δ' ἡ[k] ῥίζα[l] τῶν τριγώνων χαλᾷ διὰ

—[n] τε om F.—[o] νομὴ pr o.—[p] σαρκὸς FSqs: om g.—[q] κενοῦ g.—[r] μετάβασιν o.—[s] γὰρ om e.—[t] ἡμᾶς ἐκτὸς r.—[u] τοῦ delet A.—[v] μιμεῖται r.—[w] τῶν om Θ.—[x] κενὰ Yr, κενὰ S.—[y] τὰ om pr A.—[z] γενῶν A et pr o, γενῶν Θ, γερῶν F, γέρῶν S, γέρρων s: γερῶν cum *ς corr Υ.—[a] ἁπαλῶς F.—[b] ἅτ' o.—[c] τεθραμμένη Ξ, τεθραμμένος g.—[d] δὴ S, μὲν δὴ s, δὲ o.—[e] ἑαυτῆς A, ἐν αὐτῇ o, αὐτῶν s: αὐτῆς *ς.—[f] δὲ ἐξ A.—[g] ὄντα om pr Θ, ante καινοῖς ponit rc.—[h] καὶ ἐν οἷς o.—[i] om o.—

ἔναιμα] In præc. edit. est ἄναιμα: sed ἔναιμα agnoscit et Fic. qui itidem *sanguinea* interpretatur. Steph.

ὑπ' οὐρανοῦ ξυνεστῶτος ἑκάστου τοῦ ζώου] *Ut par est in quolibet animali fieri sub cœlo constituto.* Sic Ficinus. Scribendum igitur videtur ὑπ' οὐρανῷ, ut evitetur amphibolia. Lind.

§. 62. γερῶν] Pro voce γερῶν (cui nullus esse hic locus potest, et rarissima etiam est) apte repositum iri videtur μερῶν, sed jungendo cum sequentibus hoc modo, καινὰ τὰ τρ. οἷον ἐκ δρ. ἔτι ἔχουσα, τῶν μερῶν ἰσχυρὰν μὲν τὴν ξύγκλεισιν etc. Steph.

ῥίζαν] Sic quidam vet. ῥίζαν: at legendo ῥίζα (ut in præc. edit.) neutram signif. habebit verbum χαλᾷ. Steph.

τὸ πολλοὺς ἀγῶνας ἐν πολλῷ χρόνῳ πρὸς πολλὰ ἠγωνίσθαι,[m] τὰ μὲν τῆς τροφῆς εἰσιόντα οὐκέτι δύναται τέμνειν[n] εἰς ὁμοιότητα ἑαυτοῖς,[o] αὐτὰ δὲ ὑπὸ τῶν ἔξωθεν ἐπεισιόντων εὐπετῶς διαιρεῖται· φθίνει δὴ πᾶν ζῷον ἐν τούτῳ κρατούμενον, γῆρας τε ὀνομάζεται τὸ πάθος. τέλος δέ, ἐπειδὰν τῶν περὶ τὸν μυελὸν τριγώνων οἱ ξυναρμοσθέντες μηκέτι ἀντέχωσι[p] δεσμοὶ[q] τῷ πόνῳ διεσταμένοι,[r] μεθιᾶσι τοὺς τῆς ψυχῆς αὖ δεσμούς, ἡ δὲ λυθεῖσα κατὰ φύσιν[s] μεθ' ἡδονῆς ἐξέπτατο·[t] πᾶν[u] γὰρ[v] τὸ μὲν[w] παρὰ φύσιν ἀλγεινόν, τὸ δ' ἦ[x] πέφυκε γιγνόμενον ἡδύ. καὶ θάνατος[y] III. ii. 121. δὴ κατὰ ταὐτὰ[z] ὁ μὲν κατὰ νόσους καὶ[a] ὑπὸ τραυμάτων[b] γιγνόμενος ἀλγεινὸς καὶ βίαιος, ὁ δὲ μετὰ[c] γῆρας ἰὼν ἐπὶ τέλος[d] κατὰ φύσιν ἀπονώτατος τῶν θανάτων καὶ μᾶλλον μεθ' ἡδονῆς γιγνόμενος ἢ λύπης.

§. 63. Τὸ δὲ τῶν νόσων ὅθεν[e] ξυνίσταται, δῆλόν που καὶ παντί. τεττάρων γὰρ ὄντων γενῶν ἐξ ὧν συμπέπηγε τὸ III. 82. σῶμα, γῆς πυρὸς ὕδατός τε καὶ ἀέρος, τούτων ἡ[f] παρὰ φύσιν[g] πλεονεξία καὶ ἔνδεια καὶ τῆς χώρας μετάστασις[h] ἐξ οἰκείας ἐπ' ἀλλοτρίαν γιγνομένη, πυρός τε αὖ καὶ τῶν ἑτέρων, ἐπειδὴ γένη πλείονα ἑνὸς ὄντα τυγχάνει, τὸ μὴ προσῆκον ἕκαστον ἑαυτῷ[i] προσλαμβάνειν,[k] καὶ πάνθ' ὅσα

[k] δ' ἡ ASε0, δὴ F : δὴ *σ.—[l] ῥίζα AΘSε0 : βίζαν *σ.—[m] ἠγωνῆσθαι ΣΥF et pr Ξ. —[n] μένειν Ξ.—[o] ἑαυτοῖς AΘSYσοϒ : ἑαυτῆς *σ.—[p] ἀντέχωνται ϒ.—[q] δεσμοὶ om ο.—[r] διεσταμένοι A : διϊστάμενοι *σ.—[s] λυθεῖσα κατὰ φύσιν A, κατὰ φύσιν λυθεῖσα q cum pr o et corr Θ : κατὰ φύσιν λαθοῦσα *σ.—[t] ἐξέπτατο χε.—[u] hinc b ad 354, 10. παρέξεται.—[v] γὰρ om b : μὲν γὰρ ΘSs.—[w] μὲν om pr Θ.—[x] δὴ ΣYegϒ et corr ϒ.—[y] ἀθάνατος χ.—[z] ταυτὰ A : ταῦτα *σ.—[a] ἠδὲ Ss, ὃ δὲ FYϒ.—[b] ὑπὸ τραυμάτων AFbo, ὁ ὑπὸ τραυμάτων corr Θ, τραυμάτων ΣϒSYsχegϒ : τραύματα *σ.—[c] κατὰ gϒ.—[d] τέλους SYσϒ, τέλει b.—[e] ὅθεν AΘΞΣϒFSYsbegοϒ, om χ : ὃ σ.—[f] ἡ om σ.—[g] παρὰ φύσιν ΘΣϒFSYqχbegοϒ, περὶ φύσιν s : παρὰ τὴν φύσιν σ.—[h] ἡ μετάστασις ει ο.—[i] σαυτῷ ϒ.—[k] προσλαμβάνειν Ab, προσλαμβάνον ο : προσλαμβάνει σ.—[l] νό-

ὅταν δὴ ῥίζαν] Cod. Tub. hic offerente ὅταν ἡ βίζα, videtur nobis rescribendum ὅταν δ' ἡ βίζα—χαλᾷ. Lind.

λαθοῦσα] Cod. Tub. præclaram hic exhibet lectionem λυθεῖσα loco vulgaris λαθοῦσα. λυθεῖσα i. e. ἀπὸ τοῦ σώματος. Lind.

τραύματα γιγνόμενος] I. e. θάνατος. Cod. Tub. longe meliorem hic habet lectionem καὶ ὑπὸ τραυμάτων loco vulgaris καὶ τραύματα i. e. κατά. Lind.

§. 63. ὃ ξυνίσταται] Veram lectionem esse puto, ὅθεν ξυνίσταται. Dictum autem fuerit ὅθεν τὸ τῶν νόσων ξυνίσταται, pro ὅθεν αἱ νόσοι ξυνίστανται. Stephi. Ὅθεν præfert Cod. Tub. cum Bas. 2. Bip.

προσλαμβάνει] Scribe hic mecum

τοιαῦτα στάσεις καὶ νόσους[l] παρέχει·[m] παρὰ φύσιν γὰρ ἑκάστου γιγνομένου καὶ μεθισταμένου θερμαίνεται μὲν ὅσα περ ἂν[n] πρότερον ψύχηται, ξηρὰ δὲ ὄντα ἐς[o] ὕστερον[p] γίγνεται νοτερά, καὶ κοῦφα δὴ[q] καὶ βαρέα, καὶ πάσας πάντῃ μεταβολὰς δέχεται. μόνον[r] γὰρ δή, φαμέν, ταὐτὸ[s] ταὐτῷ[t] κατὰ ταὐτὸ καὶ ὡσαύτως καὶ ἀνὰ λόγον προσγιγνόμενον καὶ ἀπογιγνόμενον ἐάσει[u] ταὐτὸν ὂν αὐτῷ[w] σῶν[x] καὶ ὑγιὲς μένειν·[y] ὃ δ' ἂν πλημμελήσῃ[z] τι[a] τούτων ἐκτὸς[b] ἀπιὸν ἢ προσιόν, ἀλλοιότητας παμποικίλας[c] καὶ
III. ii. 122. νόσους φθοράς τε ἀπείρους παρέξεται. Δευτέρων δὴ[d] ξυστάσεων αὖ[e] κατὰ φύσιν ξυνεστηκυιῶν δευτέρα κατανόησις νοσημάτων[f] τῷ βουλομένῳ γίγνεται[g] ξυννοῆσαι. μυελοῦ[h] γὰρ ἐξ ἐκείνων ὀστοῦ τε καὶ σαρκὸς καὶ νεύρου ξυμπαγέντος, ἔτι τε[i] αἵματος ἄλλον μὲν[k] τρόπον, ἐκ δὲ τῶν αὐτῶν γεγονότος, τῶν μὲν ἄλλων τὰ πλεῖστα ἢ περ τὰ πρόσθεν, τὰ δὲ μέγιστα τῶν νοσημάτων τῇδε χαλεπὰ ξυμπέπτωκεν. ὅταν ἀνάπαλιν ἡ γένεσις τούτων πορεύηται,[l] τότε ταῦτα διαφθείρεται. κατὰ φύσιν γὰρ σάρκες μὲν[m] καὶ νεῦρα ἐξ αἵματος γίγνεται,[n] νεῦρον μὲν ἐξ ἰνῶν διὰ τὴν ξυγγένειαν,[o] σάρκες δὲ ἀπὸ τοῦ παγέντος, ὃ πήγνυται χωριζόμενον ἰνῶν· τὸ δὲ ἀπὸ τῶν νεύρων καὶ σαρκῶν ἀπιὸν αὖ γλίσχρον καὶ λιπαρὸν ἅμα μὲν τὴν σάρκα κολλᾷ[p] πρὸς τὴν τῶν ὀστῶν φύσιν αὐτό τε τὸ[q] περὶ τὸν μυελὸν ὀστοῦν τρέφον αὔξει, τὸ δ' αὖ διὰ τὴν πυκνότητα τῶν ὀστῶν διηθούμενον καθαρώτατον γένος τῶν τριγώνων λειό-

σους καὶ στάσεις Ss.—[m] παρέχον ο.—[n] περ ἂν q: ἄν περ *s.—[o] εἰς ΑΘSΥr.—[p] σύστασιν r.—[q] δὲ SYgr: om s.—[r] μόνως ΘΞΣΥSYdor.—[s] ταυτὸν b.—[t] θ' αὐτῷ corr F.—[u] ἰάσει ΞΣΥYegr.—[w] ταυτῶ ο.—[x] σῶον ο.—[y] μένει gr.—[z] πλημμελὲς ἢ b.—[a] τι add ΑΘFSo: τε ΥΥxegr.—[b] ἐκτὸς AFqbo et corr Θ: ἕκαστον *s.—[c] παμποικίλους Ssgr.—[d] δὴ Aqo, δὲ Θ, om F: αὖ *s.—[e] αὖ add ΑΘFYqor.—[f] νοημάτων F.—[g] γίγνεται AFSqso et corr Θ: γίγνεσθαι *s.—[h] μυελου Y, μυελῷ r.—[i] ἔτι δὲ x.—[k] ἄλλον μὲν AFo: μὲν ἄλλον *s.—[l] φθείρεται F.—[m] μὲν add ΑΘΥ FSYxegor.—[n] γίγνονται ο.—[o] ξ. ΑΣ.—[p] κολλᾷ AFqo et corr Θ: πολλὰ *s.—

προσλαμβάνειν. Etenim τὸ προσλαμβάνειν, sicuti ἡ πλεονεξία καὶ ἐνδεία καὶ ἡ μετάστασις—γιγνομένη, καὶ πάνθ' ὅσα τοιαῦτα, παρέχει στάσεις καὶ νόσους. LIND.

ἕκαστον] In locum vocis ἕκαστον Cod. Tub. offert ἐκτὸς, quod solum loco commodum videtur. Idemque postea in verbis γίγνεσθαι ξυννοῆσαι probam lectionem γίγνεται nobis conservavit. LIND.

πολλὰ] Ineptum istud πολλὰ recta lectione Cod. Tub. κολλᾷ ejicitur. LIND.

τατόν τε καὶ λιπαρώτατον, λειβόμενον ἀπὸ τῶν ὀστῶν καὶ στάζον, ἄρδει τὸν μυελόν. [§. 64.] Καὶ κατὰ ταῦτα[r] μὲν γιγνομένων ἑκάστων ὑγίεια[s] ξυμβαίνει τὰ πολλά· νόσοι[t] δέ, ὅταν ἐναντίως. ὅταν γὰρ τηκομένη σὰρξ ἀνάπαλιν εἰς τὰς φλέβας τὴν τηκεδόνα ἐξιῇ,[u] τότε μετὰ III. ii. 128. πνεύματος αἷμα πολύ τε καὶ παντοδαπὸν ἐν ταῖς[v] φλεψὶ χρώμασι καὶ πικρότησι[w] ποικιλλόμενον,[x] ἔτι δὲ ὀξείαις καὶ ἁλμυραῖς δυνάμεσι, χολὰς καὶ ἰχῶρας καὶ φλέγματα ἴσχει παντοῖα·[y] παλιναίρετα[z] γὰρ πάντα γεγονότα καὶ διεφθαρμένα τό τε αἷμα αὐτὸ πρῶτον διόλλυσι, καὶ αὐτὰ οὐδεμίαν τροφὴν ἔτι[a] τῷ σώματι παρέχοντα φέρεται III. 83. πάντῃ[b] διὰ τῶν φλεβῶν, τάξιν τῶν κατὰ φύσιν οὐκέτ' ἴσχοντα[c] περιόδων, ἐχθρὰ μὲν αὐτὰ αὐτοῖς διὰ τὸ μηδεμίαν ἑαυτῶν ἀπόλαυσιν[d] ἔχειν, τῷ ξυνεστῶτι δὲ τοῦ σώματος καὶ μένοντι κατὰ χώραν πολέμια, διολλύντα καὶ τήκοντα. ὅσον μὲν οὖν ἂν[e] παλαιότατον[f] ὂν τῆς σαρκὸς ταπῇ, δύσπεπτον γιγνόμενον μελαίνει[g] μὲν ὑπὸ παλαιᾶς

r τὸ om Ξ Σ.—r ταυτὰ s.—s ὑγίεια AΘo : ὑγιαίνειν cum *s corr Υ.—t νόσοι AΘ FSYso, νοσεῖν Ξq : νοσεῖ cum *s corr Υ.—u ἐξίῃ s cum plerisque.—v ἐν ταῖς om o.—w πυκνότησι s.—x ποικιλλόμενον AΘΣΥFSYsxgor, ποικιλλούμενον e : ποικιλούμενον *s.—y παντοῖα ἴσχει A.—z πάλιν αἱρετὰ Ξ, πάλιν αἵρεται ΘΣΥFSYsxeg or.—a ἐπὶ A.—b φέρεται g.—c οὐκέτι σχόντα A, οὐκέτ' ἔχοντα ΘFqo, οὐκ ἔχοντα ΞΣΥSYsxegr : ἔχοντα s.—d ἀπόλαυσιν ἑαυτῶν A, ἑαυτῆς ἀπόλαυσιν e.—e ἂν AΘFS qegor, ἄν Y, om Ξ : αὖ s.—f παλαιότερον o.—g μελαίνει (in αι corr) A.—h πιηρὸν

§. 64. *ἑκάστων, ὑγιαίνειν—νοσεῖ*] In locum *τῶν, ἑκάστων, ὑγιαίνειν, νοσεῖ* Cod. quidem Tub. rectas substituit lectiones, *ἑκάστῳ, ὑγίεια, νόσοι*, sed vulgaris quoque potest servari, mutatis solum *ἑκάστων* in *ἑκάστῳ* incisione facta post *γιγνομένων*, atque voce *νοσεῖ* in *νοσεῖν*. Lind.

πυκνότησι] Invenitur et *πικρότησι*. Fic. autem vertit *amaritudine*, tanquam legens *πικρότητι*, in singul. Habes hanc vocem bis in iis quæ paulo post sequuntur. Steph. qui sic in Not. ‘ Vide annotationem in p. 65. ubi pro *πικνότητος* male substitutum fuit *πυκνότητος*, quum substituendum esset *πικρότητος*.’

πυκνότησι ποικιλούμενον] Cod. Tub. loco huic laboranti subvenit lectione *καὶ πικρότησι ποικιλλόμενον*, quarum vox *πικρότησι* tam versione Ficini, qui hic habet *amaritudine*, quam sequentibus confirmatur. Lind.

φέρεται πάντη—ἔχοντα] *φέρεται* i. e. *τὰ παλιναίρετα γεγονότα καὶ διεφθαρμένα πάντη*. Nonne vox *πάντη* mutanda videtur in *πανταχοῖ*? Denique Cod. Tub. vocem sensui necessariam *οὐκέτ'* inserit ante *ἔχοντα*. Bas. 2. *οὐκ ἔχοντα*. Cui tamen rei nolim assentiri, quod illa corrupta nunquam poterant habere ordinem e natura periodorum, illaque vox adscripta videtur ab eo, qui jam invenit vocem *τάξιν*, in cujus locum velim sufficere *τάραξιν*, aut *ἀταξίαν*, quo facto voce *οὐκέτι* jam non est opus. Lind.

ὑπὸ παλαιᾶς] In Græcis legendum, *ὅσον μὲν οὖν αὖ παλαιότατον ὂν τῆς σαρκὸς ταπῇ, δύσπεπτον γιγνόμενον, μελαίνει μὲν ὑπὸ πολλῆς ξυγκαύσεως*. Cornar.

ὑπὸ παλαιᾶς] Extat et alia lectio, *ὑπὸ πολλῆς ξυγκαύσεως*. Steph.

ξυγκαύσεως, διὰ δὲ τὸ πάντῃ διαβεβρῶσθαι πικρὸν[h] ὂν παντὶ[i] χαλεπὸν προσπίπτει τοῦ σώματος, ὅσον ἂν[k] μήπω διεφθαρμένον ᾖ.[l] καὶ τοτὲ μὲν ἀντὶ τῆς πικρότητος ὀξύτητα ἔσχε τὸ μέλαν χρῶμα, ἀπολεπτυνθέντος μᾶλλον τοῦ πικροῦ· τοτὲ[m] δὲ ἡ πικρότης αὖ[n] βαφεῖσα αἵματι χρῶμα ἔσχεν ἐρυθρώτερον,[o] τοῦ δὲ μέλανος τούτῳ[p] ξυγκερανυμένου χολῶδες.[q] ἔτι[r] δὲ ξυμμίγνυται ξανθὸν χρῶμα μετὰ
XII. ii. 124. τῆς πικρότητος,[s] ὅταν νέα ξυντακῇ σὰρξ ὑπὸ τοῦ περὶ τὴν φλόγα πυρός. καὶ τὸ μὲν κοινὸν ὄνομα πᾶσι τούτοις ἥ[t] τινες ἰατρῶν που χολὴν ἐπωνόμασαν[u] ἢ καί τις ὢν δυνατὸς εἰς πολλὰ μὲν καὶ ἀνόμοια βλέπειν, ὁρᾷν δ' ἐν[v] αὐτοῖς ἓν[w] γένος ἑνὸν[x] ἄξιον ἐπωνυμίας[y] πᾶσι· τὰ δ' ἄλλα ὅσα χολῆς εἴδη λέγεται, κατὰ τὴν χρόαν ἔσχε λόγον αὐτῶν ἕκαστον ἴδιον. ἰχὼρ δέ, ὁ μὲν αἵματος ὀρὸς[z] πρᾶος, ὁ δὲ μελαίνης χολῆς[a] ὀξείας τε ἄγριος, ὅταν ξυμμιγνύηται[b] διὰ θερμότητα[c] ἁλμυρᾷ δυνάμει· καλεῖται δὲ ὀξὺ φλέγμα τὸ τοιοῦτον.[d] τὸ δ' αὖ μετὰ ἀέρος τηκόμενον ἐκ νέας καὶ ἀπαλῆς σαρκός, τούτου[e] δὲ ἀνεμωθέντος[f] καὶ ξυμπεριληφθέντος ὑπὸ ὑγρότητος, καὶ πομφολύγων ξυστασῶν ἐκ[g] τοῦ πάθους τούτου καθ' ἑκάστην[h] μὲν ἀοράτων[i] διὰ σμικρότητα, ξυναπασῶν δὲ τὸν ὄγκον[k] παρεχομένων ὁρατόν,[l] χρῶμα ἐχουσῶν διὰ τὴν τοῦ ἀφροῦ γένεσιν ἰδεῖν λευκόν, ταύτην πᾶσαν[m] τηκεδόνα ἀπαλῆς[n] σαρκὸς μετὰ

χ

s.—[l] πανταχῆ F, πάντα corr Θ.—[k] αδ Ss.—[l] ηἶ A : εἴη cum *s corr o.—[m] ποτὲ Ss.—[n] ἂν SYsɣ.—[o] ἐρυθρώτερον pr AΘ, ἐρυθρὸν o : ἐρυθρότερον *s.—[p] τούτου Σ.—[q] χλοῶδες F et γρ Θ.—[r] ἔστι g.—[s] ψυχρότητος ɣ.—[t] ἢ SYɣ, οἵ Ξ, ἥν corr A.—[u] ἐπωνόμασαν AFo : ὠνόμασαν *s.—[v] ἐν om Ssɣ.—[w] ἓν om ɣ.—[x] ἑν F.—[y] ἐπωνυμίας μιᾶς π. o.—[z] ὀρὸς Ao (qui ita ubique) et pr Θ, ἐρρὸς g : ὀρρὸς *s.—[a] χολῆς om ε.—[b] ξυμμίγνυνται o.—[c] θερμότητος Θ.—[d] τοιοῦτον AΘFo : τοιοῦτο *s.—[e] τοῦ ὑπὸ pr o.—[f] ἀνανεωθέντος corr (ut videtur) A, ἀναιμωθέντος Θ, ἀναιμωθέντος F.—[g] ἐκ Ξ, ὑπὸ SYqsɣ.—[h] ἕκαστον FYɣ.—[i] ἀοράτου s et corr S.—[k] τῶν ὄγκων s.—[l] ὁρατὸν ɣ, ὁρατῶν ΣYqxgɣ.—[m] πᾶσαν ταύτην Θ, ταύτην πᾶσαν τὴν Ssε.—[n] ἁπλῆς F.

χλοῶδες] *Herbaceum;* ita legendum est pro χολῶδες, id est, *biliosum.* Cornar.

χολῶδες] Legitur etiam χλοῶδες. Steph. qui sic in Not. ' Lectionem quæ in ipso est textu (ut vulgo vocamus) comprobat locus hic pag. 86. in fine, καὶ ὅσοι πικροὶ καὶ χολώδεις χυμοὶ κατὰ τὸ σῶμα πλανηθέντες.'

τῶν ὄγκων] Non dubito quin scribendum sit τὸν ὄγκον, qui accus. jungatur cum ὁρατόν. Steph. Veram hanc emendationem firmat Cod. Tub. Bip.

πνεύματος ξυμπλακεῖσαν[o] λευκὸν εἶναί φλέγμα φαμέν. φλέγματος δ' αὖ[p] νέου[q] ξυνισταμένου ὀρὸς ἱδρὼς καὶ δάκρυον, ὅσα τε ἄλλα τοιαῦτα σῶμα[r] τὸ καθ' ἡμέραν χεῖται καθαιρόμενον. [§. 65.] Καὶ ταῦτα μὲν δὴ πάντα νόσων ὄργανα γέγονεν, ὅταν αἷμα μὴ[s] ἐκ τῶν σιτίων III. ii. 125. καὶ ποτῶν πληθύσῃ[t] κατὰ φύσιν, ἀλλ' ἐξ ἐναντίων τὸν ὄγκον[u] παρὰ τοὺς τῆς φύσεως λαμβάνῃ νόμους.[v] διακρινομένης[w] μὲν οὖν ὑπὸ νόσων[x] τῆς σαρκὸς ἑκάστης, μενόντων δὲ τῶν πυθμένων αὐταῖς ἡμίσεια τῆς ξυμφορᾶς[y] ἡ δύναμις· ἀνάληψιν γὰρ ἔτι μετ' εὐπετείας ἴσχει. τὸ δὲ δὴ σάρκας[z] ὀστοῖς ξυνδοῦν[a] ὁπότ' ἂν[b] νοσήσῃ, καὶ μηκέτι αὖ III. 84. τὸ[c] ἐξ ἰνῶν[d] αἷμα[e] καὶ νεύρων[f] ἀποχωριζόμενον ὀστῷ μὲν τροφή,[g] σαρκὶ δὲ πρὸς ὀστοῦν γίγνηται δεσμός, ἀλλ' ἐκ λιπαροῦ καὶ λείου καὶ γλίσχρου τραχὺ καὶ ἁλμυρὸν αὐχμῆσαν ὑπὸ κακῆς διαίτης γένηται,[h] τότε ταῦτα πάσχον πᾶν τὸ[i] τοιοῦτον[k] καταψήχεται[l] μὲν αὐτὸ πάλιν ὑπὸ τὰς σάρκας καὶ τὰ νεῦρα, ἀφιστάμενον ἀπὸ τῶν ὀστῶν, αἱ δ' ἐκ[m] τῶν ῥιζῶν ξυνεκπίπτουσαι[n] τά τε νεῦρα γυμνὰ

—[o] ξυμπλεκεῖσαν AYs.—[p] αὖ add AΣΥSYsxegor: ἄνευ γρ A.—[q] νέου Θ.—[r] σώματα...καθαιρόμενα o et corr A.—[s] μηκέτι τ.—[t] πληθύσῃ A, πληθὺς ᾖ Fo, ᾖ πληθὺς ΘΣΥYsxegr, ἢ πληθὺς S, ἢ πλῆθον q: ᾖ πληθύον s.—[u] τῶν ὄγκων τ.—[v] λαμβανημένους x.—[w] διακρινομένης A: διακειρομένης *s.—[x] ὑπὸ νόσων add AFo et mg Θ.

—[y] ξ. ΘSY, σ. Ξ.—[z] σάρκα F.—[a] ξ. sτ: ἐνδοῦν xe.—[b] ἂν om s.—[c] αὐτὸ o, αὐτῶν xe, αὖ τῶν ΣΥ.—[d] ἰνῶν Ao: ἐκείνων *s.—[e] αἷμα AΘΣΥFSYsxegor et γρ Ξ: ἄμμα *s.—[f] νεῦρον F.—[g] τροφὴ q et corr A, τροφὸν FYsor: τροφὴν *s.—[h] γίνηται Fs.—[i] τὸ om ΣΥSYsxegr.—[k] τοιοῦτο ΞΣΥSsxg.—[l] καταψήχεται A et pr Θ: καταψύχεται *s.—[m] ἐκ om Fo.—[n] ξυνεκπίπτουσαι AΘΣΥFSYsxegor: ξυνεμπίπτουσαι *s.

ὅσα τε] Ante ὅσα deesse puto præpos. εἰς, ut intell. ἱδρὼς καὶ δάκρυον, καὶ ἄλλα τοιαῦτα εἰς ὅσα σῶμα χεῖται. Steph.

ὅσα τε] Stephanus quidem ante ὅσα inserendam bene existimavit voculam εἰς: quæ res Ficini versione, *in quæ corpus quotidie resolvitur*, satis confirmatur. Sed etiam deest vocibus, ὀρρὸς, ἱδρὼς καὶ δάκρυον verbum, quo referantur, quale nec antecedit nec sequitur. Quid, si in verbis δὲ νέου delituit δ' ἐγένετο, ut sit φλέγματος δ' ἐγένετο ξυνισταμένου ὀρρὸς, ἱδρὼς etc. εἰς ὅσατε etc. Lind.

§. 65. διακειρομένης μὲν οὖν] Cod. Tub. post voculam οὖν non male inserta habet ὑπὸ νόσων. Subsequitur statim: μενόντων δὲ τῶν πυθμένων αὐταῖς. Scribendum videtur αὐτῆς sc. τῆς σαρκὸς loco vulgaris αὐταῖς, quam vocem quo rite referam equidem non habeo. Lind.

ὁπότε νοσήσῃ] Primum hic ὅποτε mutandum est in ὅποταν propter verba νοσήσῃ et γίγνηται, quo illud pertinet: tum cum Cod. Tub. scribendum αἷμα loco vulgaris ἄμμα: denique assentiendum Stephano, qui τροφὴν mutavit in τροφή. Quæ omnia probe vertit Ficinus, *et sanguis*, inquiens, *ex illis ac nervis defluens, haud amplius nutrit ossa carnemve revinxit.* Videtur igitur ille legisse γένηται loco vulgaris γίγνηται. Lind.

τροφὴν] Mutandus est hic accus. in nomin. τροφὴ, qui jungatur cum γίγνηται, sicut δεσμός. Steph.

καταλείπουσι καὶ μεστὰ[o] ἅλμης, αὐταὶ[p] δὲ πάλιν εἰς τὴν[q] αἵματος φορὰν ἐμπεσοῦσαι τὰ πρόσθεν ῥηθέντα νοσήματα[r] πλείω ποιοῦσι. χαλεπῶν δὲ τούτων περὶ τὰ σώματα παθημάτων[s] γιγνομένων μείζω ἔτι γίγνεται τὰ πρὸ τούτων, ὅταν ὀστοῦν διὰ πυκνότητα σαρκὸς ἀναπνοὴν μὴ λαμβάνον ἱκανήν,[t] ὑπ' εὐρῶτος θερμαινόμενον, σφακελίσαν μήτε τὴν τροφὴν καταδέχηται πάλιν τε[u] αὐτὸ εἰς ἐκείνην ἐναντίως ἴῃ[v] ψηχόμενον,[w] ἡ δ' εἰς σάρκας, σὰρξ δὲ εἰς
III. ii. 126. αἷμα ἐμπίπτουσα ταχύτερα πάντα[x] τῶν πρόσθεν τὰ νοσήματα ἀπεργάζηται.[y] τὸ δ' ἔσχατον πάντων, ὅταν ἡ τοῦ μυελοῦ φύσις ἀπ'[z] ἐνδείας ἢ τινος ὑπερβολῆς[a] νοσήσῃ, τὰ μέγιστα καὶ κυριώτατα[b] πρὸς θάνατον τῶν νοσημάτων ἀποτελεῖ,[c] πάσης ἀνάπαλιν τῆς τοῦ σώματος φύσεως ἐξ ἀνάγκης ῥυείσης. [§. 66.] Τρίτον δ'[d] αὖ[e] νοσημάτων εἶδος τριχῇ δεῖ[f] διανοεῖσθαι γιγνόμενον, τὸ μὲν ὑπὸ πνεύματος, τὸ δὲ φλέγματος, τὸ δὲ[g] χολῆς. ὅταν μὲν γὰρ ὁ τῶν πνευμάτων τῷ σώματι ταμίας πλεύμων μὴ καθαρὰς παρέχῃ τὰς διεξόδους[h] ὑπὸ ῥευμάτων φραχθείς, ἔνθα μὲν[i] οὐκ ἰόν, ἔνθα δὲ πλέον ᾖ[j] τὸ προσῆκον πνεῦμα εἰσιὸν τὰ μὲν οὐ[k] τυγχάνοντα ἀναψυχῆς[l] σήπει, τὰ δὲ τῶν φλεβῶν[m] διαβιαζόμενον[n] καὶ ξυνεπιστρέφον αὐτὰ τῆκόν τε τὸ

—[o] μεστὰ AΘSo : μετὰ *s.—[p] αὖται s.—[q] post τὴν omisi τοῦ cum AΘΥFSYqsxeg, or.—[r] νομίσματα r.—[s] παθημάτων περὶ τὰ σώματα r.—[t] ἱκανὴν om pr Ξ.—[u] τὸ Θ.—[v] εἴῃ ΣΥsxeor, ὠσθῇ γρ A.—[w] ψηχόμενον pr Θ et γρ A, τηκόμενον o : ψυχόμενον *s.—[x] πάντων s.—[y] ἀπεργάζεται FSYsor.—[z] ὑπ' FSYqseg et corr o, μετ' r.—[a] ὑπερβολὴ r.—[b] κυριώτατα F.—[c] ἀποτελῇ o.—[d] δ' om SYsr.—[e] οὖν s.—[f] δεῖ om pr Ξ.—[g] τὸ δὲ ante χολῆς om SYs.—[h] παρέχῃ τὰς διεξόδους A : τὰς διεξόδους παρέχῃ *s.—[i] lacunam habet r litterarum 8 vel 9. πλεῖον A.—[j] ἢ xegr.—[k] οὖν g.—[l] ἀναπνοῆς r.—[m] φλεβίων o.—[n] διαβιαζομένων A, βιαζόμενον Ss, διαβιβαζόμενον F

πλείω] Ante πλείω deesse arbitror particulam καί. Steph. Nempe Fic. vertit, *Numero etiam plures reddit*. Bip.

τὰ πρὸ τούτων] Scribe hic nobiscum μείζω ἔτι γίγνεται ἢ τὰ πρὸ τούτων. Lind.

ἡ δ' εἰς σάρκας] I. e. ἡ τροφή. Mox legitur: ὅταν ἡ τοῦ μυελοῦ φύσις ἀπ' ἐνδείας ἢ τινος ὑπερβολῆς νοσήσῃ. Scribe hic ὑπ' ἐνδείας in locum vulgaris ἀπ' ἐνδείας. Mox refer verba τὰ μὲν οὐ τυγχάνοντα ἀναψυχῆς, σήπει, ad τὸ πνεῦμα —ἔνθα μὲν οὐκ ἰόν. Lind.

§. 66. τὰ δὲ τῶν φλεβῶν διαβιαζόμενον] Cod. quidem Tub. longe aliam hic obtulit lectionem τὰ δὲ τῶν φλεγμῶν διαβιβαζόμενον, unde recepta voce διαβιβαζόμενον in locum vulgaris διαβιαζόμενον cum Ficino, qui hic vertit, *per venas traductum*, scribendum judicamus: τὰ δὲ διὰ τῶν φλεβῶν διαβιβαζόμενον, cui respondent sequentia, καὶ ξυνεπιστρέφον αὐτὰ i. e. partes carnis corporis humani. Lind.

σῶμα εἰς τὸ μέσον αὐτοῦ διάφραγμά τε ἴσχον[o] ἐναπολαμβάνεται, καὶ μυρία δὴ[p] νοσήματα ἐκ τούτων ἀλγεινὰ μετὰ πλήθους ἰδρῶτος[q] ἀπείργασται. πολλάκις δ' ἐν τῷ σώματι διακριθείσης σαρκὸς πνεῦμα ἐγγενόμενον[r] καὶ ἀδυνατοῦν ἔξω πορευθῆναι τὰς αὐτὰς τοῖς ἐπεισεληλυθόσιν[s] ὠδῖνας[t] παρέσχε, μεγίστας δέ, ὅταν περὶ τὰ νεῦρα καὶ τὰ ταύτῃ φλέβια[u] περιστὰν[v] καὶ ἀνοιδῆσαν τούς τε ἐπιτόνους καὶ τὰ ξυνεχῆ νεῦρα οὕτως εἰς τὸ ἐξόπισθεν iii. ii. 127.
κατατείνῃ τούτοις· ἃ δὴ καὶ ἀπ' αὐτοῦ[w] τῆς ξυντονίας τοῦ παθήματος τὰ νοσήματα[x] τέτανοί τε καὶ ὀπίσθοτονοι προσερρήθησαν.[y] ὧν καὶ τὸ φάρμακον χαλεπόν· πυρετοὶ γὰρ οὖν δὴ τὰ τοιαῦτα ἐγγιγνόμενοι[z] μάλιστα λύουσι.[a]
τὸ δὲ λευκὸν φλέγμα διὰ τὸ τῶν πομφολύγων πνεῦμα iii. 85.
χαλεπὸν ἀπολῃφθέν,[b] ἔξω δὲ[c] τοῦ σώματος ἀναπνοὰς ἴσχον ἠπιώτερον μέν, καταποικίλλει δὲ τὸ σῶμα λεύκας[d] ἀλφούς τε καὶ τὰ τούτων ξυγγενῆ νοσήματα[e] ἀποτίκτον.
μετὰ χολῆς δὲ μελαίνης κερασθὲν ἐπὶ τὰς περιόδους τε τὰς ἐν τῇ κεφαλῇ[f] θειοτάτας οὔσας ἐπισκεδαννύμενον[g] καὶ ξυνταράττον αὐτάς, καθ' ὕπνον μὲν ἰὸν πραότερον,[h] ἐγρηγορόσι δὲ[i] ἐπιτιθέμενον δυσαπαλλακτότερον· νόσημα δὲ ἱερᾶς ὂν φύσεως ἐνδικώτατα ἱερὸν λέγεται. φλέγμα δὲ[k] ὀξὺ καὶ ἁλμυρὸν πηγὴ πάντων νοσημάτων ὅσα γίγνεται καταῤῥοϊκά· διὰ δὲ τοὺς τόπους εἰς οὓς ῥεῖ παντοδαπούς

κε.—[o] τί σχὸν A, τ' ἴσχον 0.—[p] δὲ 0.—[q] ἱδρῶτος πολλάκις A0, ἱδρῶτας g.—[r] ἐκγενόμενον 0.—[s] ἐπεισελθοῦσιν Ξ.—[t] ὠδῖνας AΘF0: ὀδύνας *s.—[u] φλέβια ΞΣΥΥ: φλεβία s.—[v] περιστὰν A0 et pr Ξ: περιστὰν s.—[w] ὑπ' αὐτῆς 0.—[x] τὰ νοσήματα om pr Υ.—[y] προσερεισθησαν Y.—[z] ἐγγιγνόμενοι AΘFqx, ἐπιγιγνόμενοι 0: γιγνόμενοι *s.—[a] λύουσι μάλιστα ϒ.—[b] ἀπολῃφθὲν ϒ, ἀπολειφθὲν Σ, ἀπολειφθὲν SYqsx egr.—[c] δὲ om ϒ.—[d] λευκοὺς Σxegr et corr ϒ, λευκὰς q.—[e] παθήματα ϒ.—[f] φυλακῇ sr.—[g] ἔτι σκεδαννύμενον ΞΣΥSsgr.—[h] πραότερον qeg: πραΰτερον s.—[i] δ' e.—

νοσήματα] Pro *νοσήματα* reponendum puto *ὀνόματα*: et *τελείαν* stigmen quæ in præced. est post *τούτοις*, collocandam post *τείνῃ*: ut *τούτοις* jungatur sequentibus: simul etiam mutando ἃ in *ἅτε*, id est *utpote*, ut nimirum totus hic ita legatur locus, *τούτοις, ἅτε δὴ καὶ ἀπ' αὐτοῦ τῆς ξυντονίας τοῦ παθήματος, τὰ ὀνόματα, τέτανοί τε* etc. Sic autem et paulo post *νοσήματα* pro *ὀνόματα* irrepsisse manifestum est. Hic autem retinendo *νοσήματα*, tollendus esset artic. *τά*: et dicendum ἃ jungi cum *νοσήματα*: quæ tamen trajectio dura esset. Steph.

ὄντας παντοῖα ὀνόματα[l] εἴληφεν. ὅσα δὲ φλεγμαίνειν λέγεται τοῦ σώματος, ἀπὸ τοῦ κάεσθαί τε καὶ φλέγεσθαι διὰ χολὴν[m] γέγονε πάντα. [§. 67.] Λαμβάνουσα μὲν οὖν ἀναπνοὴν ἔξω παντοῖ ἀναπέμπει φύματα[n] ζέουσα, καθειργνυμένη[o] δ' ἐντὸς πυρίκαυτα νοσήματα πολλὰ ἐμ-
III. ii. 128. ποιεῖ, μέγιστον δέ, ὅταν αἵματι καθαρῷ ξυγκερασθεῖσα[p] τὸ τῶν ἰνῶν γένος ἐκ τῆς ἑαυτῶν διαφορᾷ τάξεως, αἳ διεσπάρησαν μὲν[q] εἰς αἷμα, ἵνα συμμέτρως λεπτότητος[r] ἴσχοι[s] καὶ πάχους καὶ μήτε διὰ θερμότητα ὡς ὑγρὸν ἐκ μανοῦ τοῦ σώματος ἐκρέοι, μήτ' αὖ πυκνώτερον δυσκίνητον ὂν μόγις[t] ἀναστρέφοιτο[u] ἐν ταῖς φλεψί. καιρὸν δὴ τούτων[v] ἵνες τῇ τῆς φύσεως γενέσει φυλάττουσιν· ἃς ὅταν τις καὶ τεθνεῶτος[w] αἵματος ἐν ψύξει[x] τε ὄντος πρὸς ἀλλήλας[y] ξυναγάγῃ,[z] διαχεῖται πᾶν τὸ λοιπὸν αἷμα, ἑαθεῖσαι δὲ ταχὺ μετὰ τοῦ περιεστῶτος[a] αὐτὸ[b] ψύχους ξυμπηγνύασι. ταύτην δὴ[c] τὴν δύναμιν ἐχουσῶν ἰνῶν ἐν αἵματι χολὴ φύσει παλαιὸν αἷμα γεγονυῖα καὶ πάλιν ἐκ τῶν σαρκῶν ἐς[d] τοῦτο τετηκυῖα, θερμὴ καὶ ὑγρὰ κατ' ὀλίγον τὸ πρῶτον

[k] δ' sxegor.—[l] ὀνόματα AFqo : νοσήματα *s.—[m] χολῆς s.—[n] φύματα AFo : φυσήματα *s.—[o] καθειργμένη Ssgr.—[p] ξυγκερασθεῖσα A, συγκραθεῖσα F : συνκερασθεῖσα *s.—[q] μὲν add Ao.—[r] λεπτότητα s.—[s] ἴσχη sxor.—[t] libri μόλις.—[u] ἀναστρέφοιτο AFo : ἀντιστρέφοιτο *s.—[v] τοῦτον AFo.—[w] τεθνεῶτος AΘΞΥFSYsxego χ r : τεθνεότος s.—[x] ψύξει A, ψύχη x, φυχῇ pr o : ψύχει s.—[y] ἄλληλα eg.—[z] ξυναγάγῃ ΘFSYsgor, συναγάγῃ A : ξυναγάγοι *s.—[a] προεστῶτος ΞΣΥSxegr et pr Θ.—[b] αὐτοῦ F, αὐτῷ go.—[c] δὴ AΘΣTFSYsxeor : δὲ *s.—[d] εἰς AΞΣΥFSY.—[e] πλέον

ὀνόματα] Græce legendum, διὰ δὲ τοὺς τόπους, εἰς οὓς ῥεῖ παντοδαποὺς ὄντας, παντοῖα ὀνόματα εἴληφεν. Vulgo νοσήματα legitur pro ὀνόματα. Et mox in Græcis ἀναστρέφοιτο legendum est pro ἀντιστρέφοιτο, et περιεστῶτος pro προεστῶτος, et ἐμπίπτουσα pro ἐκπίπτουσα. Et mox legendum est, ὅταν δ' ἐλάττων ᾖ, τό, τε σῶμα ἀντίσχῃ τηκόμενον. Cornar.

νοσήματα] Hic quoque νοσήματα pro ὀνόματα positum est, ut in proxime præced. annot. admonui. Steph.

παντοῖα νοσήματα εἴληφεν] Hunc locum, neglecto vocis εἴληφεν significatu, vertit in universum Ficinus, *quoniam* vero inquiens, *plurima loca illabitur, malas gignit valetudines plurimas.* Etenim hic agitur de morbis, qui universo quidem nomine possunt appellari καταῤῥοϊκοί, sed variis a locis, per quos fluit acida illa et salsa pituita, varia quoque tulere morborum nomina. Itaque in locum vulgaris lectionis νοσήματα non tam scribendum est cum Cornario ὀνόματα, quam νόσων ὀνόματα. Lind.

§. 67. ἀντιστρέφοιτο] Legitur etiam ἀναστρέφοιτο, et melius fortasse. Steph.

τῇ τῆς φύσεως γενέσει] Videtur hic recribendum τῷ τῆς φύσεως γένει. Quanquam simili, sed modo inverso, dicitur p. 90. A. ὅθεν ἡ πρώτη τῆς ψυχῆς γένεσις ἔφυ. Lind.

περιεστῶτος] Loco vulgaris προεστῶτος bene correxit Cornarius sc. αἵματος, αὐτὸ ψύχους ξυμπηγνύασι. Præmissis illis, corrigatur extremis in verbis αὐτὰς, sc. τὰς ἴνας, ψύχει ξυμπηγνύασι. Quam emendationem veram esse et res ipsa probat, et præcedens vocula μετά. Lind.

ἐμπίπτουσα πήγνυται διὰ τὴν τῶν ἰνῶν δύναμιν, πηγνυμένη δὲ καὶ βίᾳ κατασβεννυμένη χειμῶνα καὶ τρόμον ἐντὸς παρέχει. πλείων[e] δ'[f] ἐπιῤῥέουσα, τῇ παρ' αὐτῆς θερμότητι κρατήσασα τὰς ἴνας εἰς ἀταξίαν ζέσασα διέσεισε,[g] καὶ ἐὰν μὲν ἱκανὴ διὰ τέλους κρατῆσαι[h] γένηται, πρὸς τὸ τοῦ μυελοῦ διαπεράσασα[i] γένος κάουσα ἔλυσε τὰ τῆς ψυχῆς[k] αὐτόθεν οἷον νεὼς πείσματα μεθῆκέ[l] τε ἐλευθέραν, ὅταν δ' ἐλάττων ἦ τό τε σῶμα ἀντίσχῃ τηκόμενον, αὐτὴ[m] κρατη- III. ii. 129.
θεῖσα ἢ κατὰ[n] πᾶν τὸ σῶμα ἐξέπεσεν,[o] ἢ διὰ τῶν φλεβῶν εἰς τὴν κάτω ξυνωσθεῖσα[p] ἢ τὴν ἄνω κοιλίαν, οἷον φυγὰς ἐκ πόλεως στασιασάσης ἐκ τοῦ σώματος ἐκπίπτουσα, διαῤῥοίας καὶ δυσεντερίας καὶ τὰ τοιαῦτα νοσήματα πάντα III. 86.
παρέσχετο. τὸ μὲν οὖν ἐκ πυρὸς ὑπερβολῆς μάλιστα[q] νοσῆσαν σῶμα ξυνεχῆ καύματα καὶ πυρετοὺς ἀπεργάζεται, τὸ δ'[r] ἐξ ἀέρος ἀμφημερινούς,[s] τριταίους δ'[t] ὕδατος διὰ τὸ νωθέστερον ἀέρος καὶ πυρὸς αὐτὸ εἶναι· τὸ[u] δὲ γῆς, τετάρτως ὂν νωθέστατον[v] τούτων, ἐν[w] τετραπλασίαις περιόδοις χρόνου καθαιρόμενον, τεταρταίους[x] πυρετοὺς ποιῆσαν ἀπαλλάττεται[y] μόγις.[z]

§. 68. Καὶ τὰ μὲν περὶ τὸ σῶμα νοσήματα ταύτῃ ξυμβαίνει γιγνόμενα, τὰ δὲ περὶ ψυχὴν διὰ σώματος ἔξιν τῇδε. νόσον[a] μὲν δὴ ψυχῆς ἄνοιαν ξυγχωρητέον,[b] δύο δ' ἀνοίας γένη, τὸ μὲν μανίαν, τὸ δ' ἀμαθίαν. πᾶν οὖν ὅ τι πάσχων τις πάθος ὁπότερον αὐτῶν ἴσχει, νόσον προσρητέον.

σεισε
F.—[f] δ' om g.—[g] διέσεισε so, διέσωσε FS: διέσωσε r.—[h] κρατήσασα o.—[i] διασπαράσασα x.—[k] ψυχῆς om pr Ξ.—[l] μεθεῖκέ F.—[m] αὐτῆ ΘΞΣΤFYqegr, αὕτη A.—[n] κατὰ...κοιλίαν om in lacuna s.—[o] ἐξέπεσεν corr o.—[p] ξυνωθοῦσα r.—[q] μάλιστα om F, ante ὑπερβολῆς ponunt SYqεr.—[r] δι' F.—[s] αὐθημερινοὺς F, ἀμφημερινὸν S, ρινον post deleta καὶ πυρὸς s, ἀφημερινοὺς r.—[t] δι' Sxg, om e.—[u] τῆς F.—[v] νωθέστερον o.—[w] δ' ἐκ corr A.—[x] τετάρτης F.—[y] ἀπαλλακτέον s.—[z] μόλις cum r

διέσωσε] Vocem hic διέσωσε ineptam esse ac desiderari aliam quisque videt, quæ antecedenti πήγνυται opponatur. Recipiendum igitur etiam nunc duco, quod olim proposueram, διέωσε, nisi forte, sensu aliquantum leniori, malueris διέσεισε. Ut infra p. 88. A. ὡς, ὅταν τε ἐν αὐτῷ ψυχὴ κρείττων οὖσα σώματος περιθύμως ἴσχῃ, διασείουσα πᾶν αὐτὸ ἔνδοθεν, νόσων ἐμπίπλησι. LIND.

τὸ δὲ γῆς] Sc. ὑπέρβαλον, propter sequentia, τετάρτως ὂν νωθέστατον τούτων. —ἐν τετραπλασίαις περιόδοις χρόνου καθαιρόμενον—ἀπαλλάττεται. Nisi hic in locum vulgaris καθαιρόμενον, rescribitur καθαιρομένου, quod referatur ad supra dictum νοσῆσαν σῶμα, vox hæc huic loco inepta videtur expectesque potius καθαιρούμενον. LIND.

ἡδονὰς δὲ καὶ λύπας ὑπερβαλλούσας[c] τῶν νόσων μεγίστας θετέον τῇ ψυχῇ· περιχαρὴς γὰρ ἄνθρωπος ὢν ἢ καὶ τἀναντία ὑπὸ λύπης πάσχων, σπεύδων τὸ μὲν ἑλεῖν ἀκαίρως,
III. ii. 130. τὸ δὲ φυγεῖν, οὔτε[d] ὁρᾷν[e] οὔτε[f] ἀκούειν ὀρθὸν οὐδὲν δύναται, λυττᾷ δὲ καὶ λογισμοῦ μετασχεῖν ἥκιστα τότε δὴ δυνατός.[g] τὸ δὲ σπέρμα ὅτῳ[h] πολὺ καὶ ῥυῶδες[i] περὶ τὸν μυελὸν γίγνεται, καὶ καθαπερεὶ δένδρον πολυκαρπότερον τοῦ ξυμμέτρου πεφυκὸς[k] ᾖ, πολλὰς μὲν καθ' ἕκαστον ὠδῖνας,[l] πολλὰς δ' ἡδονὰς πτώμενος ἐν ταῖς ἐπιθυμίαις καὶ τοῖς περὶ τὰ τοιαῦτα τόκοις, ἐμμανὴς τὸ πλεῖστον γιγνόμενος τοῦ βίου διὰ τὰς μεγίστας ἡδονὰς καὶ λύπας, νοσοῦσαν καὶ ἄφρονα ἴσχων ὑπὸ τοῦ σώματος τὴν ψυχήν, οὐχ ὡς νοσῶν ἀλλ' ὡς ἑκὼν κακὸς[m] κακῶς δοξάζεται. τὸ δὲ ἀληθές, ἡ περὶ τὰ ἀφροδίσια ἀκολασία κατὰ[n] τὸ πολὺ μέρος διὰ τὴν ἑνὸς γένους ἕξιν ὑπὸ μανότητος ὀστῶν ἐν σώματι ῥυώδη[o] καὶ ὑγραίνουσαν[p] νόσος ψυχῆς γέγονε. καὶ σχεδὸν δὴ πάντα ὁπόσα ἡδονῶν ἀκρατίαι[q] καὶ ὄνειδος ὡς ἑκόντων λέγεται τῶν κακῶν, οὐκ ὀρθῶς ὀνειδίζεται· κακὸς μὲν γὰρ[r] ἑκὼν οὐδείς, διὰ δὲ πονηρὰν ἕξιν τινὰ τοῦ σώματος καὶ ἀπαίδευτον[s] τροφὴν ὁ κακὸς γίγνεται κακός, παντὶ δὲ ταῦτα ἐχθρὰ[t] καὶ κακόν τι[u] προσγίγνεται. καὶ[v] πάλιν δὴ τὸ[w] περὶ τὰς λύπας ἡ ψυχὴ κατὰ ταὐτὰ[x] διὰ σῶμα
III. ii. 131. πολλὴν ἴσχει κακίαν. ὅπου[y] γὰρ ἂν οἱ[z] τῶν ὀξέων καὶ

plerique.—[a] hinc ϑ ad 372.—[b] ξ. Ald.—[c] ὑπερβαλούσας Ξ.—[d] οὔθ' ϑ: om *s.*—[e] ὁρᾶν om *s.*—[f] οὐδὲν om *xg.*—[g] δυνατός ἐστι ϑ.—[h] οὕτω *xg.*—[i] ῥοῶδες Fqb et corr Θ: ῥυῶδες cum *ς corr o.—[k] πεφυκὼς Ss.—[l] ὠδῖνας AΘΞSYqsdo et pr Υ: ὀδύνας *s.—[m] κακὸς om ΘΞΤFSYsxegor, κακῶς om AΞb.—[n] καὶ τὸ κατὰ Υr.—[o] ρυώδει SYsr.—[p] ὑγραίνουσα sr.—[q] ἀκρατεία S.—[r] γὰρ om *xg.*—[s] ἀπαιδεύτερον *x.—[t] ἔχθρα A, αἰσχρὰ Fr.—[u] ἄκοντι o.—[v] ἢ g.—[w] τῷ SYqsr.—[x] ταυτὰ AΞb: ταῦτα *ς.—[y] ὅτου ΘΞΥFSYsxegor, ὅτου A.—[z] ἢ AΘ, ἢ ΞΣΥFSYsxdegor.—[a] τῶν

§. 68. *σπέρμα ὅτῳ*] Ald. Bas. 1. 2. *οὗτω*. male. *ὅτῳ* Cornario debetur. Ficinus, *qui vero—abundat semine.* Bip.

ἑκὼν κακὸς, κακῶς] Petitum et hoc a Cornario. Edd. vett. tenent, *ἑκὼν κακὸς*, omisso *κακῶς*, quod et Ficinus expressit, *falso putatur.* Bip.

ἄκοντι] Græce legendum, *παντὶ δὲ ταῦτα ἐχθρὰ, καὶ ἄκοντι προσγίγνεται.* Vulgo *κακόν τι* pro *ἄκοντι.* Cornar.

καὶ κακόν τι προσγίγνεται] Multo magis placet hæc lectio, *καὶ ἄκοντι προσγίγνεται*: ut opponatur hoc ei quod existimare quosdam dixit, *τοὺς κακοὺς, ἑκόντας εἶναι κακούς.* Nam et pron. *ταῦτα* ostendit quæ ibi dixit, *πάντα ὁπόσα* etc. Alteram tamen lectionem sequutus est et Fic. sed quod hanc (ut opinor) ignoraret. Steph.

τῶν[a] ἀλυκῶν φλεγμάτων καὶ ὅσοι πικροὶ καὶ χολώδεις χυμοὶ κατὰ τὸ σῶμα πλανηθέντες ἔξω μὲν μὴ λάβωσιν ἀναπνοήν, ἐντὸς δὲ εἰλλόμενοι[b] τὴν ἀφ'[c] αὑτῶν[d] ἀτμίδα[e] τῇ[f] τῆς ψυχῆς φορᾷ ξυμμίξαντες[g] ἀνακερασθῶσι, παντο- III. 87.
δαπὰ νοσήματα ψυχῆς ἐμποιοῦσι, μᾶλλον καὶ ἧττον, καὶ ἐλάττω καὶ πλείω· πρός τε τοὺς τρεῖς τόπους[h] ἐνεχθέντα τῆς ψυχῆς, πρὸς ὃν ἂν ἕκαστ'[i] αὐτῶν προσπίπτῃ,[k] ποικίλλει[l] μὲν εἴδη δυσκολίας καὶ δυσθυμίας[m] παντοδαπά,[n] ποικίλλει[l] δὲ θρασύτητός[o] τε[p] καὶ δειλίας, ἔτι δὲ λήθης[q] ἅμα καὶ δυσμαθίας.[r] πρὸς δὲ τούτοις, ὅταν οὕτω κακῶς παγέντων[s] πολιτεῖαι κακαὶ[t] καὶ λόγοι κατὰ[u] πόλεις ἰδίᾳ καὶ[v] δημοσίᾳ λεχθῶσιν, ἔτι δὲ μαθήματα μηδαμῇ τούτων ἰατικὰ[w] ἐκ νέων μανθάνηται, ταύτῃ κακοὶ[x] πάντες οἱ κακοὶ διὰ δύο ἀκουσιώτατα γιγνόμεθα. ὧν αἰτιατέον μὲν τοὺς φυτεύοντας ἀεί[y] τῶν φυτευομένων μᾶλλον καὶ τοὺς τρέφοντας τῶν τρεφομένων, προθυμητέον μήν,[z] ὅπῃ τις δύναται, καὶ διὰ τροφῆς καὶ δι' ἐπιτηδευμάτων μαθημάτων τε φυγεῖν μὲν κακίαν,[a] τοὐναντίον δὲ ἑλεῖν. ταῦτα μὲν οὖν[b] δὴ[c] τρόπος ἄλλος λόγων.

§. 69. Τὸ δὲ τούτων ἀντίστροφον αὖ, τὸ περὶ τὰς[d] τῶν
σωμάτων καὶ διανοήσεων θεραπείας, αἷς αἰτίαις σώζεται, III. ii. 132.
πάλιν εἰκὸς καὶ πρέπον ἀνταποδοῦναι· δικαιότερον γὰρ τῶν ἀγαθῶν πέρι μᾶλλον ἢ τῶν κακῶν ἴσχειν[e] λόγον. πᾶν δὴ τὸ ἀγαθὸν καλόν, τὸ δὲ καλὸν οὐκ ἄμετρον· καὶ ζῷον οὖν τὸ τοιοῦτον ἐσόμενον ξύμμετρον θετέον. ξυμμετριῶν[f] δὲ τὰ μὲν σμικρὰ διαισθανόμενοι ξυλλογιζόμεθα, τὰ δὲ κυριώ-

post καὶ om Ssθ.—[b] εἰλλόμενοι A, εἰλλόμενοι b, εἰλόμενοι pr ΘΥ: εἰλούμενοι ^{m}s.—[c] ἀμφ' ΞΥFSYqsxegr.—[d] αὐτὸ Ss.—[e] ἀμπίδα F, om Ss.—[f] τῇ om r.—[g] ξ. ΑΘΣΥ FSYsxbegor.—[h] τρόπους r.—[i] ἕκαστ' AΘb: ἕκαστον ^{m}s.—[k] ἐκπίπτῃ SYqsr.—[l] ποικίλλῃ s.—[m] δυσφημίας F: καὶ δυσθυμίας...ἔτι δὲ om pr θ.—[n] παντοδαπὰς Υ η
SYsxegor.—[o] θρασύτητάς b et corr (ut videtur) A.—[p] τε om g.—[q] λήθας A, λήθας b.—[r] δυσμαθείας ΞΣΥSYsxer.—[s] πάντων pr Θ.—[t] κακαὶ om pr Ξ.—[u] καὶ SYs gr.—[v] τε καὶ bo.—[w] ἰατρικὰ Fxgor.—[x] κακοὶ om pr S.—[y] δεῖ θ.—[z] μὴν om θ.—[a] φεύγειν κακίαν μὲν θ.—[b] οὖν om θ.—[c] δὴ καὶ r.—[d] τὰς om r.—[e] ἴσχει ΣFr.—[f] ξυμμετριῶν AY, ξυμμετρίων ΘFbo: ξυμμέτρων cum ^{m}s corr Υ.—[g] γὰρ om F.—

ποικίλλῃ] Videtur hæc vox tam hic quam in proxime sequente loco mutanda esse in ποικίλα, vel potius in ποικίλλει: ut sit prò ποικίλλον ποιεῖ, sive μετὰ ποικίλσεως: vel ποικίλως ποιεῖ. Steph.

ποικίλλῃ μὲν—ποικίλλῃ δὲ] Utrobique cum Cod. Tub. rescribe ποικίλλει. Lind.

τατα καὶ μέγιστα ἀλογίστως ἔχομεν. πρὸς γὰρ[g] ὑγιείας καὶ νόσους ἀρετάς τε[h] καὶ κακίας οὐδεμία ξυμμετρία καὶ ἀμετρία μείζων ἢ ψυχῆς αὐτῆς πρὸς σῶμα αὐτό· ὧν οὐδὲν[i] σκοποῦμεν,[k] οὐδ' ἐννοοῦμεν[l] ὅτι ψυχὴν ἰσχυρὰν καὶ πάντῃ μεγάλην ἀσθενέστερον καὶ[m] ἔλαττον εἶδος ὅταν ὀχῇ,[n] καὶ ὅταν αὖ τοὐναντίον ξυμπαγῆτον[o] τούτω, οὐ καλὸν ὅλον τὸ ζῶον—ἀξύμμετρον γὰρ ταῖς μεγίσταις ξυμμετρίαις[p]—, τὸ δ' ἐναντίως ἔχον πάντων θεαμάτων τῷ δυναμένῳ καθορᾶν κάλλιστον καὶ ἐρασμιώτατον. οἷον οὖν ὑπερσκελὲς ἢ καί τινα ἑτέραν ὑπέρεξιν[q] ἄμετρον ἑαυτῷ τι σῶμα ὂν ἅμα μὲν[r] αἰσχρόν, ἅμα δ' ἐν τῇ κοινωνίᾳ τῶν πόνων πολλοὺς μὲν κόπους, πολλὰ δὲ[s] σπάσματα καὶ διὰ τὴν παραφορότητα πτώματα παρέχον μυρίων[t] κακῶν αἴτιον ἑαυτῷ, ταὐτὸν[u] δὴ διανοητέον καὶ περὶ τοῦ ξυναμφοτέρου, ζῶον[v] ὃ καλοῦμεν, ὡς ὅταν τε[w] ἐν αὐτῷ ψυχὴ κρείττων[x] οὖσα σώματος περιθύμως[y] ἴσχῃ, διασείουσα πᾶν αὐτὸ ἔνδοθεν νόσων ἐμπίπλησι, καὶ ὅταν εἰς τινας μαθήσεις καὶ ζητήσεις[z] εὐτόνως[a] ἴῃ,[b] κατατήκει, διδαχάς τ' αὖ καὶ μάχας ἐν λόγοις ποιουμένη δημοσίᾳ καὶ ἰδίᾳ δι'[c] ἐρίδων[d] καὶ φιλονεικίας[e] γιγνομένων διάπυρον[f] αὐτὸ ποιοῦσα λύει,[g] καὶ ῥεύματα ἐπάγουσα, τῶν λεγομένων ἰατρῶν ἀπατῶσα τοὺς[h] πλείστους, τἀναντία[i] αἰτιᾶσθαι ποιεῖ· σῶμά τε ὅταν αὖ μέγα καὶ ὑπέρψυχον[k] σμικρᾷ[l] ξυμφυὲς ἀσθενεῖ τε διανοίᾳ γένηται, διττῶν ἐπιθυμιῶν οὐσῶν φύσει κατ' ἀνθρώπους, διὰ σῶμα μὲν τροφῆς, διὰ δὲ τὸ θειότατον τῶν ἐν ἡμῖν φρονήσεως, αἱ τοῦ[m] κρείττονος κινήσεις κρατοῦσαι[n] καὶ τὸ

IBI. ii. 133.

III. 88.

[h] τε post ὑγιείας omisi cum AΘSYqsdor.—[i] ὧν οὐδὲν s, om pr S.—[k] ἐσκοποῦμεν A F.—[l] οὐδ' ἐνοῦμεν s, οὐδὲ νοοῦμεν g, οὐδὲν νοοῦμεν xε.—[m] καὶ Adσ : ἢ *s.—[n] σχῇ Ad.—[o] ξυμπαγῆ sgr.—[p] ἀξυμμετρίαις σ.—[q] ὑπερέξιν Θq : ὑπὲρ ἕξιν *s.—[r] γὰρ r.—[s] δὲ om g.—[t] μετρίων gr, οὐ μετρίων s.—[u] ταυτὸν AΘFYqdor : ταυτὸ s.—[v] ζώου ζῆτη F.—[w] μὲν Θ, om pr Ξ.—[x] κρεῖττον ΘΞΣΥ, κρείττων τε r.—[y] προθύμως r.—[z] κινήσεις Y, κινήσεις r.—[a] εὐτόνως A, ξυντόνως b, συντόμως ΘΞΣΤSYsxegr : συντόνως s.—[b] εἴῃ e.—[c] μετὰ σ.—[d] ὀνείδων Σ.—[e] φιλονεικίας AΘFSYqdσ, φιλονεικίας s, φιλονεικιῶν Ξ, φιλονικειῶν x : φιλονεικῶν cum *s corr r.—[f] διάπειρον g.—[g] σαλεύει b et γρ A.—[h] τε r.—[i] τὰ ἀναίτια σ.—[k] ὑπέρψυχον AΘFSYs : ὑπέρψυχρον cum *s corr r.—[l] σμικρῷ s.—[m] αὐτοῦ r, αὐτοῦ SYxegr.—[n] κρατῆσαι g.—[o] αὖ-

§. 69. ἢ καί τινα ἑτέραν ὑπὲρ ἕξιν] videtur : ἢ κατά τινα ἑτέραν ὑπερέχουσαν ἕξιν ἄμετρον ἑαυτῷ τι σῶμα ὄν. Lind. Quem locum ut sanemus, rescribendum

μὲν σφέτερον αὔξουσαι,[o] τὸ δὲ τῆς ψυχῆς κωφὸν καὶ δυσμαθὲς ἀμνημόν[p] τε ποιοῦσαι τὴν μεγίστην νόσον ἀμαθίαν ἐναπεργάζονται. μία δὴ[q] σωτηρία πρὸς ἄμφω, μήτε τὴν ψυχὴν ἄνευ σώματος κινεῖν μήτε σῶμα ἄνευ ψυχῆς, ἵνα ἀμυνομένω γίγνησθον[r] ἰσορρόπω καὶ ὑγιῆ.[s] τὸν δὴ μαθηματικὸν[t] ἤ τινα ἄλλην σφόδρα μελέτην διανοίᾳ κατεργαζόμενον καὶ τὴν τοῦ σώματος ἀποδοτέον κίνησιν, γυμναστικῇ προσομιλοῦντα, τόν τε αὖ σῶμα ἐπιμελῶς πλάττοντα[u] τὰς τῆς ψυχῆς ἀποδοτέον[v] κινήσεις, μουσικῇ καὶ πάσῃ φιλοσοφίᾳ προσχρώμενον, εἰ μέλλει[w] δικαίως τις ἅμα μὲν καλός,[x] ἅμα δὲ ἀγαθὸς ὀρθῶς κεκλήσεσθαι.[y] [§. 70.] Κατὰ δὲ ταὐτὰ[z] ταῦτα καὶ τὰ μέρη θεραπευτέον, τὸ τοῦ παντὸς ἀπομιμούμενον εἶδος. τοῦ γὰρ σώματος ὑπὸ τῶν εἰσιόντων καομένου τε ἐντὸς καὶ ψυχομένου, καὶ πάλιν ὑπὸ τῶν ἔξωθεν ξηραινομένου καὶ ὑγραινομένου καὶ τὰ[a] τούτοις ἀκόλουθα πάσχοντος ὑπ'[b] ἀμφοτέρων τῶν[c] κινήσεων, ὅταν μέν τις ἡσυχίαν ἄγον[d] τὸ σῶμα παραδιδῷ ταῖς κινήσεσι, κρατηθὲν διώλετο,[e] ἐὰν[f] δὲ ἦν[g] τροφὸν καὶ τιθήνην τοῦ παντὸς προσείπομεν[h] μιμῆταί τις, καὶ[i] τὸ σῶμα μάλιστα μὲν μηδέποτε ἡσυχίαν ἄγειν ἐᾷ, κινῇ[k] δὲ καὶ σεισμοὺς ἀεί τινας[l] ἐμποιῶν αὐτῷ[m] διὰ παντὸς τὰς ἐντὸς καὶ ἐκτὸς ἀμύνηται κατὰ φύσιν κινήσεις, καὶ μετρίως σείων[n] τά τε περὶ τὸ σῶμα πλανώμενα παθήματα καὶ μέρη κατὰ ξυγ- III. ii. 134.

ξουσι F.—[p] ἄμνημόν b.—[q] δὴ Abo, δ' ἡ ΘFs, τε ἡ r: δὲ s.—[r] γίγνησθον AFqdo, σθον γίγνηται Θ, γίγνηται ΤSYsxegr, γίγνονται Σ, γίγνωνται Ξ: γίγνωνται *s.—[s] ὑγιῆ AΘΤFSsdo, ὑγιη Y, ὑγιεῖ xegr et corr Ξ: ὑγιᾶ cum s corr Σ.—[t] μαθητικὸν SYqo.—[u] πράττοντα SYsr.—[v] ἀνταποδοτέον ΤFYqsxdegor.—[w] μέλλει AΘΤFxde g, μέλει S, ἀμέλει (omisso εἰ) Ysr: μέλλοι *s.—[x] καλῶς F.—[y] κεκλήσεσθαι F: κεκλῆσθαι *s.—[z] ταυτὰ Abo: τὰ αὐτὰ s.—[a] τὰ om pr o.—[b] ἐπ' SYsr.—[c] ἀμφοτέρων τε τῶν ΘΣΤSYsxegr.—[d] ἄγων S, ἄγων FYr, ἄγωνον s.—[e] κρατηθὲν τὸ λοιπὸν διώλετο o.—[f] ἐπὰν r.—[g] ἦν τε AFdo.—[h] προσείπωμεν F.—[i] κατὰ Σxegr et corr Τ.—[k] κινεῖ xeg.—[l] ἀεί τινας AΘFSYsdor: τινας ἀεὶ s.—[m] αὐτὸ F.—[n] οἷον

ἵνα ἀμυνομένω γίγνωνται] Cod. Tub. qua hic opus est, lectionem offert γίγνησθον loco vulgaris γίγνωνται. Lind.

ὑγιᾶ] Legitur etiam ὑγιῆ. Steph.

σφόδρα] For. aptius σφοδρᾷ legeretur, vocibus eleganter implicatis. Steph.

ἀποδοτέον] Cod. Tub. elegantem hic exhibet lectionem ἀνταποδοτέον. Lind.

γενείας εἰς τάξιν κατακοσμῇ πρὸς ἄλληλα, κατὰ τὸν πρόσθεν λόγον ὃν περὶ τοῦ παντὸς ἐλέγομεν,[o] οὐκ ἐχθρὸν
III. ii. 135. παρ' ἐχθρὸν τιθέμενον ἐάσει πολέμους ἐντίκτειν[p] τῷ σώματι καὶ νόσους, ἀλλὰ φίλον[q] παρὰ φίλον τεθὲν[r] ὑγίειαν
III. 89. ἀπεργαζόμενον[s] παρέξει. τῶν δ' αὖ κινήσεων ἡ ἐν ἑαυτῷ[t] ὑφ' ἑαυτοῦ[u] ἀρίστη κίνησις—μάλιστα γὰρ τῇ διανοητικῇ καὶ τῇ[x] τοῦ παντὸς κινήσει ξυγγενής—, ἡ[y] δὲ ὑπ' ἄλλου χείρων· χειρίστη δὲ ἡ κειμένου τοῦ σώματος καὶ ἀγόντος ἡσυχίαν δι' ἑτέρων αὐτὸ κατὰ μέρη κινοῦσα. διὸ δὴ τῶν καθάρσεων καὶ ξυστάσεων τοῦ[z] σώματος[a] ἡ μὲν διὰ τῶν γυμνασίων[b] ἀρίστη, δευτέρα δὲ ἡ διὰ τῶν αἰωρήσεων κατά τε τοὺς πλοῦς καὶ ὅπῃ[c] περ ἂν ὀχήσεις ἄκοποι γίγνωνται· τρίτον δὲ εἶδος κινήσεως σφόδρα ποτὲ ἀναγκαζομένῳ χρήσιμον, ἄλλως δὲ οὐδαμῶς τῷ νοῦν[d] ἔχοντι προσδεκτέον,[e] τὸ τῆς φαρμακευτικῆς καθάρσεως γιγνόμενον ἰατρικόν. τὰ γὰρ νοσήματα ὅσα μὴ μεγάλους ἔχει κινδύνους, οὐκ ἐρεθιστέον[f] φαρμακείαις.[g] πᾶσα[h] γὰρ ξύστασις νόσων[i] τρόπον τινὰ τῇ τῶν ζώων φύσει προσέοικε. καὶ[k] γὰρ ἡ τούτων ξύνοδος ἔχουσα τεταγμένους τοῦ βίου γίγνεται χρόνους τοῦ

SYsr.—[o] λέγομεν A.—[p] ἐντίκτη s.—[q] παρὰ φίλον om g.—[r] τιθέμενον o.—[s] ἐργαζόμενον pr S.—[t] ἑαυτῶι Ado: αὐτῷ s.—[u] ἀφ' Ss.—[w] ἑαυτῆς F. αὐτοῦ A.—[x] καὶ τῇ add ΑΘΣΤFSYqsxdegor.—[y] εἰ r.—[z] τοῦ add Ado.—[a] σώματα Υ, σῶμα FYsr, σώματι q.—[b] γυμνασιῶν ΥSYsxeg.—[c] ὅπου Ssr, ὅποι Y.—[d] νῦν r.—[e] προσδεκτέον A.—[f] αἱρεθιτέον x.—[g] φαρμακείαις A: φαρμακείαις οὐκ ἐρεθ. o.—[h] πᾶσαν Ξ.—[i] νό-

§. 70. τοῦ παντὸς κινήσει] Ficinus vertens: *Nam et mentis, et totius ipsius motioni*, legit καὶ τῇ τοῦ παντὸς etc. quod confirmatur a Cod. Tub. Lind.

ξυστάσεων] Ita quidem habent codices Græci omnes, διὸ δὴ τῶν καθάρσεων καὶ ξυστάσεων σώματος, ἡ μὲν διὰ τῶν γυμνασίων, ἀρίστη. Verum mihi valde suspecta est lectio vocis ξυστάσεων, et corrupte ipsam legi pro ἐξεράσεων voce suspicor, ut ex purgationibus et evacuationibus corporis, eam, quæ per exercitia fit, optimam esse accipiamus. Sunt enim ἐξεράσεις, *evacuationes*, hoc est, κενώσεις, a verbo ἐξεράσαι, medicis omnibus in frequenti usu. Sed nihil hic immutavi, et de hoc admonuisse satis esse duxi. Et fortassis ξυστάσεις accipiendæ sunt, velut *quæ corpus constituunt ac compingunt*, quod sane præstant exercitia, sicut eadem etiam purgant. Cornar.

ξυστάσεων] Stephanus quidem hic impugnans vocem ξυστάσεων, cujus in locum proposuit scribendum ἐξεράσεων, magnopere fallitur, quum, quod significat ἡ ἐξέρασις, latius patenti voce κάθαρσις jam exprimatur. Longe melius conjecisset ξυντάσεων: sed vulgaris lectio, altera sensu etiam fortior, defenditur loco apud Hippocratem περὶ ἀέρ. etc. c. 41. ὁκόσα δὲ sc. ὕδατά, ἐστι ἀτέραμνα καὶ σκληρὰ καὶ ἥκιστα ἔψειν ἀγαθὰ, ταῦτα δὲ ξυνίστησι μᾶλλον τὰς κοιλίας καὶ ξηραίνει. Ibid. c. 63. ὁκόταν—τὸ σῶμα μὴ ξυνίστηται. Lind.

τε γένους ξύμπαντος, καὶ καθ' αὐτὸ[l] τὸ ζῶον εἱμαρμένον ἕκαστον ἔχον[m] τὸν βίον φύεται, χωρὶς τῶν ἐξ ἀνάγκης παθημάτων· τὰ γὰρ[n] τρίγωνα εὐθὺς κατ' ἀρχὰς ἑκάστου[o] δύναμιν ἔχοντα[p] ξυνίσταται[q] μέχρι τινὸς χρόνου δυνατὰ III. ii. 136. ἐξαρκεῖν, οὗ βίον[r] οὐκ ἄν ποτέ τις εἰς τὸ πέραν ἔτι βιώη. τρόπος οὖν ὁ[s] αὐτὸς καὶ τῆς περὶ τὰ νοσήματα ξυστάσεως· ἦν[t] ὅταν τις παρὰ τὴν εἱμαρμένην τοῦ χρόνου φθείρῃ[u] φαρμακείαις, ἅμα ἐκ σμικρῶν[v] μεγάλα καὶ πολλὰ ἐξ ὀλίγων νοσήματα φιλεῖ γίγνεσθαι. διὸ παιδαγωγεῖν δεῖ[w] διαίταις[x] πάντα τὰ τοιαῦτα, καθ' ὅσον ἂν ᾖ τῷ σχολή, ἀλλ' οὐ φαρμακεύοντα[y] κακὸν δύσκολον ἐρεθιστέον. [§. 71.] Καὶ περὶ[z] μὲν τοῦ κοινοῦ ζώου καὶ τοῦ[a] κατὰ τὸ[b] σῶμα αὐτοῦ μέρους, ᾗ τις ἂν καὶ διαπαιδαγωγῶν[c] καὶ διαπαιδαγωγούμενος ὑφ' αὑτοῦ μάλιστ' ἂν κατὰ λόγον ζῴη, ταύτῃ[d] λελέχθω. τὸ δὲ δὴ παιδαγωγῆσον[e] αὐτὸ μᾶλλόν που καὶ πρότερον παρασκευαστέον εἰς δύναμιν ὅτι κάλλιστον καὶ ἄριστον εἰς τὴν[f] παιδαγωγίαν εἶναι. δι' ἀκριβείας μὲν οὖν περὶ τούτων διελθεῖν ἱκανὸν ἂν γένοιτο αὐτὸ καθ' αὑτὸ μόνον ἔργον· τὸ δ' ἐν παρέργῳ κατὰ τὰ[g] πρόσθεν ἑπόμενος ἄν τις οὐκ ἀπὸ τρόπου τῇδε σκοπῶν ὧδε τῷ λόγῳ διαπεράναιτ' ἄν. καθάπερ εἴπομεν πολλάκις ὅτι τρία τριχῇ ψυχῆς[h] ἐν ἡμῖν εἴδη κατῴκισται, τυγχάνει δ' ἕκαστον κινήσεις ἔχον, οὕτω κατὰ ταὐτὰ[i] καὶ νῦν ὡς διὰ

σων om Ss.—[k] καὶ...χρόνους om *x*.—[l] κα÷τ' αὐτὸ A.—[m] ἕκαστον ἔχον AΘSYsdg or, ἕκαστον ἔχειν F : ἔχον ἕκαστον *s.—[n] γὰρ om *s*.—[o] ἑκάστου AΘFSYqsdor : ἑκάστων cum *s corr Υ.—[p] ἔχοντος Υ.—[q] ξυνίστ. καὶ μ. ὀ.—[r] βίου Ξ.—[s] ὁ add A ds.—[t] ἦν ASqsdor et mg F, ἤν ceteri : ἦν ἃ *s.—[u] φθείροι SYq.—[v] σμικρῶν AΘ FSYsdor : μικρῶν *s*.—[w] δεῖ ante παιδαγωγεῖν ponit F, om Ss.—[x] διαίτας g.—[y] φαρμακεύοντα AΘFq et pr Υ : φαρμακεύοντας *s.—[z] τὰ Υ.—[a] καὶ τοῦ om *x*.—[b] τὸ om Ξs.—[c] παιδαγωγῶν F, διὰ παιδαγωγῶν ΣΥΥ.—[d] ταῦτα s.—[e] παιδαγωγῆσαι s.—[f] τὴν om Ξ.—[g] τὸ Ab, om pr Ξ.—[h] τριχῆι ψυχῆς AΘFSYsdo et pr Υ : ψυ-

ἐξ ἀνάγκης] Non ea solum, quæ præcedunt, εἱμαρμένον ἔχον ἕκαστον τὸν βίον, sed etiam subsequentia suadent legenti, ut verba ἐξ ἀνάγκης mutet in ἐκτὸς ἀνάγκης, quum hic mala *fortuita* opponantur *fatalibus*. Lind.

δυνατὰ] Expunge istud δυνατὰ, quod nullo pacto hic potest ferri, tanquam glossa τῶν, δύναμιν ἔχοντα, nisi forte δυνατὰ hic loco τοῦ εὖ sive καλῶς. Lind.

φθείρῃ] Nonne hic scribendum videtur ἐρεθίσῃ loco vulgaris φθείρῃ? Uti supra B. τὰ γὰρ νοσήματα ὅσα μὴ μεγάλους ἔχει κινδύνους, οὐκ ἐρεθιστέον φαρμακείαις, et D. ἀλλ' οὐ φαρμακεύοντας κακὸν δύσκολον ἐρεθιστέον. Lind.

§. 71. ζώου] In Græcis deficit vox ζώου. Legendum enim est, καὶ περὶ μὲν τοῦ κοινοῦ ζώου κ. λ. Cornar.

III. ii. 137. βραχυτάτων ῥητέον ὅτι τὸ μὲν αὐτῶν ἐν ἀργίᾳ διάγον καὶ τῶν ἑαυτοῦ κινήσεων ἡσυχίαν ἄγον ἀσθενέστατον ἀνάγκη γίγνεσθαι, τὸ δ' ἐν γυμνασίοις ἐῤῥωμενέστατον· διὸ

III. 90. φυλακτέον ὅπως ἂν ἔχωσι τὰς κινήσεις πρὸς ἄλληλα[k] συμμέτρους.[l] τὸ δὲ δὴ[m] περὶ τοῦ[n] κυριωτάτου[o] παρ'[p] ἡμῖν ψυχῆς εἴδους διανοεῖσθαι δεῖ τῇδε, ὡς ἄρα αὐτὸ[q] δαίμονα θεὸς ἑκάστῳ δέδωκε, τοῦτο[r] ὃ δὴ φαμεν οἰκεῖν[s] μὲν ἡμῶν[t] ἐπ' ἄκρῳ τῷ σώματι, πρὸς δὲ τὴν ἐν οὐρανῷ ξυγγένειαν[u] ἀπὸ γῆς ἡμᾶς αἴρειν[v] ὡς ὄντας φυτὸν οὐκ ἔγγειον ἀλλ' οὐράνιον, ὀρθότατα[w] λέγοντες·[x] ἐκεῖθεν γὰρ ὅθεν ἡ πρώτη τῆς ψυχῆς γένεσις[y] ἔφυ, τὸ θεῖον τὴν κεφαλὴν καὶ ῥίζαν ἡμῶν[z] ἀνακρεμαννὺν[a] ὀρθοῖ πᾶν τὸ[b] σῶμα. τῷ μὲν οὖν περὶ τὰς[c] ἐπιθυμίας[d] ἢ φιλονεικίας τετευτακότι[e] καὶ ταῦτα διαπονοῦντι σφόδρα πάντα τὰ δόγματα ἀνάγκη θνητὰ ἐγγεγονέναι,[f] καὶ παντάπασι καθ' ὅσον μάλιστα δυνατὸν θνητῷ[g] γίγνεσθαι,[h] τούτου μηδὲ σμικρὸν ἐλλείπειν,[i] ἅτε τὸ[k] τοιοῦτον ἠυξηκότι· τῷ[l] δὲ περὶ φιλομάθειαν[m] καὶ περὶ[n] τὰς τῆς ἀληθείας[o] φρονήσεις ἐσπουδακότι καὶ ταῦτα[p] μάλιστα

χῆς τριχῇ s.—[i] ταῦτα F.—[k] ἀλλήλας s.—[l] συμμέτρους AFbo et pr Υ : συμμέτρως ω *s.—[m] δὴ om Ab.—[n] περὶ τοῦ om Ss.—[o] κυριώτατον s.—[p] ἐν SYqsx.—[q] αὐτὸ Σ, αὐτῷ F.—[r] τοῦτο S.—[s] οἰκεῖα egx.—[t] ἡμῶν om S.—[u] ξ. ΑΘΥΤFSYsxbegor.—[v] αἴρει Yr.—[w] ὀρθότητα g.—[x] λέγοντας ΘΞΣΥSYxegr.—[y] ψυχῆς ἡμῶν γέν. r.—[z] ὑμῶν e.—[a] ἀνακρεμαννὺν ΞΣΥe, ἀνακρεμὰν νῦν F, ἀνακερανννὺν g.—[b] τὸ o.—[c] περὶ ἐπι τὰς om r.—[d] προθυμίας ἢ περὶ A.—[e] τετευτακότι Ab, τετευκότι ΘΞΥFSYs, τετακότι ευχ e, τετακότι x, τετευχότι Ξgor : τετηκότι s.—[f] γεγονέναι SYsx.—[g] θνητῶν x.—[h] γενέσθαι g.—[i] ἐλλείπειν AΞFbo et corr Θ : ἐλλιπεῖν *s.—[k] τὸ om pr o.—[l] τὸ F. εἰ —[m] φιλομαθίαν b et pr A, φιλομαθίας Θ, φιλομαθίας F, φιλομαθείας Yo.—[n] περὶ o.

αὐτὸ] Aptius esset *αὐτήν*: potest alioqui cum *αὐτὸ* intelligi *εἶδος*, ex præcedente genitivo *εἴδους*. STEPH.

ἐν οὐρανῷ] Primum hic videtur expungenda vocula *ἐν*, quod verbis sequentibus, *ὡς ὄντας φυτὸν οὐκ ἔγγειον, ἀλλ' οὐράνιον* confirmatur. Tum juvat hic repetere emendationem olim a me factam loci huicce similis in fragmento Timæi Locrensis, ubi est p. 99—100. *ἑκάτερον δὲ περὶ τὰν κεφαλὰν ἵδρυται μένον, ὡς τἄλλα μέρεα τᾶς ψυχᾶς καὶ τῶ σώματος ὑπηρετέεν τούτῳ καθάπερ ὑπ' αὐτῶ τῷ σκάνεος ἅπαντος*, ubi procul dubio corrigendum *ὑπάτῳ* loco *τῶν, ὑπ' αὐτῶ*. LIND.

τετηκότι] Græce legendum est, *τῷ μὲν οὖν περὶ τὰς ἐπιθυμίας ἢ φιλονεικίας τετηκότι*, hoc est, *qui circa cupiditates, aut contentiones, intabuit*. Vulgati codices falso habent *τετευχότι*, Ms. *τετευκότι*. Et mox legendum in Græcis, *τῷ δὲ περὶ φιλομάθειαν, καὶ περὶ τὰς τῆς ἀληθείας φρονήσεις ἐσπουδακότι κ. λ.* CORNAR. Cod. Tub. *τετευτακότι*. BIP.

τῶν αὐτοῦ γεγυμνασμένῳ φρονεῖν μὲν ἀθάνατα καὶ θεῖα, ἄν[q] περ ἀληθείας ἐφάπτηται, πᾶσα ἀνάγκη που, καθ' ὅσον δ'[r] αὖ[s] μετασχεῖν ἀνθρωπίνη φύσις[t] ἀθανασίας ἐνδέχεται, III. ii. 138
τούτου μηδὲν[u] μέρος ἀπολείπειν,[v] ἅτε δὲ[w] ἀεὶ θεραπεύοντα[x] τὸ θεῖον[y] ἔχοντά τε αὐτὸν εὖ μάλα[z] κεκοσμημένον τὸν δαίμονα ξύνοικον ἐν[a] αὑτῷ διαφερόντως εὐδαίμονα εἶναι. θεραπεία δὲ δὴ[b] παντὶ[c] παντὸς[d] μία, τὰς οἰκείας ἑκάστῳ τροφὰς καὶ κινήσεις ἀποδιδόναι. τῷ δ' ἐν ἡμῖν θείῳ ξυγγενεῖς[e] εἰσὶ[f] κινήσεις αἱ τοῦ παντὸς διανοήσεις καὶ περιφοραί. ταύταις δὴ ξυνεπόμενον ἕκαστον δεῖ, τὰς περὶ τὴν γένεσιν ἐν τῇ κεφαλῇ[g] διεφθαρμένας ἡμῶν περιόδους ἐξορθοῦντα[h] διὰ τὸ καταμανθάνειν τὰς τοῦ[i] παντὸς ἁρμονίας τε καὶ περιφοράς, τῷ κατανοουμένῳ τὸ κατανοοῦν[k] ἐξομοιῶσαι κατὰ[l] τὴν ἀρχαίαν φύσιν, ὁμοιώσαντα δὲ τέλος ἔχειν τοῦ προτεθέντος ἀνθρώποις ὑπὸ θεῶν[m] ἀρίστου βίου πρός τε τὸν παρόντα καὶ τὸν[n] ἔπειτα χρόνον.

§. 72. Καὶ δὴ καὶ τὰ νῦν ἡμῖν ἐξ ἀρχῆς παραγγελθέντα διεξελθεῖν περὶ τοῦ παντὸς μέχρι γενέσεως ἀνθρωπίνης σχεδὸν ἔοικε τέλος ἔχειν. τὰ γὰρ ἄλλα ζῶα ἢ γέγονεν αὖ, διὰ βραχέων ἐπιμνηστέον, ὅ[o] μή τις ἀνάγκη μηκύνειν·[p] οὕτω γὰρ ἐμμετρώτερός[q] τις ἂν[r] αὐτῷ δόξειε περὶ[s] τοὺς τούτων λόγους εἶναι. τῇδ' οὖν[t] τὸ τοιοῦτον ἔστω λε- III. ii. 139.
γόμενον.[u] Τῶν γενομένων ἀνδρῶν ὅσοι δειλοὶ καὶ τὸν βίον ἀδίκως διῆλθον, κατὰ λόγον τὸν[v] εἰκότα γυναῖκες μετεφύοντο ἐν τῇ δευτέρᾳ γενέσει. καὶ[w] κατ'[x] ἐκεῖνον δὴ τὸν χρό- III. 91.
νον διὰ ταῦτα[y] θεοὶ τὸν τῆς[z] ξυνουσίας ἔρωτα ἐτεκτήναντο,

—[o] τὰς ἀληθεῖς Abo.—[p] καὶ περὶ ταῦτα o.—[q] ἐάν o.—[r] δ' om b.—[s] ἂν or.—[t] φύσει so.—[u] μὴ δὲ F, μηδ' ἂν r.—[v] ἀπολείπειν Ab : ἀπολιπεῖν *s.—[w] δὴ r.—[x] θεραπευτέον SYsr.—[y] τὸ θεῖον om g.—[z] μάλα om Abo.—[a] ἐν om o.—[b] δὴ om x.—

[c] παντὶ AΘFYbor, πάντῃ Υ, om Ss : πάντῃ *s.—[d] πάντως b.—[e] ξυγγενεῖ ΣΥxe.—[f] ἐστὶν s.—[g] ταῖς κεφαλαῖς r.—[h] ἐξορθοῦσθαι r.—[i] τοῦ o.—[k] κατὰ νοῦν pr Ξ.—[l] διὰ r.—[m] θεοῦ SYgr.—[n] τὸν post καὶ om F.—[o] ὅτι o, εἰ Fq et corr Θ.—[p] μηνύειν ΣΥSYsxegr.—[q] ἐμμετρότερος A et pr Ξ, ἂν ἐμμετρότερος o, ἐμμετρότερος F : εὐμετρότερος *s.—[r] ἂν add AΘΣΥFSYsxbegr.—[s] παρὰ r.—[t] οὖν AΘΥFSYsxbegor : αὖ r.—[u] λέγομεν Υsr.—[v] τὸν ante εἰκότα om pr Ξ.—[w] καὶ om o.—[x] μετ' r.—[y] τὸν et διὰ ταῦτα om F.—[z] τῆς om x.—[a] ἐν om pr A, suffecto rc bν.—[b] post

ἀνθρωπίνη] Videri posset legendum, καθ' ὅσον δ' αὖ μετασχεῖν ἀνθρωπίνην φύσιν ἀθανασίας ἐνδέχεται: sed puto et alibi talem cum hoc aut tali verbo usum nominativi extare. Steph.

ζῷον τὸ μὲν ἐν[a] ἡμῖν, τὸ δ' ἐν ταῖς γυναιξὶ συστήσαντες ἔμψυχον, τοιῷδε[b] τρόπῳ ποιήσαντες ἑκάτερον. τὴν τοῦ ποτοῦ διέξοδον, ᾗ[c] διὰ τοῦ πλεύμονος[d] τὸ πῶμα[e] ὑπὸ τοὺς νεφροὺς εἰς τὴν κύστιν ἐλθὸν καὶ τῷ πνεύματι[f] θλιφθὲν[g] ξυνεκπέμπει δεχομένῃ,[h] ξυνέτρησαν[i] εἰς τὸν ἐκ τῆς κεφαλῆς κατὰ τὸν αὐχένα καὶ διὰ[k] τῆς ῥάχεως μυελὸν ξυμπεπηγότα, ὃν δὴ σπέρμα ἐν τοῖς πρόσθεν λόγοις εἴπομεν· ὁ δέ, ἅτ' ἔμψυχος ὢν καὶ λαβὼν ἀναπνοὴν τοῦθ'[l] ᾗ περ ἀνέπνευσε, τῆς ἐκροῆς ζωτικὴν ἐπιθυμίαν ἐμποιήσας αὐτῷ[m] τοῦ γεννᾶν ἔρωτα ἀπετέλεσε. διὸ[n] δὴ τῶν μὲν ἀνδρῶν τὸ περὶ τὴν τῶν αἰδοίων[o] φύσιν ἀπειθὲς[p] τε καὶ αὐτοκρατὲς γεγονός, οἷον ζῷον ἀνυπήκοον τοῦ λόγου, πάντων δι' ἐπιθυμίας οἰστρώδεις ἐπιχειρεῖ κρατεῖν· αἱ δ' ἐν ταῖς γυναιξὶν αὖ μῆτραί τε[q] καὶ ὑστέραι λεγόμεναι διὰ ταὐτὰ ταῦτα, ζῷον ἐπιθυμητικὸν ἐνὸν τῆς παιδοποιίας, ὅταν ἄκαρπον παρὰ[r] τὴν ὥραν χρόνον πολὺν γίγνηται, χαλεπῶς ἀγανακτοῦν φέρει, καὶ πλανώμενον πάντῃ κατὰ τὸ σῶμα, τὰς τοῦ πνεύματος διεξόδους ἀποφράττον, ἀναπνεῖν οὐκ ἐῶν εἰς ἀπορίας[s] τὰς[t] ἐσχάτας ἐμβάλλει καὶ νόσους παντοδαπὰς ἄλλας παρέχεται,[u] μέχρι περ ἂν[v] ἑκατέρων[w] ἡ ἐπιθυμία καὶ ὁ ἔρως ἐξαγαγόντες[x] οἷον ἀπὸ δένδρων[y] καρπὸν κατὰ δρέψαντες,[z] ὡς εἰς ἄρουραν τὴν μήτραν[a] ὁράτα ὑπὸ σμικρότητος καὶ ἀδιάπλαστα ζῷα κατασπείραντες, καὶ πάλιν διακρίναντες, μεγάλα ἐντὸς ἐκθρέψωνται καὶ μετὰ ταῦτα[b] εἰς φῶς ἀγαγόντες ζώων ἀποτελέσωσι γένεσιν. [§. 73.] Γυναῖκες μὲν οὖν καὶ τὸ[c] θῆλυ πᾶν οὕτω γέγο-

III. ii. 140.

τοιῷδε omisi δὲ cum AΣFo et pr Ξ: ejus loco τω ϐ, δὴ γ.—[c] τὴν ἢ Ss.—[d] πλεύμονος ϐ.—[e] πῶμα Fγ: πόμα *s.—[f] post πνεύματι cum Aϐ omisi τὸ.—[g] θλιβὲν o, λιφθὲν x.—[h] δεχόμενοι s.—[i] ξυνεκπίπτει gο.—[k] διὰ om o.—[l] ταῦθ' mg F.—[m] ἑαυτῷ o.—[n] δὶς s.—[o] αἰδοίων om x.—[p] ἀπιθές x.—[q] τε om Ss.—[r] περὶ s.—[s] ἀπορίας τε ἄλλας τὰς s et γρ Ξ.—[t] τὰς om γ.—[u] παρέχει ϐο.—[v] ἂν ἑκατέρων om s.—[w] ξυναγαγόντες AFo, ξυνδιαγαγόντες ϐ.—[x] δένδρου s.—[y] καταδρέψαντες ΘFS Yqsσγ, ἀποδρέψαντες ϐ.—[z] ὡς om s.—[a] μητέρα SY.—[b] τοῦτο AFϐο.—[c] τὸ om s.

§. 72. διὰ τοῦ πνεύμονος—δεχόμενοι] Ita correxit hunc locum Cornarius. Ald. cum rel. διὰ τοῦ πνεύματος—δεχομένη. Jam Ficinus, *Quo per pulmones etc.* Bip.

καὶ λαβὼν ἀναπνοὴν τοῦθ' ᾗπερ ἀνέπνευσε] *Ac respirans, qua parte spirat.* Ficin. Videtur igitur hic rescribendum ταύτῃ sive ταῦθ'. Lind.

δι' ἐπιθυμίας οἰστρώδεις] *Furiosarum libidinum violentia.* Ficin. An legit ille casu altero δι' ἐπιθυμίας οἰστρώδους? ut, quo id instrumento fiat, potius quam rei causam significet. Lind.

νε· τὸ δὲ τῶν ὀρνέων φῦλον μετερρύθμιζετο, ἀντὶ τριχῶν πτερὰ φύον, ἐκ τῶν ἀκάκων[d] ἀνδρῶν, κούφων δέ, καὶ μετεωρολογικῶν[e] μέν, ἡγουμένων δὲ[f] δι' ὄψεως τὰς περὶ τούτων ἀποδείξεις βεβαιοτάτας εἶναι δι' εὐήθειαν. τὸ δ' αὖ πεζὸν καὶ θηριῶδες γέγονεν[g] ἐκ τῶν μηδὲν[h] προσχρωμένων φιλοσοφίᾳ μηδὲ ἀθρούντων τῆς[i] περὶ τὸν οὐρανὸν[k] φύσεως[l] πέρι μηδέν, διὰ τὸ μηκέτι ταῖς[m] ἐν τῇ κεφαλῇ χρῆσθαι περιόδοις, ἀλλὰ τοῖς περὶ τὰ στήθη τῆς[n] ψυχῆς ἡγεμόσιν ἔπεσθαι μέρεσιν. ἐκ τούτων οὖν τῶν ἐπιτηδευμάτων τά τ' ἐμπρόσθια[o] κῶλα καὶ τὰς κεφαλὰς εἰς γῆν ἑλκόμενα ὑπὸ iii. ii. 141.
ξυγγενείας ἤρεισαν, προμήκεις τε καὶ παντοίας ἔσχον τὰς κορυφάς,[p] ὅπῃ[q] συνεθλίφθησαν[r] ὑπὸ ἀργίας[s] ἑκάστων αἱ iii. 92.
περιφοραί. τετράπουν τε[t] τὸ γένος αὐτῶν ἐκ ταύτης ἐφύετο καὶ πολύπουν τῆς προφάσεως, θεοῦ βάσεις ὑποτιθέντος[u] πλείους τοῖς[v] μᾶλλον ἄφροσιν, ὡς μᾶλλον ἐπὶ γῆν ἕλκοιντο. τοῖς δ' ἀφρονεστάτοις αὐτῶν τούτων καὶ παντάπασι πρὸς γῆν πᾶν τὸ[w] σῶμα κατατεινομένοις ὡς οὐδὲν[x] ἔτι ποδῶν χρείας οὔσης, ἄποδα αὐτὰ καὶ ἰλυσπώμενα[y] ἐπὶ γῆς ἐγέννησαν. τὸ δὲ τέταρτον γένος ἔνυδρον γέγονεν ἐκ τῶν μάλιστα ἀνοητοτάτων καὶ ἀμαθεστάτων, οὓς οὐδ' ἀναπνοῆς καθαρᾶς ἔτι[z] ἠξίωσαν οἱ μεταπλάττοντες, ὡς τὴν ψυχὴν ὑπὸ πλημμελείας πάσης[a] ἀκαθάρτους ἐχόντων, ἀλλ' ἀντὶ λεπτῆς καὶ καθαρᾶς ἀναπνοῆς ἀέρος εἰς ὕδατος θολερὰν καὶ βαθεῖαν ἔωσαν ἀνάπνευσιν· ὅθεν ἰχθύων ἔθνος[b] καὶ τὸ τῶν ὀστρέων ξυναπάντων τε ὅσα ἔνυδρα γέγονε, δίκην ἀμαθίας ἐσχάτης ἐσχάτας[c] οἰκήσεις εἰληχότων. καὶ κατὰ ταῦτα δὴ πάντα τότε[d] καὶ νῦν διαμείβεται τὰ ζῶα εἰς ἄλληλα, νοῦ καὶ ἀνοίας[e] ἀποβολῇ καὶ κτήσει μεταβαλλόμενα.

—[d] ἀτέχνων ο.—[e] μετεωρολογιῶν F.—[f] δὲ om x.—[g] γίνεται s.— [h] μηδὲ Θ.—[i] τῆς ΑΞΣΥFSYqsxbegor: τῶν s.—[k] τῶν οὐρανῶν xbε.—[l] φύσεως add AFqdo et mg Θ. —[m] τῆς Ygr.—[n] τῆς add Ab.—[o] τ' ἐμπρόσθια Ab: τε πρόσθια ^{m}s.—[p] ἔχοντας κορ. ο.—[q] ὅποι Υr, ὅπου s.—[r] συνεθλίβησαν xε.—[s] ἀργείας Ξ.—[t] δὲ x.—[u] ὑποτ

θέντος pr Υ.—[v] γῆς FS.—[w] τὸ om g.—[x] οὐδὲ ο.—[y] ἰλυσπώμενα Y.—[z] ἔτι om Ss et qui ἐπηξίωσαν habent ΘFYr.—[a] ἁπάσης FSYqsr.—[b] ἔθνος Abo: γένος ^{m}s.—

§. 73. δίκην ἀμαθίας] Sic Cornarius; Edd. habent δίκαια. Bip.

Καὶ δὴ καὶ τέλος περὶ τοῦ παντὸς νῦν ἤδη τὸν λόγον
III. ii. 142. ἡμῖν φῶμεν[f] ἔχειν· θνητὰ γὰρ καὶ ἀθάνατα ζῶα λαβὼν καὶ ξυμπληρωθεὶς ὅδε ὁ[g] κόσμος, οὕτω ζῶον ὁρατὸν τὰ ὁρατὰ[h] περιέχον,[i] εἰκὼν τοῦ νοητοῦ[k] θεὸς[l] αἰσθητός, μέγιστος[m] καὶ ἄριστος[n] κάλλιστός τε καὶ τελεώτατος[o] γέγονεν, εἷς οὐρανὸς ὅδε, μονογενὴς ὤν.

[c] ἐσχάτας om 0.—[d] πάντοτε 0.—[e] διανοίας 0.—[f] ἡμῖν φῶμεν Aὐ : φῶμεν ἡμῖν *ς. —[g] ὁ om ΞΣF.—[h] ἀόρατα ὐ.—[i] περιέχον Y.—[k] ποιητοῦ Aὐ.—[l] θεὸς ΑΘFSYsdo cum pr Υ et γρ Ξ : θεοῦ *ς.—[m] μέγιστός τε 0.—[n] ἀόριστος ΣΥSY.xegr, ἄριστος cum *ς corr Θ.—[o] τελεώτερος Θ.

νοητοῦ θεοῦ] In præced. editionibus, εἰκὼν τοῦ νοητοῦ, θεὸς αἰσθητός : et post τε λεώτατος non habent γέγονεν. STEPH.

νοητοῦ θεοῦ, αἰσθητὸς] Ald. Bas. 1. 2. νοητοῦ, θεὸς αἰσθητός. Pravam hanc interpunctionem sustulit jam Cornarius. BIP.

TABULA IN PLATONIS TIMÆUM ET CRITIAM.

ΚΡΙΤΙΑΣ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΤΙΜΑΙΟΣ, ΚΡΙΤΙΑΣ, ΣΩΚΡΑΤΗΣ,
ΕΡΜΟΚΡΑΤΗΣ.

ARGUMENTUM.

Est hic dialogus, Timæi majoris appendix, de prisci mundi historia. Est ergo omnis hujus disputationis sermo plane historicus: cujus finis et subjectum est primævi illius seculi commemoratio. De Atheniensibus autem nominatim agit, qui se omnium Græcorum antiquissimos ferebant, tributa sibi *αὐτοχθόνων* augusta appellatione, ut se suas sedes constanter tenuisse testarentur: quod quidem ad domesticam Atheniensium laudem pertinebat maxime: idcirco a Platone patriæ suæ amante hoc accuratissime perscriptum est; verisimile tamen est, hanc omnem narrationem ex Ægyptiorum monumentis fuisse desumtam, qui præter ceteras nationes antiquitatis jus atque dignitatem sibi arrogabant.

ΚΡΙΤΙΑΣ.

§. 1. Ὡς ἄσμενος, ὦ Σώκρατες, οἷον ἐκ μακρᾶς ἀναπεπαυμένος ὁδοῦ, νῦν οὕτως[a] ἐκ τῆς τοῦ λόγου διαπορείας[b] ἀγαπητῶς[c] ἀπήλλαγμαι! τῷ[d] δὲ πρὶν μὲν πάλαι ποτ' ἔργῳ, νῦν[e] δὲ λόγοις ἄρτι θεῷ γεγονότι προσεύχομαι, τῶν ῥηθέντων ὅσα μὲν ἐρρήθη μετρίως, σωτηρίαν ἡμῖν αὐτὸν[f] αὐτῶν διδόναι, παρὰ μέλος δὲ εἴ τι περὶ αὐτῶν[g] ἄκοντες εἴπομεν, δίκην τὴν πρέπουσαν ἐπιτιθέναι. δίκη δὲ ὀρθὴ τὸν πλημμελοῦντα ἐμμελῆ ποιεῖν· ἵν' οὖν τὸ λοιπὸν τοὺς περὶ θεῶν γενέσεως ὀρθῶς λέγωμεν[h] λόγους, φάρμακον ἡμῖν αὐτὸν τελεώτατον καὶ ἄριστον Φαρμάκων ἐπιστήμην εὐχόμεθα διδόναι. προσευξάμενοι δὲ παραδίδομεν κατὰ τὰς ὁμολογίας Κριτίᾳ τὸν ἑξῆς λόγον. Steph. III. 106. Bek. III. ii. 145.

ΚΡΙ. Ἀλλ', ὦ Τίμαιε, δέχομαι μέν, ᾧ[i] δὲ καὶ σὺ κατ' ἀρχὰς ἐχρήσω συγγνώμην αἰτούμενος ὡς περὶ μεγάλων μέλλων λέγειν, ταὐτὸν καὶ νῦν ἐγὼ τοῦτο παραιτοῦ- III. ii. 146.

CODICES DECEM,
ΑΞΣυzbceio.

[a] ὄντως ισ.—[b] διαπορίας ΞΣπzbceio.—[c] ἀγαπητὸς νb.—[d] τὸ zbce.—[e] νῆ b.—[f] αὐτὸν om pr Ξ.—[g] αὐτὸν zbce.—[h] λέγωμεν Ao, λέγομεν zbe: λέγοιμεν vcis et corr Σ.—[i] μέν ῶι δὲ καὶ σὺ A, μὲν ὧδε ὃ σὺ zbce: μὲν ὧδε ᾧ σὺ *σ.—[k] αὐτὸς v.—

§. 1. τῷ δὲ] Recte post δὲ poneretur hypostigme quæ ostenderet τῷ δὲ non jungi cum ἔργῳ. Steph.

δέχομαι] Videndum annon ita emendari possit hic locus, δέχομαι μέν· ᾧ δὲ σὺ κατ' ἀρχὰς ἐχρήσω, etc. Vel, δέχομαι μὲν τόνδε· ᾧ δὲ σὺ etc. Steph.

III. 107. μαι, μειζόνως δὲ αὐτοῦ[k] τυχεῖν ἔτι μᾶλλον ἀξιῶ περὶ τῶν μελλόντων ῥηθήσεσθαι. καί τοι σχεδὸν μὲν οἶδα παραίτησιν εὖ μάλα φιλότιμον καὶ τοῦ δέοντος ἀγροικοτέραν μέλλων παραιτεῖσθαι, ῥητέον δὲ ὅμως. ὡς μὲν γὰρ οὐκ εὖ τὰ παρὰ σοῦ λεχθέντα εἴρηται, τίς ἂν ἐπιχειρήσειεν ἔμφρων λέγειν; ὅτι δὲ τὰ ῥηθησόμενα πλείονος συγγνώμης δεῖται χαλεπώτερα ὄντα, τοῦτο πειρατέον πη διδάξαι. περὶ θεῶν γάρ, ὦ Τίμαιε, λέγοντά τι πρὸς ἀνθρώπους δοκεῖν ἱκανῶς λέγειν ῥᾷον ἢ περὶ θνητῶν πρὸς[l] ἡμᾶς.[m] ἡ γὰρ ἀπειρία καὶ σφόδρα[n] ἄγνοια[o] τῶν ἀκουόντων περὶ ὧν ἂν οὕτως ἔχωσι πολλὴν εὐπορίαν παρέχεσθον τῷ μέλλοντι λέγειν τι περὶ αὐτῶν·[p] περὶ δὲ δὴ θεῶν ἴσμεν ὡς ἔχομεν. ἵνα δὲ σαφέστερον ὃ λέγω δηλώσω, τῇδέ μοι συνεπισπέσθε.[q] μίμησιν μὲν[r] γὰρ δὴ[s] καὶ ἀπεικασίαν τὰ παρὰ πάντων ἡμῶν ῥηθέντα χρεών που γενέσθαι· τὴν δὲ τῶν γραφέων εἰδωλοποιίαν περὶ τὰ θεῖά τε καὶ τὰ[t] ἀνθρώπινα σώματα γιγνομένην ἴδωμεν ῥᾳστώνης τε πέρι καὶ χαλε-
III. ii. 147. πότητος[u] πρὸς τὸ[v] τοῖς ὁρῶσι δοκεῖν ἀποχρώντως μεμιμῆσθαι,[w] καὶ κατοψόμεθα ὅτι γῆν μὲν καὶ ὄρη καὶ ποταμοὺς καὶ ὕλην οὐρανόν τε ξύμπαντα καὶ[x] τὰ περὶ αὐτὸν[y] ὄντα καὶ ἰόντα πρῶτον μὲν ἀγαπῶμεν ἄν τίς τι[z] καὶ

[l] θνητῶν ἢ πρὸς vce : θνητῶν ᾗ πρὸς Ξzbis.—[m] ὑμᾶς Sios.—[n] σφόδρα Avzbceio : σφοδρὰ *s.—[o] ἄνοια Ξzceis.—[p] θεῶν e.—[q] συνεπισπέσθαι ΞAvzbceio.—[r] μὲν add A.—[s] δὴ om Σ.—[t] τὰ post καὶ add A.—[u] λεπτότητος Avzceis.—[v] τὸ om Ξcis.—[w] μεμιμῆσθαι Σo, μεμιμεῖσθαι vb, μεμνῆσθαι A : μὲν μιμεῖσθαι Ξzceis.—[x] τε καὶ

θνητῶν ᾗ] Scribe hic εἴη loco vulgaris ᾗ. LINDAU.

ἄνοια] Scribendum autem ἀγνοία loco vulgaris ἄνοια quæ vox hic omnino inepta. LIND.

τὴν δὲ τῶν γραφέων κ. τ. λ.] In Græcis legendum, τὴν δὲ τῶν γραφέων εἰδωλοποιΐαν περὶ τὰ θεῖά τε καὶ οὐράνια σώματα γιγνομένην. Vulgo ἀνθρώπινα habetur pro οὐράνια· sed falso. Nam de humanis deinde sequitur : et clarum evadit etiam in similitudinis adoptatione, ubi rursus θεῖα et οὐράνια conjunguntur. CORNAR.

ἀνθρώπινα] Affertur alia lectio, θεῖά τε καὶ οὐράνια σώματα, quam sequentia confirmant: quamvis et Fic. non hanc sed illam sequatur. STEPH.

ἀνθρώπινα σώματα κ. τ. λ.] Locus mirum quantum corruptus, nec sufficit præclara Cornarii emendatio, qui loco vulgaris ἀνθρώπινα proposuit scribendum οὐράνια, nec quæ Stephanus conjiciebat, πρὸς τὸ τοῖς ὁρῶσι δοκεῖν μεμιμῆσθαι. Nos scribendum judicamus, recepta Cornarii emendatione, sic : ἐὰν δὲ—ἴδωμεν, —πρὸς τῷ τοῖς ὁρῶσι δοκεῖν ἀποχρώντως μεμιμῆσθαι, καὶ κατοψώμεθα ὅτι—ἀγαπῶμεν, ἄν τις, εἰ καὶ βραχὺ, δυνατὸς ᾖ. LIND.

πρὸς τοῖς ὁρῶσι] Non improbatum iri puto istam meam de hujus loci emendatione conjecturam, πρὸς τὸ τοῖς ὁρῶσι δοκεῖν ἀποχρώντως μεμιμῆσθαι. Sic vero et particip. μεμιμημένα alibi passiva significatione. STEPH.

βραχὺ πρὸς ὁμοιότητα αὐτῶν ἀπομιμεῖσθαι δυνατὸς ᾖ,[a] πρὸς δὲ τούτοις, ἅτε οὐδὲν εἰδότες ἀκριβὲς περὶ τῶν τοιούτων, οὔτε ἐξετάζομεν οὔτε ἐλέγχομεν τὰ γεγραμμένα, σκιαγραφίᾳ δὲ ἀσαφεῖ καὶ ἀπατηλῷ χρώμεθα περὶ αὐτά· τὰ δὲ ἡμέτερα ὁπόταν τις ἐπιχειρῇ σώματα ἀπεικάζειν, ὀξέως αἰσθανόμενοι τὸ παραλειπόμενον διὰ τὴν ἀεὶ ξύνοικον κατανόησιν χαλεποὶ κριταὶ γιγνόμεθα τῷ μὴ πάσας πάντως τὰς ὁμοιότητας ἀποδιδόντι. ταὐτὸν[b] δὴ καὶ κατὰ τοὺς λόγους ἰδεῖν δεῖ γιγνόμενον, ὅτι τὰ μὲν οὐράνια καὶ θεῖα ἀγαπῶμεν καὶ σμικρῶς εἰκότα λεγόμενα, τὰ[c] δὲ θνητὰ καὶ ἀνθρώπινα[d] ἀκριβῶς ἐξετάζομεν. ἐκ δὴ τοῦ παραχρῆμα νῦν λεγόμενα, τὸ πρέπον ἂν μὴ δυνώμεθα πάντως ἀποδιδόναι, συγγιγνώσκειν χρεών· οὐ γὰρ ὡς ῥᾴδια τὰ θνητὰ ἀλλ' ὡς χαλεπὰ πρὸς δόξαν[e] ὄντα ἀπεικάζειν δεῖ διανοεῖσθαι. ταῦτα δή[f] βουλόμενος ὑμᾶς[g] ὑπομνῆσαι, καὶ τὸ τῆς συγγνώμης οὐκ ἔλαττον ἀλλὰ μεῖ- III. 108.
ζον αἰτῶν περὶ τῶν μελλόντων ῥηθήσεσθαι, πάντα ταῦτα εἴρηκα, ὦ Σώκρατες. εἰ δή[h] δικαίως αἰτεῖν φαίνομαι[i] τὴν III. ii. 148.
δωρεάν, ἐκόντες δίδοτε.

§. 2. ΣΩ. Τί δ' οὐ μέλλομεν, ὦ Κριτία, διδόναι; καὶ πρός γ' ἔτι[k] τρίτῳ δεδόσθω[l] ταὐτὸν τοῦτο Ἑρμοκράτει παρ' ἡμῶν. δῆλον γὰρ[m] ὡς ὀλίγον ὕστερον, ὅταν αὐτὸν δέῃ λέγειν, παραιτήσεται καθά περ ὑμεῖς· ἵν' οὖν ἑτέραν ἀρχὴν ἐκπορίζηται καὶ μὴ τὴν αὐτὴν ἀναγκασθῇ λέγειν, ὡς ὑπαρχούσης αὐτῷ συγγνώμης εἰς τότε οὕτω[n] λεγέτω. προλέγω γε μὴν ὦ φίλε Κριτία σοι τὴν τοῦ θεάτρου διά-

ξύμπαντα A.—[y] αὐτῶν e.—[z] τίς τι Ao, τις εἰ b, τεις εἰ v: τιτι *s.—[a] ἦν e.—[b] ταυτὸ vb.—[c] τὰ...λεγόμενα om e.—[d] ἀνθρώπινα Avzbo: τἀνθρώπινα *s.—[e] δόξα Ξ.—[f] δεῖ eb.—[g] ἡμᾶς Σ: ὑμᾶς *s.—[h] εἰ δὴ ASrzbeo, εἰ δὲ Ξ: εἰ δὲ δὴ cis.—[i] φαίνομεν i.—[k] γέ τι Ezceio.—[l] δεδόσθω Σo: διδόσθω *s.—[m] δῆλον γὰρ om o. καὶ
—[n] εἰς τότε οὕτω A, ἴστω τε οὕτω vzbce, ἴστω τε οὕτω o, ἴστω τε καὶ οὕτω Σ, ἴστω

ἀπατηλῷ] Dubitari possit an ea etiam terminatio quam habet ἀπατηλός, fœminino quoque generi Attico more servire queat, et annon potius scribendum hic sit ἀπατηλῇ. STEPH.

εἰκότα] Videtur scribendum εἰκότως loco vulgaris εἰκότα. LIND.

λεγόμενα] Videtur hic scribendum λεγομένῳ aut λεγομένοις loco vulgaris λεγόμενα, nisi præstat λεχθησομένῳ aut λεχθησομένοις, cui respondent quæ sequuntur, περὶ τῶν μελλόντων ῥηθήσεσθαι. LIND.

αἰτεῖν] Nonne præstat hic scribi αἰτῶν loco vulgaris αἰτεῖν? LIND.

νοιαν, ὅτι θαυμαστῶς[o] ὁ πρότερος εὐδοκίμηκεν[p] ἐν αὐτῷ ποιητής, ὥστε τῆς συγγνώμης δεήσει τινός σοι παμπόλλης, εἰ μέλλεις αὐτὰ δυνατὸς γενέσθαι παραλαβεῖν.

ΕΡ. Ταὐτὸν μήν, ὦ Σώκρατες, κἀμοὶ παραγγέλλεις ὅ περ τῷδε. Ἀλλὰ γὰρ ἀθυμοῦντες ἄνδρες οὔπω τρόπαιον ἔστησαν, ὦ Κριτία· προϊέναι τε οὖν ἐπὶ τὸν λόγον ἀνδρείως χρή, καὶ τὸν Παίωνά[q] τε καὶ τὰς Μούσας ἐπικαλούμενον τοὺς παλαιοὺς πολίτας ἀγαθοὺς ὄντας ἀναφαίνειν τε καὶ ὑμνεῖν.

ΚΡ. Ὦ φίλε Ἑρμόκρατες, τῆς ὑστέρας[r] τεταγμένος, ἐπίπροσθεν ἔχων ἄλλον ἔτι θαρρεῖς. τοῦτο μὲν οὖν οἷόν ἐσ-
III. ii. 149. τιν, αὐτός[s] σοι τάχα δηλώσει· παραμυθουμένῳ δ' οὖν καὶ παραθαρρύνοντί σοι πειστέον, καὶ πρὸς οἷς θεοῖς εἶπες, τούς τε ἄλλους κλητέον καὶ δὴ καὶ[t] τὰ μάλιστα Μνημοσύνην.[u] σχεδὸν γὰρ τὰ μέγιστα ἡμῖν τῶν λόγων ἐν ταύτῃ τῇ θεῷ πάντ' ἐστί· μνησθέντες γὰρ ἱκανῶς καὶ ἀπαγγείλαντες τά ποτε ῥηθέντα ὑπὸ τῶν ἱερέων καὶ δεῦρο ὑπὸ Σόλωνος κομισθέντα, σχεδὸν οἶδ'[v] ὅτι τῷδε[w] τῷ θεάτρῳ δόξομεν τὰ προσήκοντα μετρίως ἀποτετελεκέναι. τοῦτ' οὖν αὐτὸ[x] ἤδη δραστέον, καὶ μελλητέον οὐδὲν ἔτι.

§. 3. Πάντων δὴ πρῶτον μνησθῶμεν ὅτι τὸ κεφάλαιον ἦν ἐνάκις χίλια ἔτη[y] ἀφ' οὗ[z] γεγονὼς ἐμηνύθη πόλεμος τοῖς θ'[a] ὑπὲρ Ἡρακλείας στήλας ἔξω κατοικοῦσι καὶ τοῖς ἐντὸς πᾶσιν· ὃν δεῖ[b] νῦν διαπεραίνειν. τῶν μὲν οὖν ἥδε ἡ πόλις ἄρξασα[c] καὶ πάντα τὸν πόλεμον διαπολεμήσασα ἐλέγετο, τῶν δ' οἱ τῆς Ἀτλαντίδος νήσου βασιλεῖς, ἣν δὴ Λιβύης καὶ Ἀσίας μείζω νῆσον οὖσαν ἔφαμεν εἶναί ποτε, νῦν δὲ ὑπὸ σεισμῶν[d] δῦσαν ἄπορον[e] πηλὸν τοῖς ἐνθένδε[f] ἐκ-

οὕτω τε Ξις.—[o] θαυμαστὸς Ξzbci.—[p] εὐδοκίμησιν ΞΣvzbceios.—[q] παιᾶνά ΞΣs.—[r] ὑστεραίας iidem.—[s] αὐτός Ξs.—[t] καὶ post δὴ om is.—[u] τὴν μνημοσύνην ΞΣvzbceios.—[v] οἶσθ' Ξzceis.—[w] ὅτι καὶ τῷδε ΞΣs.—[x] αὐτὸς zbcei.—[y] ἐννάκις ἔτη χίλια ΞΣvzbceios.—[z] ἀφ' οὗ om pr Σ.—[a] τῆς δὲ i.—[b] δὴ Σio.—[c] ἄρχουσα ΞΣvzbceios.

§. 2. εἰ μέλλεις αὐτὰ] Scribendum videtur: εἰ μὴ μέλλεις αὐτὸν sc. τὸν πρότερον—ποιητὴν, δυνατὸς γενέσθαι παραλαβεῖν. Lind.

αὐτὸς] Fortasse scribendum est αὐτό: ut dicitur αὐτὸ δείξει. Steph.

αὐτός σοι τάχα δηλώσει] Stephanus quidem in locum vulgaris αὐτὸς proposuit αὐτὸ, quod quo referam non habeo. Quid si rescriberetur, αὐτὸς σὺ τάχα δηλώσεις. Lind.

§. 3. πηλὸν· τοῖς δ' ἐνθένδε] Scribe

πλέουσιν ἐπὶ τὸ πᾶν πέλαγος, ὥστε μηκέτι πορεύεσθαι, κω- III. 109.
λυτὴν παρασχεῖν, τὰ μὲν δὴ πολλὰ ἔθνη βάρβαρα, καὶ
ὅσα Ἑλλήνων ἦν γένη τότε,[g] καθ' ἕκαστα ἡ τοῦ λόγου
διέξοδος οἷον ἀνειλλομένη,[h] τὸ προστυχὸν ἑκασταχοῦ δη- III. ii. 150.
λώσει· τὸ δὲ Ἀθηναίων τε τῶν τότε καὶ τῶν ἐναντίων, οἷς[i]
διεπολέμησαν, ἀνάγκη κατ' ἀρχὰς διελθεῖν πρῶτα, τήν τε
δύναμιν ἑκατέρων καὶ τὰς πολιτείας. αὐτῶν δὲ τούτων τὰ
τῇδε ἔμπροσθεν προτιμητέον εἰπεῖν.

§. 4. Θεοὶ γὰρ ἅπασαν γῆν ποτὲ[j] κατὰ τοὺς τόπους
διελάγχανον, οὐ κατ' ἔριν· οὐ γὰρ ἂν ὀρθὸν ἔχοι λόγον
θεοὺς ἀγνοεῖν τὰ πρέποντα ἑκάστοις αὐτῶν, οὐδ' αὖ γι-
γνώσκοντας τὸ μᾶλλον ἄλλοις[k] προσῆκον τοῦτο ἑτέρους[l] αὐ-
τοῖς δι' ἐρίδων[m] ἐπιχειρεῖν κτᾶσθαι.[n] δίκης δὴ[o] κλήροις τὸ
φίλον[p] λαγχάνοντες κατῴκιζον τὰς χώρας, καὶ κατοικί-
σαντες, οἷον νομῆς[q] ποίμνια, κτήματα καὶ θρέμματα[r] ἑαυ-
τῶν ἡμᾶς ἔτρεφον, πλὴν οὐ σώμασι σώματα βιαζόμενοι,
καθά περ ποιμένες κτήνη πληγῇ νέμοντες,[s] ἀλλ' ἧ[t] μάλιστα
εὔστροφον[u] ζῷον, ἐκ πρύμνης ἀπευθύνοντες οἷον οἴακι[v]
πειθοῖ ψυχῆς ἐφαπτόμενοι κατὰ τὴν αὐτῶν διάνοιαν, οὕτως
ἄγοντες τὸ θνητὸν πᾶν[w] ἐκυβέρνων. ἄλλοι μὲν οὖν κατ'
ἄλλους τόπους κληρουχήσαντες θεῶν ἐκεῖνα ἐκόσμουν,[x] Ἥ-
φαιστος δὲ κοινὴν καὶ Ἀθηνᾶ[x] φύσιν ἔχοντες, ἅμα μὲν

—[d] σεισμὸν vzbc.—[e] δύσαν ἄπορον vzbco, οὖσαν ἄπορον e, δυσανάπορον Ξις.—
[f] τοῖς δ' ἔνθεν vzbeo et pr Σ, τοῖς δ' ἐνθένδε Ξcis.—[g] τότε γένη ΞΣς.—[h] ἀνελομένη
e, ἀνειλουμένη ΞΣcios.—[i] οἷς A : ὡς *s.—[j] ποτε om e.—[k] ἄλλοις om pr z.—[l] ἑτέ-
ροις A.—[m] διερίδων zb.—[n] ἡτᾶσθαι o, ἡττᾶσθαι Σ.—[o] δὲ τις.—[p] τὸ φίλον Avzbe,
τὸ φῦλον Σo : τὰ φίλων Ξcis.—[q] νομῆς ΞΣvzbcio et pr A, νομεῖς es.—[r] ποίμνια
κτήματα καὶ θρέμματα A, ποίμνια καὶ κτήματα καὶ θρέμματα Σvzbeo, κτήματα καὶ
ποίμνια καὶ θρέμματα Ξcis.—[s] μένοντες v.—[t] ἢ A : ἢ *s.—[u] εὔστροφον...αὐτῶν
om Ξis.—[v] ὄακι b, ὤκι v.—[w] ἅπαν Ξcis.—[x] ἀθηνᾶν zbe.—[y] ἀδελφὴν om vb.—

nobiscum δυσανάπορον πηλὸν τοῖς ἐνθένδε
ἐκπλέουσιν—κωλυτὴν παρασχεῖν. Lind.

ὡς διεπολέμησαν] Scribe hic οἷς loco
inepti hic ὡς. Lind.

προτιμητέον] Mallem προθυμητέον.
Steph.

προτιμητέον] Non recepta Stephani
hic facta conjectura προθυμητέον loco
vulgaris probæque lectionis προτιμητέον,
mutandum videtur solum δὲ in δή. Lind.

§. 4. ἀλλ' ἧ μάλιστα] Hæc aliter
scripta et plura etiam habuisse hic vide-
tur Fic. in suo exemplari. Steph.

ἀλλ' ἧ μάλιστα] Locus admodum
corruptus apparet, cui, rescribens, ἀλλ'
ᾗ μάλιστα διάνοιαν ἑκοντὶ εἴνε ἑκουσίως
ἄγοντες etc. ne attuleris quidem mede-
lam, quum desideretur potius ἑκοῦσαν.
Servata igitur vulgari lectione οὕτως,
quæ comparationem quandam significat,
videmur nobis haud inconsulto propo-
nere : ἀλλ', οἷον ὄχημα κελευσταί, διά-
νοιαν οὕτως ἄγοντες—διεκυβέρνων. Lind.

ἀδελφὴν[y] ἐκ ταὐτοῦ πατρός, ἅμα δὲ φιλοσοφίᾳ φιλοτεχ-
III. ii. 151. νίᾳ[z] τε ἐπὶ τὰ αὐτὰ ἐλθόντες, οὕτω μίαν ἄμφω λῆξιν τήνδε τὴν χώραν εἰλήχατον ὡς οἰκείαν[a] καὶ πρόσφορον ἀρετῇ καὶ φρονήσει πεφυκυῖαν, ἄνδρας δὲ ἀγαθοὺς ἐμποιήσαντες αὐτόχθονας ἐπὶ νοῦν ἔθεσαν τὴν τῆς πολιτείας τάξιν· ὧν τὰ μὲν ὀνόματα σέσωται,[b] τὰ δὲ ἔργα διὰ τὰς τῶν παραλαμβανόντων φθορὰς καὶ τὰ μήκη[c] τῶν χρόνων ἠφανίσθη. τὸ γὰρ περιλειπόμενον ἀεὶ γένος, ὥς περ καὶ πρόσθεν ἐρρήθη,[d] κατελείπετο ὄρειον[e] καὶ ἀγράμματον,[f] τῶν ἐν τῇ χώρᾳ δυναστῶν τὰ ὀνόματα ἀκηκοὸς[g] μόνον καὶ βραχέα πρὸς αὐτοῖς τῶν ἔργων. τὰ μὲν οὖν ὀνόματα τοῖς ἐκγόνοις[h] ἐτίθεντο ἀγαπῶντες, τὰς δὲ ἀρετὰς καὶ τοὺς νόμους τῶν ἔμπροσθεν οὐκ εἰδότες, εἰ μὴ σκοτεινὰς περὶ ἑκάστων τινὰς ἀκοάς, ἐν ἀπορίᾳ δὲ τῶν ἀναγκαίων ἐπὶ πολλὰς γενεὰς ὄντες καὶ[i] αὐτοὶ καὶ παῖδες, πρὸς οἷς ἠπόρουν τὸν νοῦν ἔχοντες, τού-
III. 110. των πέρι καὶ τοὺς λόγους ποιούμενοι, τῶν ἐν τοῖς πρόσθεν καὶ πάλαι ποτὲ γεγονότων ἠμέλουν· μυθολογία γὰρ ἀναζήτησίς τε τῶν παλαιῶν μετὰ σχολῆς ἅμ᾽ ἐπὶ τὰς πόλεις ἔρχεσθον,[k] ὅταν ἴδητόν τισιν ἤδη τοῦ βίου τἀναγκαῖα[l] κατεσκευασμένα, πρὶν δὲ οὔ. ταύτῃ δὴ[m] τὰ τῶν παλαιῶν ὀνό-
III. ii. 152. ματα ἄνευ τῶν ἔργων διασέσωται.[n] λέγω δὲ αὐτὰ τεκμαιρόμενος ὅτι Κέκροπός τε καὶ Ἐρεχθέως καὶ[o] Ἐριχθονίου καὶ Ἐρυσίχθονος[p] τῶν τε ἄλλων τὰ[q] πλεῖστα, ὅσα περ καὶ Θησέως τῶν ἄνω περὶ τῶν ὀνομάτων ἑκάστων[r] ἀπομνημονεύεται, τούτων ἐκείνους τὰ πολλὰ ἐπονομάζοντας[s] τοὺς ἱερέας Σόλων ἔφη τὸν τότε[t] διηγεῖσθαι πόλεμον, κἄτα[u]

[z] φιλοτεκνίᾳ Ξzceis.—[a] οἰκίαν i.—[b] σέσωται pr A : σέσωσται *s.—[c] τῷ μήκει Ξvz bceis.—[d] ἐρρέθη o.—[e] ὀρίων v, ῥαων Ξzcei et corr Σ, ὀ ρείων b.—[f] ἀγραμμάτων ΞSzbc, γραμμάτων i.—[g] ἀκηκοὼς Ξ.—[h] ἐγγόνοις Szbo.—[i] καὶ post ὄντες om o.—[k] ἔχεσθον v.—[l] τἀναντία Σeo.—[m] δὲ e.—[n] διασέσωται pr A : διασέσωσται *s.—[o] καὶ post Ἐρεχθέως om o.—[p] ἐρισίχθονος Ξzceis.—[q] τὰ om v.—[r] ἑκάστων om Σ,

φιλοτεκνίᾳ τε] Sic omnes antea editiones ferunt. Miror autem Serranum, qui locum vertit: *tum quod philosophiæ artiumque communi quodam studio ad res easdem aspirarent*, nondum corrigentem, vulgarem φιλοτεκνίᾳ mutasse in φιλοτεχνίᾳ. Lind.

ὄρειον] In Græcis legendum, τὸ γὰρ περιλειπόμενον ἀεὶ γένος, ὥσπερ καὶ πρόσθεν ἐρρήθη, κατελείπετο ὄρειον καὶ ἀγράμματον. Vulgata lectio penitus corrupta est. Habet enim καταλείπετο ῥάων καὶ γραμμάτων, unde nulla sententia colligi potest. Cornar.

ἐτίθεντο] In locum ineptæ hic vocis ἐτίθεντο videtur scribendum λειφθέντα, aut σωθέντα. Lind.

τῶν γυναικῶν κατὰ ταὐτά.[v] καὶ δὴ καὶ τὸ τῆς θεοῦ σχῆμα καὶ ἄγαλμα, ὡς κοινὰ τότ' ἦν τὰ ἐπιτηδεύματα ταῖς τε[w] γυναιξὶ καὶ τοῖς ἀνδράσι τὰ περὶ τὸν πόλεμον, οὕτω κατ' ἐκεῖνον τὸν νόμον[x] ὡπλισμένην τὴν θεὸν[y] ἀνάθημα εἶναι τοῖς τότε, ἔνδειγμα ὅτι πάνθ' ὅσα ξύννομα[z] ζῶα θήλεα[a] καὶ ὅσα ἄῤῥενα, τὴν προσήκουσαν ἀρετὴν ἑκάστῳ γένει πᾶν κοινῇ δυνατὸν ἐπιτηδεύειν πέφυκεν. [§. 5.] Ὤκει δὲ δὴ[b] τότ' ἐν τῇδε τῇ χώρᾳ τὰ μὲν ἄλλα ἔθνη τῶν πολιτῶν περὶ τὰς δημιουργίας ὄντα καὶ τὴν ἐκ τῆς γῆς τροφήν, τὸ δὲ μάχιμον ὑπ' ἀνδρῶν θείων κατ' ἀρχὰς ἀφορισθὲν ᾧκει χωρίς, πάντα εἰς τροφὴν καὶ παίδευσιν τὰ προσήκοντα ἔχον, ἴδιον μὲν αὐτῶν οὐδεὶς οὐδὲν κεκτημένος, ἅπαντα δὲ πάντων κοινὰ νομίζοντες αὐτῶν,[c] πέρα δὲ ἱκανῆς τροφῆς οὐδὲν ἀξιοῦντες παρὰ τῶν ἄλλων δέχεσθαι πολιτῶν, καὶ III. ii. 153.
πάντα δὴ τὰ χθὲς λεχθέντα[d] ἐπιτηδεύματα ἐπιτηδεύοντες, ὅσα περὶ τῶν ὑποτεθέντων[e] ἐῤῥήθη φυλάκων. Καὶ δὴ καὶ[f] τὸ περὶ τῆς χώρας ἡμῶν πιθανὸν καὶ ἀληθὲς ἐλέγετο, πρῶτον μὲν τοὺς ὅρους αὐτὴν ἐν τῷ τότε[g] ἔχειν ἀφωρισμένους πρὸς τὸν Ἰσθμὸν καὶ τὸ κατὰ τὴν ἄλλην ἤπειρον μέχρι τοῦ Κιθαιρῶνος καὶ Πάρνηθος[h] τῶν ἄκρων, καταβαίνειν δὲ τοὺς ὅρους[i] ἐν δεξιᾷ τὴν Ὠρωπίαν ἔχοντας, ἐν ἀριστερᾷ δὲ πρὸς θαλάττης[k] ἀφορίζοντας τὸν Ἀσωπόν, ἀρετῇ[l] δὲ πᾶσαν γῆν ὑπὸ[m] τῆς ἐνθάδε ὑπερβάλλεσθαι, διὸ καὶ δυνατὴν[n] εἶ-

ἑκάστῳ τb.—[e] ἐπονομάζοντες Ξεc.—[t] τόδε i.—[o] κᾆτα A: καὶ τὰ *s.—[v] κατὰ τὰ αὐτά A, κατὰ ταῦτα Σo: καὶ ταῦτα Ξυzbceis.—[w] τε om ΞΣis.—[x] νόμον A, πόνον Συzbceio: χρόνον Ξs.—[y] θεὸν Σo et corr A, θεὰν zc: θεὰν *s.—[z] ὅσα τοῖς τότε ξύννομα Σo.—[a] θήλεια Σ, θῆλυ ze.—[b] δὴ add A.—[c] αὐτὸν z.—[d] ταχθέντα v.—[e] ὑποθέντων i.—[f] καὶ post δὴ add AΣo.—[g] τότ' uzbceo.—[h] καὶ τοῦ πάρνηθος Σo, καὶ πάρναθος i.—[i] τοῦ ὄρους i et corr Ξ.—[k] θαλάττης A: θαλάσσῃ *s.—[l] ἀρετῆς e.—[m] ὑπὲρ ΞΣuzbeios.—[n] δυνατὸν e.—[o] τῶν A, τὸ e, τῶν τὸν vb, τῶν τὸ z, τὰ

καὶ ταῦτα] Loco postremorum καὶ ταῦτα videtur scribendum, κατὰ ταὐτά. Lind.

χρόνον] Græce legendum, οὕτω κατ' ἐκεῖνον τὸν χρόνον. Vulgo πόνον legitur pro χρόνον. Cornar.

χρόνον] Loco vocis χρόνον, quæ textui immissa est ex emendatione Cornarii, antea legebatur πόνον, quod sane ineptum. At mihi quidem magis placeret, si scriptum hic esset: κατ' ἐκεῖνον τὸν τρόπον, unde quomodo lectio πόνον orta sit, magis apparet. Lind.

πᾶν κοινῇ] Scribe nobiscum: παγκοίνῃ δυνατὰ—πέφυκεν. Lind.

§. 5. ἔθνη] Nonne hic scribendum, τὰ μὲν ἄλλα γένη? Lind.

ἀφορίζοντος τὸν Ἀσωπὸν] Scribe ἀφορίζοντας sc. τοὺς ὅρους, τῷ Ἀσωπῷ. Lind.

ὑπὲρ τῆς ἐνθάδε] Scribe mecum ὑπὸ loco vulgaris ὑπέρ. Lind.

ναι τότε τρέφειν τὴν χώραν στρατόπεδον πολὺ τῶν[o] περὶ τὴν γῆν ἀρχὸν ἔργων.[p] μέγα δὲ τεκμήριον ἀρετῆς· τὸ[q] γὰρ νῦν αὐτῆς λείψανον ἐναμιλλόν ἐστι πρὸς ἠντινοῦν τῷ
III. 111. πάμφορον εὔκαρπόν τε εἶναι καὶ τοῖς ζώοις πᾶσιν εὔβοτον. τότε δὲ πρὸς τῷ κάλλει καὶ παμπλήθη[r] ταῦτα ἔφερε. πῶς οὖν δὴ τοῦτο πιστόν, καὶ κατὰ τί λείψανον τῆς τότε γῆς ὀρθῶς ἂν λέγοιτο; πᾶσα ἀπὸ τῆς ἄλλης ἠπείρου μακρὰ προτείνουσα[s] εἰς τὸ πέλαγος οἷον ἄκρα κεῖται· τὸ δὴ[t] τῆς θαλάττης[u] ἀγγεῖον περὶ αὐτὴν τυγχάνει πᾶν ἀγχιβαθὲς[v] ὄν. πολλῶν οὖν γεγονότων καὶ μεγάλων κατα-
III. ii. 134. κλυσμῶν ἐν τοῖς ἐνακισχιλίοις[w] ἔτεσι, τοσαῦτα γὰρ πρὸς τὸν[x] νῦν ἀπ' ἐκείνου τοῦ χρόνου γέγονεν ἔτη, τὸ τῆς γῆς ἐν τούτοις τοῖς χρόνοις καὶ πάθεσιν ἐκ τῶν ὑψηλῶν ἀπορρέον οὔτε χῶμα, ὡς ἐν ἄλλοις τόποις, προχοῖ[y] λόγου ἄξιον ἀεί τε κύκλῳ περιῤῥέον εἰς βάθος ἀφανίζεται· λέλειπται δή, καθάπερ ἐν ταῖς μακραῖς[z] νόσοις,[a] πρὸς τὰ τότε τὰ νῦν οἷον νοσήσαντος σώματος[b] ὀστᾶ, περιερρυηκυίας τῆς γῆς ὅση πίειρα[c] καὶ μαλακή, τοῦ λεπτοῦ σώματος τῆς χώρας μόνου λειφθέντος.[d] τότε δὲ ἀκέραιος οὖσα τά τε ὄρη γηλόφους[e] ὑψηλοὺς εἶχε, καὶ τὰ Φελλέως νῦν ὀνομασθέντα πεδία πλήρη γῆς πιείρας[f] ἐκέκτητο, καὶ πολλὴν[g] ἐν τοῖς ὄρεσιν ὕλην εἶχεν, ἧς καὶ νῦν ἔτι[h] φανερὰ τεκμήρια· τῶν γὰρ ὀρῶν ἔστιν ἃ νῦν μὲν ἔχει μελίτταις μόναις τροφήν,[i] χρόνος δ' οὐ πάμπολυς ὅτε δένδρων[k] αὐτόθεν εἰς οἰκοδομή-

τῶν Ξcs.—[p] περὶ τὴν γῆν ἀργὸν ἔργων Σo, περὶ τὴν γ' ἄρ ὃν ἔργωρ vb, περὶ τὴν γ' ἄρ ὃν ἔργων zce, περιοίκων Aς, περι ante lacunam Ξ.—[q] τὸ zbceo.—[r] παμπληθῆ Σ vbo, παμπληθεῖ Ξzi, παμπληθεὶ ces.—[s] μακρά πω τείνουσα e.—[t] δὲ e.—[u] θαλάττης Σzbceo, θαλάσσης *s.—[v] ἀγχίβαθες Ξzc.—[w] ἐνακισχιλίοις Ξeo: ἐννακισχιλίοις *s.—[x] τὸ Ξzceis.—[y] προχεῖ Σeo, προσχοῖ i.—[z] μικραῖς vel σμικραῖς libri omnes.—[a] νόσοις corr A: νήσοις *s.—[b] σώματα e.—[c] πιερὰ ΞΣvzbceo, πιηρὰ i.—[d] ληφθέντος Ξb.—[e] λόφους v.—[f] πιηρᾶς vzb, πιερᾶς cei.—[g] πολὺν Ξzc.—[h] ἔτι om i.—

παμπληθεὶ] Videtur hic scribendum παμπληθῆ loco vulgaris παμπληθεί. Lind.

ἀγγεῖον] Scribendum videtur: τὸ δὲ τῆς θαλάττης ἄγχι ὄν, περὶ αὐτὴν τυγχάνει πᾶν ἀγχιβαθὲς ὄν, rescripta voce μὲν post antecedentem πᾶσα. Lind.

προχοῖ] Scribe hic mecum: προέχον sive προῦχον, quod refer ad τότε γῆς, loco vulgaris ineptique hic προχοῖ. Lind.

τά τε ὄρη γηλόφους τε ὑψηλοὺς] Videtur scribendum hic τὰ ὄρη γηλόφους τε οὐ ψιλοὺς, invitis iis quæ postea adjiciuntur, καὶ πολλὴν ἐν τοῖς ὄρεσιν ὕλην εἶχε, quod solum pertinet ad τὰ Φελλέως —πεδία, expressa simul lignorum specie. Lind.

δένδρων] Videntur deesse quædam inter ὅτε et δένδρων, vel inter μεγίστας et ἐρεψίμων. Steph.

σεις[l] τὰς μεγίστας ἐρεψίμων[m] τμηθέντων στεγάσματ' ἐστὶν ἔτι σῶ.[n] πολλὰ δ' ἦν ἄλλ'[o] ἥμερα ὑψηλὰ δένδρα, νομὴν δὲ βοσκήμασιν ἀμήχανον[p] ἔφερε. καὶ δὴ καὶ[q] τὸ κατ' ἐνιαυτὸν ὕδωρ ἐκαρποῦτο ἐκ Διός, οὐχ ὡς νῦν ἀπολλῦσα ῥέον[r] ἀπὸ ψιλῆς τῆς γῆς εἰς θάλατταν, ἀλλὰ πολλὴν ἔχουσα καὶ εἰς αὐτὴν καταδεχομένη, τῇ κεραμίδι στεγούσῃ γῆ[s] διαταμιευομένη[t] καὶ[u] τὸ καταποθὲν ἐκ τῶν ὑψη- III. ii. 155.
λῶν ὕδωρ εἰς τὰ κοῖλα ἀφιεῖσα,[v] κατὰ πάντας τοὺς τόπους παρείχετο ἄφθονα κρηνῶν καὶ ποταμῶν νάματα, ὧν καὶ νῦν ἔτι ἐπὶ ταῖς πηγαῖς πρότερον[w] οὔσαις ἱερὰ λελειμμένα ἐστὶ σημεῖα ὅτι[x] περὶ[y] αὐτῆς[z] ἀληθῆ λέγεται τὰ νῦν.

[§. 6.] Τὰ μὲν οὖν τῆς ἄλλης χώρας φύσει τε οὕτως εἶχε, καὶ διεκεκόσμητο ὡς εἰκὸς ὑπὸ γεωργῶν μὲν ἀληθι-

[l] προφὴν μόνον e.—[k] δένδρον zc.—[l] οἰκοδομήσεις A, οἰκοδομῆς εἰς vzbe, οἰκοδομὴν εἰς *s.—[m] ἐρεψήμων Σ.—[n] σᾶ A: σῶα *s.—[o] ἀλλ' zc.—[p] δ' ἀμήχανον Ξvzbce.—[q] καὶ om Ξzceis.—[r] ῥέον add AΞzbceo.—[s] γῆι A, τῇ Σvzbceio, καὶ Ξs.—[t] διαταμιευομένη s.—[u] καὶ om omnes.—[v] ἀφιεῖσαν Ξc.—[w] ταῖς πρότερον Ξzceis.—[x] διότι ΞΣvzbceios.—[y] περ zbcei.—[z] ταύτης Ξvzbceis.—[a] μετριώτητα vb, μετριώτατον Ξz

στεγάσματ' ἐστὶν] In Ald. editione, στεγάσμετ' ἐστὶν, ex qua vitiosa lectione qui illi Basiliensi editioni præfuerunt faciendum putarunt, στεγὰς μέτεστιν: quum illa lectio Aldina unius tantum literæ mutatione opus haberet, scribendo στεγάσματ', ut est in vet. exempl. Steph. At Bas. 2. στεγάσματ' ἐστίν. Bip.

στεγάσματ' ἐστὶν] Locus ita corruptus, ut de ejus medela Stephanus nimirum desperaret. Scribendum autem nobis quidem videtur:—εἰς οἰκοδομήσεις τὰς μεγίστας ἐρεψίμων τμηθέντων στεγάσματ' ἔστη ἔτι σῶα. Quæ vocis ἐστὶν in ἔστη mutatio a præcedenti vocula ὅτε postulatur. Lind.

ἥμερα ὑψηλὰ δένδρα] Miror neminem illis in verbis hæsisse: ἥμερα enim δένδρα appellantur ea, quorum fructus ita mitescunt, ut a hominibus quoque comedantur. Tum, quum antea dicatur de altis arboribus in materiam ædificiorum utilibus, illis ea ligna, quæ hic memorantur, debebant opponi. Ausim igitur hic rescribere: πολλὰ δ' ἦν ἄλλ' ἀνήμερα οὔθ' ὑψηλὰ δένδρα, quibus sequens vocula δὲ optime respondet. Lind.

ἀπολλῦσα] Nec ἀπολλῦσα nec ψιλῆς agnoscit Ficini interpretatio. Illud quidem certe participium ἀπολλῦσα mendo carere dici non potest, ut opinor. Post πολλὴν autem deesse substantivum, aut ex ipso faciendum esse substantivum dico: an autem id esse possit ἰλὺν, aliorum judicio relinquo. Steph.

ἀπολλῦσα ἀπὸ ψιλῆς] Invito Ficino, qui voces ἀπολλῦσα—ψιλῆς non agnoscit, primum videtur nobis hic rescribendum: οὐχ, ὡς νῦν, ἀπλῆς οὔσας i. e. ἄνευ κεραμίδος, ἀφ' ὑψηλῶν τῆς γῆς εἰς θάλατταν. Quæ res et sequenti voce κεραμὶς videtur confirmari et procul antecedentibus πεδία πλήρη γῆς πιείρας. Tum hic scribe mecum secundum Aldinam, quæ habet, στεγούσῃ τῇ διαταμιευομένῃ: ἀλλὰ πολλὴν ἔχουσα καὶ εἰς αὐτὴν καταδεχομένη τὴν κεραμίδα στεγνοῦσαν αὐτὴν καὶ διαταμιευομένη—cui vulgaris lectionis στεγούσῃ in nostram mutationi subvenitur loco Hippocratis π. α. κ. τ. c. 93. ubi est: ταῦτα δὲ i. e. οἰκήματα, καὶ στεγνὰ πρὸς ὕδωρ καὶ πρὸς χιόνα καὶ πρὸς τὰ πνεύματα. Quæ vox hic usurpatur sensu inverso. In vocis denique καταποθὲν locum, quam quidem Ficini versio *ambibens* agnoscit, nos tamen non miraremur, si absque illo orationis lenocinio, quod animo poëtas legentis blanditur magis quam convenit hujusmodi scriptori, aliquis liber aliam quandam lectionem obtulisset, veluti, καταποδοθὲν aut καταποτεθέν. Lind.

νῶν καὶ πραττόντων αὐτὸ τοῦτο, φιλοκάλων δὲ καὶ εὐφυῶν, γῆν δὲ ἀρίστην καὶ ὕδωρ ἀφθονώτατον ἐχόντων καὶ ὑπὲρ τῆς γῆς ὥρας μετριώτατα[a] κεκραμένας· τὸ δ' ἄστυ κατῳκισμένον ὧδ' ἦν ἐν τῷ τότε χρόνῳ. πρῶτον[b] μὲν τὸ τῆς ἀκροπόλεως εἶχε τότε οὐχ ὡς τὰ νῦν ἔχει. νῦν μὲν γὰρ
III. 112. μία γενομένη νὺξ ὑγρὰ διαφερόντως γῆς[c] αὐτὴν ψιλὴν περιτήξασα πεποίηκε, σεισμῶν[d] ἅμα καὶ πρὸ τῆς ἐπὶ[e] Δευκαλίωνος φθορᾶς τρίτου πρότερον ὕδατος ἐξαισίου[f] γενομένου·[g] τὸ δὲ πρὶν ἐν ἑτέρῳ χρόνῳ μέγεθος μὲν ἦν πρὸς τὸν Ἡριδανὸν καὶ τὸν Ἰλισὸν[h] ἀποβεβηκυῖα καὶ περιειληφυῖα ἐντὸς τὴν Πύκνα[i] καὶ τὸν Λυκαβηττὸν[k] ὄρον ἐκ τοῦ καταντικρὺ τῆς[l] Πυκνὸς[m] ἔχουσα, γεώδης δ' ἦν πᾶσα καὶ πλὴν ὀλίγων[n] ἐπίπεδος ἄνωθεν. ᾠκεῖτο[o] δὲ τὰ μὲν ἔξωθεν, ὑπ' αὐτὰ τὰ πλάγια αὐτῆς, ὑπὸ τῶν δημιουργῶν καὶ τῶν
III. ii. 156. γεωργῶν ὅσοι πλησίον ἐγεώργουν· τὰ δ' ἐπάνω τὸ μάχιμον αὐτὸ καθ' αὑτὸ μόνον γένος[p] περὶ τὸ τῆς Ἀθηνᾶς Ἡφαίστου τε ἱερὸν κατῳκήκειν,[q] οἷον μιᾶς οἰκίας κῆπον ἐνὶ περιβόλῳ προσπεριβεβλημένοι.[r] τὰ γὰρ πρὸς βορρᾶ[s] αὐτῆς ᾤκουν οἰκίας κοινὰς[t] καὶ ξυσσίτια χειμερινὰ κατεσκευασμένοι[u] καὶ πάντα ὅσα πρέποντα ἦν[v] τῇ κοινῇ πολι-

ceis.—[b] πρῶτον...χρόνῳ om A.—[c] γῆν s.—[d] σεισμὸν Ξzceis.—[e] ἐπὶ om Ξvzbceis.—[f] ἐξαισίων v.—[g] γενομένου om zceis.—[h] ἰλισὸν Σvbo et pr A: ἰλισσὸν Ξs.—[i] πύκνα A, πυκνὰ ΞΣvzbceo: πνύκα *s.—[k] λυκαβηττὸν A, λυκαβηττῶν Σo, λυκαβττὸν vb: λυκαβητὸν *s.—[l] τῆς add ASbo.—[m] πυκνὸς A, πυκνῶς ΞΣvzbceio: πνυκὸς s.—[n] ὀλίγον Ξzbce.—[o] ᾠκεῖτο AΣo: ᾤκητο *s.—[p] μόνον γένος AΣvzbeo: γένος μόνον *s.—[q] κατῳκήκειν Ai: κατῳκήκει *s.—[r] προσπεριβεβλημένη b, προσπεριβεβλημένος e.—[s] βορρᾶ A: βορρᾶν *s.—[t] οἰκίαις κοιναῖς A, οἰκίας κενὰς Σ, οἰκίας τινὰς vb.—[u] κατασκευασάμενοι AΣvzbceo.—[v] κατὰ vb.—[w] οἰκοδομήσεων A,

§. 6. γῆν αὐτὴν] Scribendum hic videtur: νῦν μὲν γὰρ μία γενομένη νὺξ ὑγρὰ διαφερόντως, γῆν αὐτῇ (i. e. τῇ ἀκροπόλει) περιτήξασα. LIND.

τρίτου πρότερον] Nisi vox τρίτου inhæsit ab aliena manu adscripta, fortasse hominis Christiani, qui sacrum illud Noæ diluvium meminerat, quod si verum esset, vox πρότερον mutanda esset in προτέραν atque referenda ad intellectam vocem φθορὰν, falsa certe videtur esse retentoque illo πρότερον mutanda in περιττόν. LIND.

Πυκνὸς] Græce legendum, καὶ περιειληφυῖα ἐντὸς τὴν Πνύκα, καὶ τὸν Λυκαβηττὸν ὄρος ἐκ τοῦ καταντικρὺ πνυκὸς ἔχουσα. Vulgo πυκνῶς habetur pro πνυκός. Fuit autem Athenis *forum judiciarium* Πνὺξ appellatum. Unde est genitivus casus Πνυκὸς, quem per metathesin Πυκνὸς Aristophanes dixit. Appellatio inde facta esse videtur, quod frequentes isthic viri convenirent: aut quod lapidum frequentia eo loci esset, aut similis materiæ congeries. CORNAR.

ὄρον] Legitur etiam ὄρος, id est *montem*: et Λυκαβηττὸν jungitur sequentibus, hoc modo, καὶ τὸν Λυκαβηττὸν ὄρος ἐκ τοῦ καταντ. STEPH.

κῆπον—προσπεριβεβλημένοι] Mutandum hic aut κῆπον in κῆπος, aut προσπεριβεβλημένοι in προσπεριβεβλημένον. LIND.

τεία δι' οἰκοδομήσεων[w] ὑπάρχειν[x] αὐτῶν καὶ τῶν ἱερῶν, ἄνευ χρυσοῦ καὶ ἀργύρου· τούτοις γὰρ οὐδὲν οὐδαμόσε προσεχρῶντο,[y] ἀλλὰ τὸ μέσον ὑπερηφανίας[z] καὶ ἀνελευθερίας μεταδιώκοντες[a] κοσμίας ᾠκοδομοῦντο οἰκήσεις, ἐν αἷς αὐτοί τε καὶ ἐγόνων ἔγγονοι καταγηρῶντες[b] ἄλλοις ὁμοίοις[c] τὰς αὐτὰς ἀεὶ παρεδίδοσαν·[d] τὰ δὲ πρὸς νότου κήπους καὶ γυμνάσια συσσίτιά τε ἀνέντες οἷα θέρους κατεχρῶντο ἐπὶ ταῦτα αὐτοῖς. κρήνη δ' ἦν μία κατὰ τὸν τῆς νῦν ἀκροπόλεως τόπον, ἧς ἀποσβεσθείσης ὑπὸ[e] τῶν σεισμῶν τὰ νῦν νάματα[f] σμικρὰ κύκλῳ καταλέλειπται, τοῖς δὲ τότε πᾶσι παρεῖχεν ἄφθονον ῥεῦμα, εὐκρὰς[g] οὖσα πρὸς χειμῶνά τε καὶ θέρος. τούτῳ δὴ κατῴκουν τῷ σχήματι, τῶν μὲν αὐτῶν[h] πολιτῶν φύλακες, τῶν δὲ ἄλλων Ἑλλήνων ἡγεμόνες ἑκόντων, πλῆθος δὲ διαφυλάττοντες ὅτι μάλιστα ταὐτὸν[i] ἑαυτῶν[k] εἶναι πρὸς τὸν ἀεὶ χρόνον ἀνδρῶν καὶ γυ- III. ii. 157.
ναικῶν, τὸ δυνατὸν πολεμεῖν ἤδη καὶ τὸ ἔτι,[l] περὶ δύο μάλιστα ὄντες[m] μυριάδας.

§. 7. Οὗτοι μὲν οὖν δὴ τοιοῦτοί τε ὄντες[n] αὐτοὶ καί τινα τοιοῦτον ἀεὶ τρόπον τήν τε ἑαυτῶν καὶ τὴν Ἑλλάδα δίκῃ διοικοῦντες, ἐπὶ πᾶσαν Εὐρώπην καὶ Ἀσίαν κατά τε σωμάτων κάλλη καὶ κατὰ τὴν τῶν ψυχῶν παντοίαν ἀρετὴν ἐλλόγιμοί τε ἦσαν καὶ ὀνομαστότατοι πάντων τῶν[o] τότε· τὰ δὲ[p] δὴ τῶν ἀντιπολεμησάντων αὐτοῖς οἷα αὖ[q] ἦν

οἰκοδομῆς ἐῶν vzbceo et (accentibus rc additis) Σ, οἰκοδομῆς ἐὼν Ξ: οἰκοδομῆς ὧν χρεὼν ἰσ.—[x] ὑπάρχει i.—[y] χρῶντο Σ.—[z] ὑπερηφανείας ze.—[a] μεταδιώκοντες AΣvz ois bceo: διώκοντες *s.—[b] κατηγορῶντες vb, κατηγοροῦντες Ξzce.—[c] ὁμοίως z.—[d] ἀεί περ ἐδίδοσαν A.—[e] ἀπὸ Σ.—[f] νάματα A et corr Σ, ἅμα τὰ Ξvzbceo et pr Σ, ἃ μετὰ i: ὕδατα *s.—[g] εὐκρὰς A.—[h] αὐτῶν A.—[i] τοῦτον e.—[k] ἑαυτὸν Ξ.—[l] καὶ τὸ ἔτι Ξvzbceio, καὶ τότε ἔτι AΣ: κατὰ τὰ ἔτη s.—[m] ὄντες A: ὄντας *s.—[n] ὄντες om A.—[o] τῶν om v.—[p] δὲ A, τε ΞΣvzbceio: γε s.—[q] ἂν A: om *s.—[r] ὡς A.—

ὕδατα] Græce legendum, ἧς ἀποσβεσθείσης ὑπὸ τῶν σεισμῶν τὰ νῦν ὕδατα σμικρὰ κύκλῳ καταλέλειπται. Vulgati codices habent ἃ μετὰ pro voce ὕδατα. Cornar.

κατὰ τὰ ἔτη] In Græcis legendum, πλῆθος δὲ διαφυλάττοντες ὅτι μάλιστα ταυτὸν ἑαυτοῦ εἶναι πρὸς τὸν ἀεὶ χρόνον ἀνδρῶν καὶ γυναικῶν, τὸ δυνατὸν πολεμεῖν ἤδη κατὰ τὰ ἔτη περὶ δύο μάλιστα ὄντας μυριάδας. In vulgatis καὶ τὸ ἔτι legitur falso pro κατὰ τὰ ἔτη. Cornar.

κατὰ τὰ ἔτη] Non sufficit hic præclara Cornarii emendatio, qua in locum vulgaris lectionis καὶ τὰ ἔτι restituta videtur vera lectio κατὰ τὰ ἔτη. Locus ut expediatur omnino, videtur hic etiam scribendum: τῶν δυνατῶν πολεμεῖν ἤδη κατὰ τὰ ἔτη περὶ δύο μάλιστα ὄντων μυριάδας, nisi forte prætuleris τούς τε δυνατοὺς— ὄντας, ut nectantur ea verba a voce διαφυλάττοντες. Lind.

ὥς τε ἀπ' ἀρχῆς ἐγένετο, μνήμης ἂν μὴ στερηθῶμεν ὧν[r] ἔτι παῖδες ὄντες[s] ἠκούσαμεν, εἰς τὸ μέσον αὐτὰ νῦν ἀποδώσομεν ὑμῖν τοῖς φίλοις εἶναι κοινά.

